ΒΙΒΛΙΟΘΗΚ
ΕΛΛΗΝΩ
ΠΑΤΕΡΩ

ΚΛΗΜΗ
Ο ΡΩΜΗ
(ΜΕΡΟΣ

2

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

ΚΛΗΜΗΣ Ο ΡΩΜΗΣ (ΜΕΡΟΣ Β') - ΔΙΔΑΧΗ ΤΩΝ ΔΩΔΕΚΑ ΑΠΟΣΤΟΛΩΝ - ΒΑΡΝΑΒΑ ΕΠΙΣΤΟΛΗ - Η ΠΡΟΣ ΔΙΟΓΝΗΤΟΝ ΕΠΙΣΤΟΛΗ - ΙΓΝΑΤΙΟΣ



ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 1955

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΚΛΗΜΗΣ Ο ΡΩΜΗΣ

ΔΙΔΑΧΗ ΤΩΝ ΔΩΔΕΚΑ ΑΠΟΣΤΟΛΩΝ

ΒΑΡΝΑΒΑ ΕΠΙΣΤΟΛΗ

Η ΠΡΟΣ ΔΙΟΓΝΗΤΟΝ ΕΠΙΣΤΟΛΗ

ΙΓΝΑΤΙΟΣ

ΔΙΑΤΑΓΑΙ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΔΙΑ ΚΛΗΜΕΝΤΟΣ [*]

ΒΙΒΛΙΟΝ Α'

ΚΑΘΟΛΙΚΗ ΔΙΔΑΣΚΑΛΙΑ ΠΕΡΙ ΛΑΪΚΩΝ

Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι πᾶσι τοῖς ἐξ ἐθνῶν πιστεύσασιν ἐπὶ τὸν κύριον Ἰησοῦν Χριστόν· «χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ» τοῦ παντοκράτορος «θεοῦ [1]» διὰ «τοῦ κυρίου» ἡμῶν «Ἰησοῦ Χριστοῦ πληθυνθείη [2]» ἐν ἐπιγνώσει αὐτοῦ.

Θεοῦ φυτεία ἡ καθολικὴ ἐκκλησία καὶ ἀμπελὼν αὐτοῦ ἐκλεκτός, οἱ πεπιστευκότες εἰς τὴν ἀπλανῆ θεοσέβειαν αὐτοῦ, οἱ τὴν αἰώνιον καρπούμενοι διὰ πίστεως βασιλείαν αὐτοῦ, δύναμιν αὐτοῦ εἰληφότες καὶ μετουσίαν ἁγίου πνεύματος, ὡπλισμένοι διὰ Ἰησοῦ καὶ ἐνστερνισμένοι τὸν φόβον αὐτοῦ, ῥαντίσματος μέτοχοι τοῦ τιμίου καὶ ἀθώου αἵματος τοῦ Χριστοῦ, οἱ παρρησίαν εἰληφότες τὸν παντοκράτορα θεὸν πατέρα καλεῖν, συγκληρονόμοι καὶ συμμέτοχοι τοῦ ἠγαπημένου παιδὸς αὐτοῦ· ἀκούσατε διδασκαλίαν ἱεράν, οἱ ἀντεχόμενοι τῆς ἐπαγγελίας αὐτοῦ ἐκ προστάγματος τοῦ σωτῆρος, ὁμοστοίχως ταῖς ἐνδόξοις φθογγαῖς αὐτοῦ.

I. Φυλάσσεσθε, οἱ θεοῦ υἱοί, πάντα εἰς ὑπακοὴν θεοῦ πράσσειν, καὶ γίνεσθε εὐάρεστοι ἐν πᾶσι κυρίῳ τῷ θεῷ ἡμῶν· ἐὰν γάρ τις ἀνομίαν μεταδιώκῃ καὶ τὰ ἐναντία τῷ θελήματι τοῦ θεοῦ ποιῇ, ὡς παράνομον ἔθνος τῷ θεῷ ὁ τοιοῦτος λογισθήσεται. 2. ἀπέχεσθε οὖν πάσης πλεονεξίας καὶ ἀδικίας· καὶ γὰρ ἐν τῷ Νόμῳ γέγραπται· «Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου οὐδὲ τὸν ἀγρὸν αὐτοῦ οὐδὲ τὸν παῖδα αὐτοῦ οὔτε τὴν παιδίσκην αὐτοῦ οὔτε τοῦ βοὸς αὐτοῦ οὔτε τοῦ ὑποζυγίου αὐτοῦ οὔτε ὅσα τοῦ πλησίον σου ἐστίν [3]», ὅτι ἡ πᾶσα τούτων ἐπιθυμία ἐκ τοῦ πονηροῦ ὑπάρχει. 3. ὁ γὰρ ἐπιθυμήσας τὴν γυναῖκα ἢ τὸν παῖδα ἢ τὴν παιδίσκην τοῦ πλησίον ἤδη κατὰ διάνοιαν μοιχὸς καὶ κλέπτης ἐστίν, ἐὰν μὴ μεταγνῷ, καὶ κέκριται ὑπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς

---

[*] Περὶ τοῦ ἔργου τούτου ἰδὲ Βιβλιοθ. Ἑλλήν. Πατέρων, τόμ. Α' σελ. 10 ἑξ. Τὸ κείμενον εἶναι εἰλημμένον ἐκ τῆς ἐκδόσεως τοῦ Fr. Funk «Didascalia et Constitutiones Apostolorum», Paderborn 1906, μετ' ἄδειαν τοῦ Ἐκδοτικοῦ Οἴκου Ferdinand Schöningh.

1. Πρβλ. Ρωμ. 1, 7. 2. Πρβλ. Α' Πέτρ. 1, 2. 3. Ἐξ. 20. 17.

τοὺς αἰῶνας· ἀμήν. 4. λέγει γὰρ ἐν τῷ Εὐαγγελίῳ, ἀνακεφαλαιούμενος καὶ στηρίζων καὶ πληρῶν τὴν δεκάλογον τοῦ Νόμου, «ὅτι ἐν τῷ Νόμῳ γέγραπται· Οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν[1]», τοῦτ' ἔστιν ἐν τῷ Νόμῳ τῷ διὰ Μωϋσέως ἐγὼ ἐλάλησα, νῦν δὲ ὁ αὐτὸς ὑμῖν λέγω· «Πᾶς, ὅστις ἐμβλέψει εἰς τὴν γυναῖκα τοῦ πλησίον πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ[2]». οὕτως ἐκρίθη μοιχὸς κατ' ἔννοιαν ὁ ἐπιθυμήσας. 5. ὁ δὲ τὸν βοῦν ἢ τὸν ὄνον ἐπιθυμήσας οὐκ ἐπὶ τῷ κλέψαι καὶ ἰδιοποιήσασθαι ἢ καὶ ἀπαγαγεῖν αὐτὰ διανοεῖται; ἢ ὁ τὸν ἀγρὸν πάλιν ἐπιθυμήσας καὶ ἐπιμείνας τῇ τοιᾷδε διαθέσει οὐ πονηρεύεται, ὅπως ὀρογλυφήσας ἀναγκάσῃ τὸν ἔχοντα τοῦ μηδενὸς ἀποδόσθαι αὐτῷ; φησὶν γάρ που ὁ προφήτης· «Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι[3]». διὸ λέγει· «Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; ἠκούσθη γὰρ εἰς τὰ ὦτα κυρίου Σαβαὼθ ταῦτα[4]». καὶ ἀλλαχοῦ· «Ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον αὐτοῦ, καὶ ἐρεῖ πᾶς ὁ λαός· Γένοιτο, γένοιτο[5]». διό φησιν ὁ Μωσῆς· «Οὐ μετακινήσεις ὅρια τοῦ πλησίον σου, ἃ ἔθεντο οἱ πατέρες σου[6]». 6. διὰ ταῦτα οὖν φόβοι, θάνατοι, δικαστήρια, καταδίκαι παρὰ τοῦ θεοῦ τοῖς τοιούτοις ἐπακολουθοῦσι. 7. τοῖς δὲ ὑπηκόοις θεῷ ἀνθρώποις εἷς νόμος θεοῦ ἁπλοῦς, ἀληθής, ζῶν οὗτος ἐνυπάρχει· «Ὃ σὺ μισεῖς ὑφ' ἑτέρου σοὶ γενέσθαι, σὺ ἄλλῳ οὐ ποιήσεις[7]». 8. οὐ βούλει τῇ γυναικί σού τινα ἐμβλέψαι κακῶς εἰς διαφθορὰν αὐτῆς· μηδὲ σὺ τῇ τοῦ πλησίον σου γυναικὶ κακοήθως ἀτενίσῃς. 9. οὐ βούλει σου τὸ ἱμάτιον ἀρθῆναι· μηδὲ σὺ τὸ τοῦ ἑτέρου ἄρῃς. 10. οὐ θέλεις πληγῆναι, λοιδορηθῆναι, ὑβρισθῆναι· μηδὲ σὺ ἄλλῳ ταῦτα διαθῇς.

II. Ἀλλὰ καταρᾶταί σοί τις; σὺ εὐλόγησον αὐτόν, ὅτι γέγραπται ἐν τῇ βίβλῳ τῶν Ἀριθμῶν· «Ὁ εὐλογῶν σε εὐλόγηται, καὶ ὁ καταρώμενός σε κεκατήραται[8]». ὁμοίως καὶ ἐν τῷ Εὐαγγελίῳ γέγραπται· «Εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς[9]». 2. ἀδικούμενοι μὴ ἀνταδικήσητε, ἀλλ' ὑπομείνατε, ὅτι λέγει ἡ γραφή· «Μὴ εἴπῃς· τίσομαι τὸν ἐχθρόν μου ἅ με ἠδίκησεν, ἀλλ' ὑπόμεινον, ἵνα σοι βοηθήσῃ ὁ κύριος καὶ ἐκδικίαν ἐπαγάγῃ τῷ ἀδικοῦντί σε[10]». 3. καὶ γὰρ πάλιν ἐν τῷ Εὐαγγελίῳ λέγει· «Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων· καὶ ἔσεσθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους[11]». 4. προσέχωμεν οὖν, ἀγαπητοί, ταῖς ἐντολαῖς ταύταις, ἵνα «τέκνα φωτὸς[12]» εὑρεθῶμεν πράσσοντες αὐτάς.

---

1. Ματθ. 5, 27. 2. Ματθ. 5, 28. 3. Ἡσ. 5, 8. 4. Ἡσ. 5, 8-9.
5. Δευτ. 27, 17. 6. Δευτ. 19, 14. 7. Τωβ. 4, 16. 8. Ἀριθ. 24, 9.
9. Λουκ. 6, 28. 10. Παρμ. 20, 22. 11. Ματθ. 5, 44-45. 12. Ἰω. 12, 36.

III. Βαστάζετε οὖν, οἱ δοῦλοι καὶ υἱοὶ τοῦ θεοῦ, ἀλλήλους· 2. ὁ μὲν ἀνὴρ τὴν γυναῖκα, μὴ ὑπερήφανος μηδὲ ἀλαζών, ἀλλ' εὔσπλαγχνος, εὐμετάδοτος, τῇ ἰδίᾳ γυναικὶ μόνον βουλόμενος ἀρέσκειν καὶ ταύτην κολακεύειν ἐντίμως, σπουδάζων καταθύμιος εἶναι αὐτῇ, μὴ καλλωπιζόμενος εἰς τὸ ἀγρευθῆναί τινα ἑτέραν ἐπὶ σοί. 3. εἴτε γὰρ ἀναγκασθεὶς ὑπ' αὐτῆς ἁμαρτήσεις εἰς αὐτήν, θάνατος παρὰ θεοῦ ἐπελεύσεταί σοι αἰώνιος ἐν αἰσθήσει πικρῶς κολαζομένῳ· 4. εἴτε μὴ ποιήσεις τὸ μύσος, ἀλλ' ἀποσεισάμενος αὐτὴν ἀρνήσῃ αὐτό, καὶ τοῦτο ἥμαρτες, εἰ καὶ μὴ ἐπίσης, μόνον δὲ τὸ διὰ τοῦ καλλωπισμοῦ σου παγιδεῦσαι γυναῖκα εἰς τὸ ἐπιθυμῆσαί σου· ἐποίησας γὰρ τὴν τοῦτο παθοῦσαν διὰ τῆς ὀρέξεως μοιχευθῆναι ἐπὶ σοί. 5. ἀλλ' οὐχ οὕτως αἴτιος ὑπάρχεις διὰ τὸ μὴ προσαποστεῖλαί σε τῇ ἐπὶ σὲ πεπαγιδευμένῃ· οὐ γὰρ σὺ ἐπεθύμησας αὐτῆς· μὴ συνεπιδιδοὺς δὲ αὐτῇ ἑαυτὸν ἐλεηθήσῃ ὑπὸ κυρίου τοῦ θεοῦ τοῦ εἰπόντος· «Οὐ μοιχεύσεις[1]», καί· «Οὐκ ἐπιθυμήσεις[2]». 6. εἰ γὰρ ἐκείνη θεασαμένη σε ἢ ἀκαίρως σοι συναντήσασα ἐπλήγη τὴν διάνοιαν καὶ προσέπεμψέν σοι, σὺ δὲ ὡς θεοσεβὴς ἠρνήσω αὐτὴν ἀπέσχου τε καὶ οὐχ ἥμαρτες εἰς αὐτήν, ἐκείνη μέντοι τὴν καρδίαν ἐτραυματίσθη, εὐμόρφου νεωτέρου ὑπάρχοντός σου καὶ κεκαλλωπισμένου, ὥστε ἐρασθῆναί σου, ἔνοχος εὑρίσκῃ σὺ τοῦ ἐκείνης παραπτώματος, ὡς αἴτιος αὐτῇ σκανδάλου γενόμενος καὶ τοῦ «οὐαὶ» κληρονόμος. 7. διὸ δεήθητι κυρίου τοῦ θεοῦ, ὅπως μηδέν σοι διὰ τούτου κακὸν στηριχθῇ. οὐ γὰρ ἀνθρώποις σε χρὴ ἀρέσκειν εἰς ἁμαρτίαν, ἀλλὰ θεῷ εἰς ὁσιότητα, ζωῆς τε καὶ ἀναπαύσεως τῆς αἰωνίου ἀντέχεσθαι. 8. τὸ ὑπὸ τῆς φύσεώς σοι δεδομένον ἐκ θεοῦ κάλλος μὴ προσεπικαλλώπιζε, ἀλλὰ ταπεινοφρόνως, μετρίασον αὐτὸ πρὸς ἀνθρώπους, οὕτως τὴν τρίχα σου τῆς κόμης μὴ παρατρέφων, μᾶλλον δὲ συγκόπτων καὶ καθαιρῶν αὐτήν, ἵνα μὴ κατακνιζομένου σου καὶ ἄσκυλτον τηροῦντος τὴν κεφαλὴν ἢ καταμεμυρισμένου σου ἐπαγάγῃς σεαυτῷ τὰς οὕτως ἀγρευομένας ἢ ἀγρευούσας γυναῖκας. 9. μηδὲ ἐπιτετηδευμένῃ σοὶ τῇ ἐσθῆτι χρήσῃ εἰς ἀπάτην, μηδὲ ἀναξυρίδας ἢ κρηπῖδάς σου τοῖς ποσὶ κακοτέχνως ὑπορράψῃς, ἀλλὰ τὸ τῆς σεμνότητος καὶ τῆς χρείας μόνον· μηδὲ χρυσήλατον σφενδόνην τοῖς δακτύλοις σου περιθῇς, ὅτι ταῦτα πάντα ἑταιρισμοῦ τεκμήρια ὑπάρχει, ἅπερ παρὰ τὸ προσῆκον ἐπιτηδεύων οὐ ποιήσεις δικαίως. 10. πιστῷ γάρ σοι ὄντι καὶ ἀνθρώπῳ τοῦ θεοῦ οὐκ ἔξεστίν σοι τρέφειν τὰς τρίχας τῆς κεφαλῆς καὶ ποιεῖν σισόην, ὅ ἐστιν σπατάλιον, ἢ ἀπόχυμα ἢ μεριστὴν τηρεῖν· οὐδὲ μὴν ὀγκοποιεῖν διαξαίνειν τε καὶ πλάσσοντα οὔλην διατιθεῖν ἢ ξανθοποιεῖν αὐτήν, ἐπείπερ καὶ ὁ νόμος ἀπαγορεύει φάσκων ἐν τῷ Δευτερονομίῳ· «Οὐ ποιήσετε ὑμῖν σισόην οὐδὲ ἀναξυρίδας[3]». 11. χρὴ δὲ οὐδὲ γενείου τρίχα διαφθείρειν καὶ τὴν μορφὴν τοῦ ἀνθρώπου παρὰ φύσιν ἐξαλάσσειν· «Οὐκ ἀπομαδαρώσετε» γάρ,

1. Ἔξ. 20. 13. 2. Ἔξ. 20, 17. 3. Λευΐτ. 19, 27. 21, 5.

φησὶν ὁ Νόμος, «τοὺς πώγωνας ὑμῶν[1]». τοῦτο γὰρ γυναιξὶν εὐπρεπὲς ὁ κτίσας ἐποίησεν θεός, ἀνδράσι δὲ ἀνάρμοστον ἐδικαίωσεν· σὺ δὲ ταῦτα ποιῶν διὰ ἀρέσκειαν ἐναντιούμενος τῷ νόμῳ, βδελυκτὸς γενήσῃ παρὰ θεῷ τῷ κτίσαντί σε κατ' εἰκόνα ἑαυτοῦ. 12. ἐὰν οὖν θέλῃς θεῷ ἀρέσκειν, ἀπόσχου πάντων ὧν μισεῖ αὐτός, καὶ μηδὲν πρᾶσσε τῶν αὐτῷ ἀπαρεσκόντων.

IV. Οὐκ ἔσῃ ὡς πετόμενος καὶ ἀλώμενος ἐν ταῖς ῥύμαις, ἀκαιροεπόπτης τῶν κακῶς ζώντων, ἀλλὰ τῇ τέχνῃ σου καὶ τῷ ἔργῳ σου προσέχων τὰ τῷ θεῷ φίλα ἀναζήτει ποιεῖν, καὶ τὰ τοῦ Χριστοῦ λόγια ἀναμιμνησκόμενος διηνεκῶς μελέτα. 2. λέγει γὰρ ἡ γραφή σοι, ὅτι «ἐν τῷ Νόμῳ αὐτοῦ μελετήσεις ἡμέρας καὶ νυκτός, περιπατῶν ἐν ἀγρῷ καὶ ἐν οἴκῳ καθήμενος, καὶ κοιταζόμενος καὶ διανιστάμενος, ἵνα συνιῇς ἐν πᾶσιν[2]».

V. Ἀλλ' εἰ καὶ πλούσιος ὑπάρχεις, χρείαν τέχνης πρὸς τὸ τρέφεσθαι οὐκ ἔχων, ῥεμβὸς μὴ γίνου μηδὲ ἀκαιροπεριπάτητος· ἀλλ' εἴτε προσέρχῃ τοῖς πιστοῖς τε καὶ ὁμοδόξοις, συμβάλλων τὰ ζωοποιὰ προσομίλει ῥήματα· 2. εἰ δὲ μή, καθεζόμενος ἔνδον ἀναγίνωσκε τὸν Νόμον, τὰς Βασιλείους, τοὺς Προφήτας, ψάλλε τοὺς Ὕμνους, διέρχου ἐπιμελῶς τὸ Εὐαγγέλιον τὸ τούτων συμπλήρωμα.

VI. Τῶν ἐθνικῶν βιβλίων πάντων ἀπέχου. 2. τί γὰρ σοὶ καὶ ἀλλοτρίοις λόγοις ἢ νόμοις ἢ ψευδοπροφήταις, ἃ δὴ καὶ παρατρέπει τῆς πίστεως τοὺς ἐλαφρούς; 3. τί γὰρ σοὶ καὶ λείπει ἐν τῷ νόμῳ τοῦ Θεοῦ, ἵνα ἐπ' ἐκεῖνα τὰ ἐθνόμυθα ὁρμήσῃς; 4. εἴτε γὰρ ἱστορικὰ θέλεις διέρχεσθαι, ἔχεις τὰς Βασιλείους· εἴτε σοφιστικὰ καὶ ποιητικά, ἔχεις τοὺς Προφήτας, τὸν Ἰώβ, τὸν Παροιμιαστήν, ἐν οἷς πάσης ποιήσεως καὶ σοφιστείας πλείονα ἀγχίνοιαν εὑρήσεις, ὅτι κυρίου τοῦ μόνου σοφοῦ φθογγαί εἰσιν. 5. εἴτε ᾀσματικῶν ὀρέγῃ, ἔχεις τοὺς Ψαλμούς· εἴτε ἀρχαιογονίας, ἔχεις τὴν Γένεσιν· εἴτε νομίμων καὶ παραγγελιῶν, τὸν ἔνδοξον τοῦ κυρίου Νόμον. 6. πάντων οὖν τῶν ἀλλοτρίων καὶ διαβολικῶν ἰσχυρῶς ἀπόσχου. 7. πλὴν καὶ τὸν Νόμον ἀναγινώσκων τῶν ἐν αὐτῷ ἐπεισάκτων ἀπόσχου, εἰ καὶ μὴ πάντων, ἀλλά τινων τῶν τῆς δευτερώσεως· μόνον δὲ πρὸς ἱστορίαν ἀναγίνωσκε, εἰς τὸ γινώσκειν σε καὶ δοξάζειν τὸν Θεόν, ὅτι ἀπὸ τοιούτων καὶ τοσούτων ἐρρύσατό σε δεσμῶν. 8. ἔστω δέ σοι πρὸ ὀφθαλμῶν γινώσκειν, τί νόμος φυσικὸς καὶ τί τὰ τῆς δευτερώσεως τά τε ἐν τῇ ἐρήμῳ τοῖς μοσχοποιήσασι δοθέντα ἐπείσακτα. 9. νόμος γάρ ἐστιν, ἃ ἐλάλησεν κύριος ὁ θεὸς πρὸ τοῦ τὸν λαὸν εἰδωλολατρῆσαι, τοῦτ' ἔστιν ἡ δεκάλογος· ἃ δὲ ἁμαρτήσασιν αὐτοῖς ἐπετέθη, δεσμὰ σὺ ἑαυτῷ μὴ ἐπισπάσῃ. 10. ὁ γὰρ σωτὴρ ἡμῶν οὐ δι' ἕτερόν τι «ἦλθεν, ἢ ἵνα πληρώσῃ τὸν νόμον καὶ τοὺς προφήτας[3]» καὶ τὰ δεσμὰ τῆς δευτερώσεως τῶν ἐπεισάκτων ἢ παύσῃ ἢ μεταθῇ· διὰ γὰρ τοῦτο προσκαλούμενος ἡμᾶς ἔλεγεν· «Δεῦτε

1. Λευϊτ. 19, 27. 2. Ἰησ. Ν. 1, 8. Δευτ. 6, 7. 3. Ματθ. 5, 17.

πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς[1]». 11. σὺ οὖν, ἀναγνοὺς τὸν Νόμον σύμφωνον ὄντα τῷ Εὐαγγελίῳ καὶ τοῖς Προφήταις, ἀναγίνωσκε καὶ τὰς Βασιλείους, ὅπως εἰδέναι ἔχοις, ὁπόσοι δίκαιοι ἐγένοντο βασιλεῖς καὶ ηὐξήθησαν ὑπὸ Θεοῦ, καὶ ἡ ἐπαγγελία τῆς αἰωνίου ζωῆς αὐτοῖς διέμεινεν παρ' αὐτῷ, ὅσοι δὲ βασιλεῖς ἐξεπόρνευσαν ἀπὸ θεοῦ, ἐν ἀποστασίᾳ αὐτῶν συντόμως ἀπώλοντο τῇ τοῦ θεοῦ δικαιοκρισίᾳ καὶ τῆς αὐτοῦ ζωῆς ἐστερήθησαν ἀντὶ ἀναπαύσεως αἰωνίαν κόλασιν κληρωσάμενοι. 12. ταῦτα οὖν ἀναγινώσκων, πολὺ τῇ πίστει αὐξηθεὶς προσοικοδομηθήσῃ Χριστῷ, οὗ σῶμα καὶ μέλος τυγχάνεις. 13. περιπατῶν δὲ ἐν τῇ ἀγορᾷ καὶ λούσασθαι βουλόμενος, χρήσῃ βαλανείῳ ἀνδρείῳ, ἵνα μὴ διὰ τὸ ἐπιδεικνύναι σε σῶμα ἐν ἀσχήμῳ ἀποκαλύψει γυναιξὶν ἢ θεάσασθαι θέαν οὐχ ἁρμόζουσαν ἀνδράσιν ἢ σὺ παγιδευθῇς ἢ παγιδεύσῃς ἐπὶ σαυτῷ. 14. φυλάσσου οὖν τὰ τοιαῦτα, ἵνα μὴ λάβῃς βρόχους τῇ ἑαυτοῦ ψυχῇ.

VII. Μάθωμεν γάρ, ἐν τῇ Σοφίᾳ τί λέγει ὁ ἅγιος λόγος· 2. «Υἱέ, φύλασσε ἐμοὺς λόγους, τὰς δὲ ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ. 3. εἰπὸν τὴν σοφίαν σὴν ἀδελφὴν εἶναι, τὴν δὲ φρόνησιν γνωρίμην περιποίησαι σεαυτῷ, ἵνα σε τηρήσῃ ἀπὸ γυναικὸς ἀλλοτρίας καὶ πονηρᾶς, ἐάν σε λόγοις τοῖς πρὸς χάριν ἐμβάληται. 4. ἀπὸ γὰρ θυρίδος οἴκου αὐτῆς εἰς τὰς πλατείας παρακύπτουσα, ὃν ἂν ἴδῃ τῶν ἀφρόνων τέκνων νεανίαν ἐνδεῆ φρενῶν παραπορευόμενον ἐν ἀγορᾷ ἐν διόδοις οἴκου αὐτῆς καὶ λαλοῦντα ἐν σκότει ἑσπερινῷ, ἡνίκα ἂν ᾖ ἡσυχία νυκτερινὴ καὶ γνοφώδης, 5. ἡ δὲ γυνὴ συναντᾷ αὐτῷ εἶδος ἔχουσα πορνικόν, ἣ ποιεῖ νέων ἐξίπτασθαι καρδίας, ἀνεπτερωμένη δέ ἐστι καὶ ἄσωτος, ἐν οἴκῳ δὲ οὐχ ἡσυχάζουσιν οἱ πόδες αὐτῆς· χρόνον γάρ τινα ἔξω ῥέμβεται, χρόνον δὲ ἐν πλατείαις παρὰ πᾶσαν γωνίαν ἐνεδρεύει. 6. εἶτα ἐπιλαβομένη ἐφίλησεν αὐτόν, ἀναιδεῖ δὲ προσώπῳ προσεῖπεν αὐτόν· Θυσία εἰρηνική μοι ἔστιν σήμερον, ἀποδίδωμι τὰς εὐχάς μου· ἕνεκεν τούτου ἐξῆλθον εἰς συνάντησίν σου, ποθοῦσα τὸ σὸν πρόσωπον εὕρηκά σε· κηρίαις τέτακα τὴν κλίνην μου, ἀμφιτάποις δὲ ἔστρωκα τοῖς ἀπ' Αἰγύπτου· διέρραγκα τὴν κοίτην μου κρόκῳ, τὸν δὲ οἶκόν μου κινναμώμῳ· ἐλθὲ καὶ ἀπολαύσωμεν φιλίας ἕως ὄρθρου, δεῦρο καὶ ἐγκυλισθῶμεν ἔρωτι[2]», καὶ τὰ ἑξῆς, οἷς ἐπιφέρει· 7. «Ἀπεπλάνησεν δὲ αὐτὸν πολλῇ ὁμιλίᾳ, βρόχοις τε τοῖς ἀπὸ χειλέων ἐξώκειλεν αὐτόν· ὁ δὲ ἐπηκολούθησεν αὐτῇ κεπφωθείς[3]». 8. καὶ πάλιν λέγει· «Μὴ πρόσεχε φαύλῃ γυναικί· μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου[4]». 9. καὶ πάλιν· «Ἀλλὰ ἀποπήδησον, μὴ ἐγχρονίσῃς μηδὲ ἐπιστήσῃς σὸν ὄμμα πρὸς αὐτήν· πολλοὺς γὰρ τρώσασα καταβέβληκεν, καὶ ἀναρίθμη-

---

1. Ματθ. 11, 28. 2. Παρμ. 7, 1-18. 3. Παρμ. 7, 21-22.
4. Παρμ. 5, 3-4.

τοί εἰσιν, οὓς πεφόνευκεν[1]». 10. εἰ δὲ μή, φησὶ «μεταμεληθήσῃ ἐπ' ἐσχάτων σου, ἡνίκα ἂν κατατριβῶσιν σάρκες σώματός σου, καὶ ἐρεῖς· Πῶς ἐμίσησα παιδείαν, καὶ ἐλέγχους δικαίων ἐξέκλινεν ἡ καρδία μου; οὐκ ἤκουον φωνῆς παιδεύοντός με καὶ διδάσκοντός με, οὐ παρέβαλλον τὸ οὖς μου· παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ[2]». 11. ἵνα δὲ μὴ διὰ πλειόνων παρεκτείνωμεν τὰς μαρτυρίας, καὶ εἴ τινα παρήκαμεν, οἱ σοφοί, ἑαυτοῖς τὰ καλὰ ἐπιλέγοντες ἐκ τῶν ἱερῶν γραφῶν, ἐπιστερεοῦσθε παραιτούμενοι πάντα τὰ φαῦλα εἰς τὸ ὁσίους εὑρεθῆναι ὑμᾶς ἐν ζωῇ αἰωνίῳ παρὰ θεῷ.

VIII. «Ἡ» δὲ «γυνὴ ὑποτασσέσθω τῷ ἑαυτῆς ἀνδρί, ὅτι κεφαλὴ τῆς γυναικὸς ὁ ἀνὴρ ὑπάρχει, τοῦ δὲ ἀνδρὸς τοῦ πορευομένου ἐν ὁδῷ δικαιοσύνης κεφαλή ἐστιν ὁ Χριστός, τοῦ δὲ Χριστοῦ κεφαλὴ ὁ ἐπὶ πάντων «θεὸς» καὶ πατὴρ αὐτοῦ[3]. 2. μετὰ οὖν τὸν παντοκράτορα θεὸν ἡμῶν καὶ πατέρα, τοῦ τε ἐνεστῶτος καὶ τοῦ μέλλοντος αἰῶνος κύριον, πάσης τε πνοῆς καὶ δυνάμεως δημιουργόν, καὶ τὸν ἠγαπημένον αὐτοῦ υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, δι' οὗ ἡ δόξα τῷ θεῷ, φοβήθητί σου τὸν ἄνδρα, ὦ γύναι, καὶ ἐντράπηθι αὐτόν, αὐτῷ μόνῳ ἀρέσκουσα, αὐτῷ ὑπάρχουσα εὐάρεστος ἐν ταῖς διακονίαις αὐτοῦ, ἵνα καὶ ἐπὶ σοὶ μακαρισθῇ ὁ ἀνὴρ διὰ τῆς Σοφίας τῆς λεγούσης διὰ Σολομῶντος τάδε· 3. «Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστιν λίθων πολυτελῶν ἡ τοιαύτη, θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη σκύλων οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ κατὰ πάντα τὸν βίον. 4. μηρυσαμένη ἔριον καὶ λίνον ἐποίησεν εὔχρηστα ταῖς χερσὶν αὐτῆς, ἐγένετο ὡς ναῦς ἐμπορευομένη μακρόθεν συνάγουσα αὐτῷ τὸν βίον. 5. καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκεν βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις· θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν τῶν χειρῶν αὐτῆς ἐφύτευσεν κτῆμα. 6. ἀναζωσαμένη τὴν ὀσφὺν αὐτῆς ἤρεισεν τοὺς ἑαυτῆς βραχίονας, καὶ ἐγεύσατο, ὅτι καλὸν τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα· τοὺς πήχεις αὐτῆς ἐκτείνει εἰς τὰ χρήσιμα, τὰς χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. 7. χεῖρας δὲ αὐτῆς διήνοιξεν πένητι, καρπὸν δὲ ἐξέτεινεν πτωχῷ. 8. οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, πάντες γὰρ οἱ παρ' αὐτῇ εἰσιν ἐνδεδυμένοι δισσὰς στολάς, καὶ χλαίνας ἐποίησεν τῷ ἀνδρὶ αὐτῆς, ἐκ βύσσου καὶ πορφύρας ἐνδύματα. 9. περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς, ἡνίκα ἂν κάθηται ἐν συνεδρίῳ μετὰ τῶν πρεσβυτέρων τῶν κατοικούντων. 10. σινδόνας ἐποίησεν καὶ ἀπέδοτο τοῖς Φοίνιξιν, περιζώματα δὲ τοῖς Χαναναίοις· ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. 11. στόμα αὐτῆς διήνοιξεν σοφῶς καὶ προσηκόντως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς· στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ

1. Παρμ. 9, 18. 7, 26. 2. Παρμ. 5, 11-14. 3. Πρβ. Ἐφ. 5, 22,23. Α΄ Κορ. 11, 3.

οὐκ ἔφαγεν· τὸ στόμα αὐτῆς ἀνοίξει σοφῶς καὶ ἐννόμως, θεσμοὶ δὲ ἐλεημοσύνης ἐπὶ τῆς γλώσσης αὐτῆς.12. ἀνέστησαν τὰ τέκνα αὐτῆς καὶ πλουτήσαντα ᾔνεσαν αὐτήν, καὶ ὁ ἀνὴρ αὐτῆς ἐπήνεσεν αὐτήν. πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν· σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. 13. ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικὸς μὴ ἔστω ἐν σοί· γυνὴ γὰρ εὐσεβὴς εὐλογεῖται, φόβον δὲ κυρίου αὐτὴ αἰνείτω. 14. δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς [1]». 15. καὶ πάλιν· «Γυνὴ ἀνδρεία στέφανος τῷ ἀνδρὶ αὐτῆς [2]». καὶ πάλιν· «Πολλαὶ γυναῖκες ᾠκοδόμησαν οἶκον [3]». 16. μεμαθήκατε, ὁποῖα ἐγκώμια γυνὴ σώφρων καὶ φίλανδρος λαμβάνει ἀπὸ κυρίου τοῦ θεοῦ. 17. εἰ πιστὴ καὶ ἀρεστὴ κυρίῳ βούλει εἶναι, ὦ γύναι, μὴ καλλωπίζου ἐπὶ τῷ ἀρέσκειν σε ἀλλοτρίοις ἀνδράσιν, μηδὲ τὰ τῆς ἑταιριζομένης ἐμπλέγματα ἢ ἐνδύματα ἢ ὑποδέσεις μιμοῦ φορεῖν ἐπὶ τὸ ὑπάγεσθαί σε τοὺς εἰς τὰ τοιαῦτα παγιδευομένους. 18. καὶ γὰρ εἰ σὺ οὐκ ἐπὶ τὸ ἁμαρτάνειν ταῦτα ποιεῖς τὰ μύση, ἐπὶ δὲ τὸ μόνον καλλωπίζεσθαι, οὐδ' οὕτως ἐκφεύξῃ τὴν δίκην εἰς τὰ μετὰ ταῦτα, ἀναγκάσασα ἐπενεχθῆναί σοί τινα εἰς τὸ ἐπιθυμῆσαί σου, καὶ μὴ ἑαυτὴν φυλάξασα ἐπὶ τὸ μήτε σὲ ὑποπεσεῖν ἁμαρτίᾳ μήτε μὴν ἑτέρους σκανδάλῳ. εἰ δὲ καὶ ἁμαρτήσεις ἐνδοῦσα ἑαυτήν, καὶ σὺ ἐπλημμέλησας κἀκείνου ἔνοχος τῆς ψυχῆς ἐγένου. 19. εἶτα ἁμαρτήσασα ἐφ' ἑνί, ὥσπερ ἀπογνοῦσα εἰσάπαξ, ἐφ' ἑτέρου ἐκτραπήσῃ πάλιν ἀπηλγηκυῖα, καθά φησιν ὁ θεῖος λόγος· «Ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ· ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος [4]». ἡ γὰρ τοιαύτη λοιπὸν ἀφειδῶς τετρωμένη παγιδεύει ψυχὰς ἀφρόνων. 20. μάθωμεν οὖν καὶ τὰς τοιαύτας πῶς θριαμβεύει ὁ θεῖος λόγος φάσκων· «Ἐμίσησα ὑπὲρ τὸν θάνατον σὺν τὴν γυναῖκα, ἥτις ἐστὶ θήρευμα καὶ σαγήνη καρδίας, δεσμοὶ δὲ αἱ χεῖρες αὐτῆς [5]». 21. καὶ ἐν ἄλλοις· « Ὥσπερ ἐνώτιον χρυσοῦν ἐν ῥινὶ ὑός, οὕτως γυναικὶ κακόφρονι κάλλος [6]». καὶ πάλιν· «Ὥσπερ ἐν ξύλῳ σκώληξ, οὕτως ἀπόλλυσιν ἄνδρα γυνὴ κακοποιός [7]». 22. καὶ πάλιν· «Κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας ὑπαίθρου, ἢ μετὰ γυναικὸς γλωσσώδους καὶ μαχίμης [8]».23. μὴ οὖν μιμεῖσθε τὰς τοιαύτας γυναῖκας ὑμεῖς αἱ χριστιαναὶ ὑπάρχουσαι. πιστὴ δὲ θέλουσα εἶναι τῷ σῷ ἀνδρὶ πρόσεχε ἐπὶ τὸ ἀρέσκειν αὐτῷ μόνῳ, ἐν δὲ ταῖς πλατείαις σκέπουσα τὴν κεφαλήν σου· διὰ γὰρ τῆς ἐπικαλύψεως ἀποκλείσεις τὴν θέαν τοῖς περιεργοτέροις. 24. μὴ καταζωγράφει σου τὸ ὑπὸ θεοῦ πεποιημένον πρόσωπον· οὐδὲν γὰρ ἐν σοί, ὃ κοσμήσεως δέεται, ἐπείπερ «πάντα, ὅσα ἐποίησεν» ὁ θεός, «καλὰ λίαν [9]»· ἀσελγὴς δὲ ἐν καλῷ ἐπικόσμησις τεχνίτου χάριν ἐνυβρίζει. κάτω βλέπουσα τὴν ὁδοιπορίαν σου ποιοῦ περικαλύπτουσα ἑαυτήν, καθὼς πρέπει γυναιξίν.

---

1. Παρμ. 31, 10-31. 2. Παρμ. 12, 4. 3. Παρμ. 14, 1. 4. Παρμ. 18, 3. 5. Ἐκκλ. 7, 27. 6. Παρμ. 11, 22. 7. Παρμ. 12, 4. 8. Παρμ. 21, 9, 19. 9. Γεν. 1, 31.

IX. Περιίστασο καὶ τὴν ἐν βαλανείῳ μετὰ ἀνδρῶν ἄτακτον γινομένην λοῦσιν· πολλὰ γὰρ τὰ δίκτυα τοῦ πονηροῦ. ἀνδρόγυνον γυνὴ πιστὴ μὴ λουέσθω· εἰ γὰρ περικαλύπτεται τὸ πρόσωπον τὴν ἀπ' ἀλλοτρίων ἀνδρῶν ὄψιν μετὰ αἰδοῦς κρύπτουσα, πῶς γυμνὴ μετὰ ἀνδρῶν ἡ τοιαύτη εἰς λουτρὸν εἰσελεύσεται; 2. γυναικείου δὲ ὄντος βαλανείου, εὐτάκτως μετὰ αἰδοῦς μεμετρημένως λουέσθω. 3. μὴ περισσοτέραν δὲ λοῦσιν ποιείσθω, μηδὲ πολλὴν μηδὲ πολλάκις μηδὲ ἐν μέσῃ τῇ ἡμέρᾳ, ἀλλ' εἰ δυνατὸν μηδὲ καθ' ἡμέραν. 4. ὥρα δέ σοι ἔστω τακτὴ ἡ τῆς καιρολουσίας δεκάτη· δεῖ γάρ σε πιστὴν οὖσαν ἐκ παντὸς καὶ πάντοτε τὴν πολυόφθαλμον περιεργίαν φεύγειν.

X. Τὸ δὲ μάχιμόν σου πρὸς πάντας, μάλιστα δὲ καὶ πρὸς τὸν ἄνδρα σου, περίκοψον πιστὴ ὑπάρχουσα, ἵνα σου ὁ ἀνήρ, ἐὰν ᾖ πιστὸς ἢ ἐθνικός, μὴ διὰ σὲ σκανδαλισθεὶς βλασφημήσῃ θεὸν καὶ σὺ τοῦ οὐαὶ κληρονόμος εὑρεθῇς παρὰ θεῷ. «Οὐαὶ» γάρ, φησίν, «δι' οὗ τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν [1]». 2. εἰ δὲ πιστὸς ὑπάρχει σου ὁ ἀνήρ, ἀναγκασθήσεται ὡς εἰδὼς τὰς γραφὰς εἰπεῖν τὸ ῥῆμα τὸ γεγραμμένον ἐν τῇ Σοφίᾳ· «Κρεῖσσον οἰκεῖν ἐν ἐρήμῳ, ἢ μετὰ γυναικὸς γλωσσώδους καὶ μαχίμης [2]». 3. αἱ οὖν γυναῖκες διὰ τῆς αἰδοῦς καὶ πραότητος τὴν θεοσέβειαν ἐνδείκνυσθε εἰς ἐπιστροφὴν καὶ προτροπὴν πίστεως καὶ τοῖς ἐκτὸς πᾶσιν εἴτε γυναιξὶν εἴτε ἀνδράσιν. 4. καὶ εἰ δι' ὀλίγων νουθετήσαντες ἐπαιδεύσαμεν ὑμᾶς, ἀδελφαὶ καὶ θυγατέρες καὶ μέλη ἡμῶν, ὡς σοφαὶ καὶ αὐταὶ ἀλοιδόρητοι τοῦ βίου, ἐκζητεῖτε μαθήματα γινώσκειν, δι' ὧν δυνήσεσθε τῇ τοῦ κυρίου ἡμῶν ἐγγίσαι βασιλείᾳ εὐαρέστως καὶ ἀναπαύσασθαι.

---

1. Ἡσ. 52, 5. 2. Παρμ. 21, 19.

ΒΙΒΛΙΟΝ Β'

ΠΕΡΙ ΕΠΙΣΚΟΠΩΝ, ΠΡΕΣΒΥΤΕΡΩΝ ΚΑΙ ΔΙΑΚΟΝΩΝ

I. Περὶ δὲ τῶν ἐπισκόπων οὕτως ἠκούσαμεν παρὰ τοῦ κυρίου ἡμῶν· τὸν ποιμένα τὸν καθιστάμενον ἐπίσκοπον εἰς τὰς ἐκκλησίας ἐν πάσῃ παροικίᾳ δεῖ ὑπάρχειν ἀνέγκλητον, ἀνεπίληπτον [1], ἀνέπαφον πάσης ἀδικίας ἀνθρώπων, οὐκ ἔλαττον ἐτῶν πεντήκοντα, ὅτι τρόπῳ τινὶ τὰς νεωτερικὰς ἀταξίας καὶ τὰς ἔξωθεν διαβολὰς ἐκπεφευγὼς ὑπάρχει πρὸς τάς τινων ψευδαδέλφων εἰς πολλοὺς ἐπιφερομένας βλασφημίας οὐ γινωσκόντων ῥῆμα θεοῦ τὸ ἐν τῷ Εὐαγγελίῳ· «Ὃς ἂν λαλήσῃ ῥῆμα ἀργόν, ἀποδώσει περὶ αὐτοῦ λόγον τῷ κυρίῳ ἐν ἡμέρᾳ κρίσεως [2]», καὶ πάλιν· «Ἐκ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ [3]». 2. ἔστω οὖν, εἰ δυνατόν, πεπαιδευμένος· εἰ δὲ καὶ ἀγράμματος, ἀλλ' οὖν ἔμπειρος τοῦ λόγου, καθήκων τῇ ἡλικίᾳ. 3. εἰ δὲ καὶ ἐν παροικίᾳ μικρᾷ ὑπαρχούσῃ που προβεβηκὼς τῷ χρόνῳ μὴ εὑρίσκηται μεμαρτυρημένος καὶ σοφὸς εἰς ἐπισκοπὴν κατασταθῆναι, νέος δὲ ᾖ ἐκεῖ, μεμαρτυρημένος ὑπὸ τῶν συνόντων αὐτῷ ὡς ἄξιος ἐπισκοπῆς, διὰ τῆς νεότητος ἐν πραότητι καὶ εὐταξίᾳ γῆρας ἐπιδεικνύμενος, δοκιμασθείς, εἰ ὑπὸ τῶν πάντων οὕτως μαρτυρεῖται, καθιστάσθω ἐν εἰρήνῃ. 4. καὶ γὰρ Σολομὼν δωδεκαετὴς τοῦ Ἰσραὴλ ἐβασίλευσεν, καὶ Ἰωσίας ἐν δικαιοσύνῃ ὀκτὼ ἐτῶν ἐβασίλευσεν, ὁμοίως δὲ καὶ Ἰωὰς ἑπτὰ ἐτῶν ἦρξεν τοῦ λαοῦ. 5. ὥστε εἰ καὶ νέος, ἀλλὰ πρᾶος ὑπαρχέτω δειλός τε καὶ ἡσύχιος, ὅτι λέγει διὰ τοῦ Ἡσαΐου κύριος ὁ θεός· «Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους διαπαντός; [4]» ὁμοίως καὶ ἐν τῷ Εὐαγγελίῳ οὕτως· «Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν [5]». 6. ἔστω δὲ καὶ ἐλεήμων, ὅτι πάλιν εἴρηται· «Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται [6]». 7. ἔστω δὲ καὶ εἰρηνοποιός, ὅτι πάλιν λέγει· «Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται [7]». 8. γινέσθω δὲ καὶ εὐσυνείδητος, πάσης κακίας καὶ πονηρίας καὶ ἀδικίας κεκαθαρμένος, ὅτι πάλιν εἴρηται· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται [8]».

II. Ἔστω οὖν καὶ «νηφάλιος, σώφρων, κόσμιος [9]», εὐσταθής, ἀτάραχος, «μὴ πάροινος, μὴ πλήκτης, ἀλλ' ἐπιεικής, ἄμαχος, ἀφιλάργυρος· μὴ νεόφυτος, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου [10], ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται [11]». 2. τοιοῦτον δὲ «δεῖ εἶναι τὸν

---

1. Πρβλ. Τίτ. 1, 7. Α' Τιμ. 3, 2. 2. Ματθ. 12, 36. 3. Ματθ. 12, 37. 4. Ἡσ. 66, 2. 5. Ματθ. 5, 5. 6. Ματθ. 5, 7. 7. Ματθ. 5, 9. 8. Ματθ. 5, 8. 9. Πρβλ. Α' Τιμ. 3, 2 ἑξ. 10. Α' Τιμ. 3. 2 ἑξ. 11. Λουκ. 14, 11.

ἐπίσκοπον· μιᾶς ἄνδρα» γεγενημένον «γυναικὸς» μονογάμου, «καλῶς τοῦ ἰδίου οἴκου προεστῶτα [1]». 3. οὕτως γὰρ δοκιμαζέσθω, ὁπόταν τὴν χειροτονίαν λαμβάνων καθίσταται ἐν τῷ τόπῳ τῆς ἐπισκοπῆς· εἰ ἔστι σεμνός, πιστὸς καὶ κόσμιος, εἰ γυναῖκα σεμνὴν καὶ πιστὴν ἔχει ἢ ἔσχηκεν, εἰ τέκνα θεοσεβῶς ἀναθρέψας καὶ ἐν νουθεσίᾳ κυρίου παιδεύσας προήγαγεν, εἰ οἱ κατ' οἶκον αὐτοῦ, εὐλαβούμενοι καὶ ἐντρεπόμενοι αὐτόν, ὑπήκοοι πάντες εἰσὶν αὐτῷ. 4. εἰ γὰρ οἱ κατὰ σάρκα ἴδιοι αὐτοῦ πρὸς αὐτὸν στασιάζουσιν καὶ ἀπειθοῦσιν, πῶς οἱ ἔξω τῆς οἰκίας αὐτοῦ ἴδιοι γενόμενοι αὐτῷ ὑποταγήσονται;

III. Δοκιμαζέσθω οὖν, εἰ ἄμωμός ἐστιν περὶ τὰς βιωτικὰς χρείας· γέγραπται γάρ· «Μωμοσκοπεῖσθε τὸν μέλλοντα εἰς ἱερωσύνην προχειρίζεσθαι [2]». 2. ὑπαρχέτω οὖν καὶ ἀόργητος, ὅτι λέγει ἡ Σοφία· «Ὀργὴ καὶ φρονίμους ἀπόλλυσιν [3]». 3. ἔστω δὲ εὔσπλαγχνος, ἀβάναυσος, ἀγαπητικός, ὅτι λέγει κύριος· «Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους [4]».

IV. Ἔστω καὶ εὐμετάδοτος, φιλόχηρος, φιλόξενος, ὑπηρετικός, εὐδιάκονος, εὔσκυλτος, ἀνεπαίσχυντος, εἰδὼς τὸν μᾶλλον ὄντα ἄξιον ὑπολήψεως. 2. εἰ γὰρ χήρα τις ὑπάρχουσα ἡ δυναμένη ἐπαρκεῖν ἐν τῷ βίῳ τὰ χρηστήρια, ἑτέρα δὲ οὐ χήρα, ἀλλ' ἐνδεὴς ὑπάρχει καὶ διὰ νόσον ἢ τεκνοτροφίαν ἢ δι' ἀσθένειαν χειρῶν, ἐπὶ ταύτην μᾶλλον ἐκτεινάτω τὴν χεῖρα. 3. εἰ δέ τις ὡς καταφαγᾶς ἢ μέθυσος ἢ ἀργὸς ἐν τοῖς βιωτικοῖς θλίβεται, οὐκ ἔστιν ἄξιος ἐπικουρίας, οὔτε μὴν ἐκκλησίας θεοῦ. 4. λέγει γὰρ ἡ γραφὴ περὶ τούτων φάσκουσα, ὅτι, «κρύψας ὀκνηρὸς τὴν χεῖρα αὐτοῦ ὑπὸ τὸν κόλπον οὐ δυνήσεται ἀπενεγκεῖν αὐτὴν εἰς τὸ στόμα αὐτοῦ [5]». 5. καὶ πάλιν· «Ὁ ἀργὸς περιέλαβεν τὰς χεῖρας αὐτοῦ καὶ ἔφαγεν τὰς σάρκας αὐτοῦ· πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύσει, καὶ ἐνδύσεται διερρωγότα καὶ ῥακώδη πᾶς ὑπνώδης [6]». 6. καὶ ἐν ἄλλοις· «Ἐὰν δὲ εἰς τὰς φιάλας καὶ τὰ ποτήρια δῷς τοὺς ὀφθαλμούς σου, ὕστερον περιπατήσεις γυμνότερος ὑπέρου [7]». 7. ὡς ἀληθῶς γὰρ μήτηρ ἐστὶν ἡ ἀργία τοῦ λιμοῦ.

V. Ἔστω δὲ ὁ ἐπίσκοπος ἀπροσωπόληπτος, μήτε πλούσιον ἐντρεπόμενος ἢ κολακεύων παρὰ τὸ προσῆκον, μήτε πένητα παρορῶν ἢ καταδυναστεύων. 2. «Οὐ λήψῃ» γάρ, φησὶν ὁ θεὸς τῷ Μωσῇ, «πρόσωπον πλουσίου, καὶ πένητα οὐκ ἐλεήσεις ἐν κρίσει, ὅτι τοῦ κυρίου ἡ κρίσις [8]»· καὶ πάλιν· «Δικαίως διώξει τὸ δίκαιον [9]». 3. τροφῇ καὶ ποτῷ λυσιτελὴς καὶ αὐτάρκης ὑπαρχέτω ὁ ἐπίσκοπος, ἵνα δυνηθῇ νήφειν πρὸς τὸ νουθετεῖν τοὺς ἀπαιδεύτους· ἔστω μὴ δάπανος, μὴ τρυφητής, μὴ ἡδύβιος, μὴ χρηστοφάγος. 4. ἔστω δὲ ἀνεξίκακος, μακρόθυμος ἐν ταῖς νουθεσίαις, πολυδιδακτικός, μελετῶν καὶ σπουδάζων ἐν ταῖς κυριακαῖς

---

1. Α' Τιμ. 3, 2-4. 2. Λευϊτ. 21, 27. 3. Παρμ. 15, 1. 4. Ἰω. 13, 35.
5. Παρμ. 19, 24. 6. Ἐκκλ. 4, 5. Παρμ. 23, 21. 7. Παρμ. 23, 31.
8. Λευϊτ. 19, 15. 9. Δευτ. 1, 17· 16, 20.

βίβλοις, πολὺς ἐν ἀναγνώσμασιν, ἵνα τὰς γραφὰς ἐπιμελῶς ἑρμηνεύῃ, ὁμοστοίχως τοῖς Προφήταις καὶ τῷ Νόμῳ τὸ Εὐαγγέλιον ἑρμηνεύων· ὁμοίως τῷ Εὐαγγελίῳ στοιχείτωσαν αἱ ἐκ Νόμου καὶ Προφητῶν ἑρμηνεῖαι. 5. λέγει γὰρ ὁ κύριος Ἰησοῦς· «Ἐρευνᾶτε τὰς γραφάς, ὅτι αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ[1]», καὶ πάλιν· «Περὶ γὰρ ἐμοῦ Μωσῆς ἔγραψεν[2]». 6. πρὸ πάντων δὲ διαστολεὺς ἀγαθὸς γινέσθω, νόμον καὶ δευτέρωσιν διαιρῶν, καὶ δεικνύων, τί νόμος ἐστὶν πιστῶν καὶ τί δεσμὰ ἀπίστων, ἵνα μή τις ὑποπέσῃ τοῖς δεσμοῖς. 7. ἐπιμελοῦ οὖν τοῦ λόγου, ἐπίσκοπε, ἵνα, εἰ δυνατόν σοι, πάντα κατὰ λέξιν ἑρμηνεύσῃς καὶ ἐν πολλῇ διδαχῇ πλουσίως τρέφῃς καὶ ποτίζῃς τὸν λαόν σου τὸν φωτισμὸν τοῦ νόμου. «Φωτίσατε» γάρ, φησὶν ὁ θεός, «ἑαυτοῖς φῶς γνώσεως, ὡς ἔτι καιρός[3]».

VI. Ἔστω δὲ «ὁ ἐπίσκοπος μὴ αἰσχροκερδής[4]», καὶ μάλιστα ἐπὶ τῶν ἐθνῶν, βλαπτόμενος μᾶλλον ἢ βλάπτων, μὴ πλεονέκτης, μὴ ἅρπαξ, μὴ ἀποστερητής, μὴ φιλοπλούσιος, μὴ μισόπτωχος, μὴ κατάλαλος, μὴ ψευδομάρτυς, μὴ θυμώδης, μὴ φιλόμαχος, μὴ ταῖς τοῦ βίου πραγματείαις συμπεπλεγμένος, μὴ ἐγγυώμενός τινα ἢ συνηγορῶν δίκαις χρηματικαῖς, μὴ φίλαρχος, μὴ δίγνωμος, μὴ δίγλωσσος, μὴ πρὸς διαβολὴν ἢ καταλαλιὰν φιλήκοος, μὴ ὑποκριτής, μὴ ταῖς ἑορταῖς τῶν ἐθνῶν ἐπορεγόμενος, ἀπάταις κεναῖς μὴ χρώμενος, μηδὲ ἐπιθυμητικός, μὴ φιλάργυρος, ὅτι πάντα τὰ τοιαῦτα ἐχθρὰ τοῦ θεοῦ ὑπάρχει καὶ δαιμόνων φίλα. 2. ταῦτα δὲ πάντα ὁ ἐπίσκοπος καὶ τοῖς λαϊκοῖς διαβεβαιούμενος παραγγελλέτω, ἐνάγων αὐτοὺς μιμητὰς γίνεσθαι τοῦ ἑαυτοῦ τρόπου· «Εὐλαβεῖς» γάρ, φησίν, «ποιήσατε τοὺς υἱοὺς Ἰσραήλ[5]». 3. ἔστω δὲ σοφός, ταπεινόφρων, νουθετητικὸς ἐν ταῖς κυριακαῖς παιδείαις, καλογνώμων, ἀποτεταγμένος πᾶσιν τοῖς ἐν τῷ βίῳ πονηροῖς ἐπιτηδεύμασιν καὶ πάσαις ἐθνικαῖς ἐπιθυμίαις. 4. ἔστω εὐπρόστακτος, ὀξὺς πρὸς τὸ γνῶναι τοὺς φαύλους καὶ φυλάσσεσθαι ἀπ' αὐτῶν, φίλος δὲ ὢν πάντων, δικαιοκριτικός, καὶ ὅσα καλὰ ἐν ἀνθρώποις ἔστιν ἢ ὑπάρχει, ταῦτα ὁ ἐπίσκοπος ἐν ἑαυτῷ κεκτήσθω· 5. ὅτι ἀνεπίληπτος ἀδικίας ὢν ποιμὴν τοὺς ἰδίους αὐτοῦ μαθητὰς ἀναγκάσει καὶ διὰ τῆς ἀναστροφῆς αὐτοῦ προτρέψασθαι τῶν ἰδίων αὐτοῦ ποιημάτων μιμητὰς ἀξίους γεννηθῆναι, ὡς λέγει που καὶ ὁ προφήτης· «Καὶ ἔσται καθὼς ὁ ἱερεύς, οὕτως καὶ ὁ λαός[6]». 6. καὶ γὰρ ὁ κύριος ἡμῶν καὶ διδάσκαλος Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ἤρξατο πρῶτον ποιεῖν καὶ τότε διδάσκειν, ὥς που λέγει· «Ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν[7]». διό φησιν· «Ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ[8]». 7. σκοποὺς γὰρ εἶναι δεῖ ὑμᾶς τῷ λαῷ τοὺς ἐπισκόπους, ὅτι καὶ ὑμεῖς σκοπὸν ἔχετε τὸν Χριστόν. καὶ ὑμεῖς οὖν γίνεσθε σκοποὶ

---

1. Ἰω. 5, 39. 2. Ἰω. 5, 46. 3. Ὠσ. 10, 12. 4. Τίτ. 1, 6. 5. Λευϊτ. 15, 31. 6. Ὠσ. 4, 9. 7. Πράξ. 1, 1. 8. Ματθ. 5, 19.

ἀγαθοὶ τῷ λαῷ τοῦ θεοῦ, ὅτι λέγει κύριος διὰ τοῦ Ἰεζεκιὴλ πρὸς ἕκαστον ὑμῶν φάσκων· 8. «Υἱὲ ἀνθρώπου, σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ, καὶ ἀκούσῃ ἐκ στόματός μου λόγον καὶ διαφυλάξεις καὶ διαγγελεῖς αὐτὸν παρ' ἐμοῦ. 9. ἐν τῷ λέγειν με τῷ ἀνόμῳ· Θανάτῳ ἀποθανῇ, καὶ οὐκ ἐλάλησας τοῦ διαστεῖλαι ἄνομον ἐκ τῆς ἀνομίας αὐτοῦ, ὁ ἄνομος ἐκεῖνος ἐν τῇ ἀνομίᾳ αὐτοῦ ἀποθανεῖται, καὶ τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω· σὺ δὲ ἐὰν διαστείλῃ τῷ ἀνόμῳ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ ἀποστρέψαι ἀπ' αὐτῆς, καὶ μὴ ἀποστρέψῃ, αὐτὸς ἐν τῇ ἀνομίᾳ αὐτοῦ ἀποθανεῖται, καὶ σὺ τὴν ψυχήν σου ἐρρύσω[1]». 10. ὡσαύτως καὶ «μάχαιρα πολέμου ἐὰν ᾖ ἐρχομένη, καὶ στήσῃ ὁ λαὸς σκοπὸν εἰς προφυλακὴν καὶ ἰδὼν αὐτὴν ἐρχομένην μὴ προμηνύσῃ καὶ λάβῃ ψυχήν, ἡ μὲν ψυχὴ τῇ ἁμαρτίᾳ αὐτῆς ἐλήφθη, τὸ δὲ αἷμα ἐκ χειρὸς τοῦ σκοποῦ ἐκζητηθήσεται, ὅτι οὐκ ἐσήμανεν ἐν τῇ σάλπιγγι· ἐὰν δὲ σημάνῃ τῇ κερατίνῃ καὶ μὴ φυλάξηται ὁ ἀκούσας καὶ ἔλθῃ ἡ μάχαιρα καὶ λάβῃ αὐτόν, τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἔσται, ὅτι οὐκ ἐφυλάξατο ἀκούσας τῆς κερατίνης, ὁ δὲ φυλαξάμενος τὴν ψυχὴν αὐτοῦ ἐρρύσατο[2]», καὶ ὁ σκοπός, ὅτι ἐσήμανεν, ζωῇ ζήσεται. 11. μάχαιρα μέν ἐστιν ἡ κρίσις, σάλπιγξ δὲ τὸ ἱερὸν εὐαγγέλιον, σκοπὸς δὲ ὁ κατασταθεὶς τῇ ἐκκλησίᾳ ἐπίσκοπος, ὃν δεῖ κηρύσσοντα διαμαρτύρεσθαι καὶ διαβεβαιοῦσθαι περὶ τῆς κρίσεως. 12. ἐὰν γὰρ μὴ διαγγείλητε καὶ διαμαρτύρησθε τῷ λαῷ, εἰς ὑμᾶς ἡ ἁμαρτία τῶν ἀγνοούντων εὑρεθήσεται· διὸ τοὺς ἀναστρεφομένους ἐν ἀπαιδευσίᾳ νουθετεῖτε καὶ ἐλέγχετε μετὰ παρρησίας, τοὺς ἀγνοοῦντας διδάσκετε, τοὺς ἐπισταμένους στηρίζετε, τοὺς πεπλανημένους ἐπιστρέφετε. 13. τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγοντες, ἀδελφοί, οὐχ ἁμαρτησόμεθα· ἐκ γὰρ τοῦ πολλάκις ἀκούειν εἰκός τινας δυσωπηθέντας κἂν ἅπαξ τι τῶν καλῶν ποιῆσαι καὶ τῶν πονηρῶν παραιτήσασθαι. 14. λέγει γὰρ διὰ τοῦ προφήτου ὁ θεός· «Διαμαρτύρει αὐτοῖς ταῦτα, ἴσως ἀκούσοντα τῆς φωνῆς σου[3]», καὶ πάλιν· «Ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα ἐνδῶσιν[4]». 15. καὶ ὁ Μωσῆς φησιν τῷ λαῷ· «Ἄκουε, Ἰσραήλ, κύριος ὁ θεός σου κύριος εἷς ἐστιν[5]». 16. καὶ ὁ κύριος ἐν τῷ Εὐαγγελίῳ πολλάκις μιμνήσκεται λέγων· «Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω[6]», καὶ ὁ σοφὸς Σολομῶν φησιν· «Ἄκουε, υἱέ, παιδείαν πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου[7]». 17. καὶ μέχρι σήμερον οὐκ ἤκουσαν· καὶ οἱ δοκοῦντες δὲ ἀκηκοέναι παρήκουσαν, καταλείψαντες «τὸν ἕνα καὶ μόνον ἀληθινὸν θεόν[8]» καὶ εἰς τὰς ὀλεθρίας καὶ δεινὰς αἱρέσεις κατασυρέντες, περὶ ὧν αὖθις ἐροῦμεν.

VII. Γνωστὸν δὲ ἔστω ὑμῖν, ἀγαπητοί, ὅτι, «οἱ βαπτισθέντες εἰς τὸν θάνατον τοῦ κυρίου Ἰησοῦ[9]», οὐκέτι ὀφείλουσιν ἁμαρτάνειν

---

1. Ἰεζ. 33, 7-9. 2. Ἰεζ. 33, 2-6. 3. Ἰερ. 33, 2-3. Ἰεζ. 2, 7. 4. Ἰεζ. 3, 11. 5. Δευτ. 6, 4. 6. Ματθ. 11, 15. 7. Παρμ. 1, 8. 8. Ἰω. 17, 3. 9. Ῥωμ. 6, 3.

οἱ τοιοῦτοι. ὡς γὰρ οἱ ἀποθανόντες ἀνενέργητοι πρὸς ἁμαρτίαν ὑπάρχουσιν, οὕτως καὶ οἱ συναποθανόντες τῷ Χριστῷ ἄπρακτοι πρὸς ἁμαρτίαν. 2. οὐ πιστεύομεν οὖν, ἀδελφοί, λουσάμενόν τινα τὸ τῆς ζωῆς λουτρὸν ἔτι πράσσειν τὰ τῶν ἀνόμων ἀσελγήματα· ὁ δὲ ἁμαρτήσας μετὰ τὸ βάπτισμα, οὗτος, ἐὰν μὴ μεταγνῷ καὶ παύσηται τοῦ πλημμελεῖν, εἰς γέενναν κατακριθήσεται.

VIII. Εἰ δέ τις ὑπὸ ἀπίστων συκοφαντηθῇ διὰ τὸ μηκέτι αὐτοῖς συνασελγαίνειν, γινωσκέτω, ὅτι μακάριος ὁ τοιοῦτος ὑπάρχει παρὰ θεῷ, καθὼς καὶ ὁ κύριος ἐν τῷ Εὐαγγελίῳ λέγει· «Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς ἢ διώξωσιν ἢ εἴπωσιν καθ' ὑμῶν πᾶν πονηρὸν ῥῆμα ψευδόμενοι ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς[1]». 2. εἰ οὖν τις βλασφημηθείη ἐπὶ ψεύσματι, μακάριος ὁ τοιοῦτος· λέγει γὰρ ἡ γραφή· «Ἀνὴρ ἀδόκιμος ἀπείραστος παρὰ τῷ θεῷ[2]». 3. εἰ δέ τις ἐλεγχθῇ πράξας τι ἄνομον, ὁ τοιοῦτος οὐ μόνον ἑαυτὸν ἔβλαψεν, ἀλλὰ καὶ βλασφημίαν προσέτριψεν τῷ κοινῷ τῆς ἐκκλησίας σώματι καὶ τῇ διδασκαλίᾳ, ὡς μὴ ποιούντων ἐκεῖνα, ἃ λέγομεν εἶναι καλά· καὶ ὀνειδισθησόμεθα καὶ ἡμεῖς ὑπὸ τοῦ κυρίου, ὅτι «λέγουσιν καὶ οὐ ποιοῦσιν[3]». 4. ὅθεν τοὺς τοιούτους ἐλεγχθέντας ἀληθῶς παραιτήσεται μετὰ παρρησίας ὁ ἐπίσκοπος, εἰ μὴ μεταβάλωνται τὸν τρόπον.

IX. Οὐ γὰρ μόνον ἀπρόσκοπον εἶναι χρὴ τὸν ἐπίσκοπον, ἀλλὰ καὶ ἀπροσωπόληπτον, ἐν χρηστότητι σωφρονίζοντα τοὺς ἁμαρτάνοντας. 2. εἰ δὲ καὶ αὐτὸς οὐκ εὐσυνείδητος ὑπάρχων, προσωπολήπτης γενόμενος διά τινα αἰσχροκερδῆ δωροληψίαν φείσεται τοῦ ἀνόμως ἁμαρτάνοντος, ἐάσας ἐν τῇ ἐκκλησίᾳ μένειν αὐτόν, παρακούσας τῆς θείας καὶ κυριακῆς φωνῆς τῆς λεγούσης· «Δικαίως διώξει τὸ δίκαιον· οὐ λήψῃ πρόσωπον ἐν κρίσει· οὐ δικαιώσεις τὸν ἀσεβῆ· οὐ λήψῃ δῶρα ἐπὶ ψυχῇ, τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν καὶ λυμαίνεται ῥήματα δικαίων[4]». 3. καὶ ἐν ἄλλοις φησίν· «Ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν[5]». καὶ ὁ Σολομῶν λέγει ἐν Παροιμίαις· «Ἔκβαλε λοιμὸν ἐκ συνεδρίου, καὶ συνεξελεύσεται αὐτῷ νεῖκος[6]».

X. Ὁ δὲ μὴ προσέχων τούτοις ἀκρίτως φείσεται ἐπὶ τῷ ὀφείλοντι τιμωρίαν, ὡς ὁ Σαοὺλ ἐπὶ τῷ Ἀγὰγ καὶ ὁ Ἡλεὶ ἐπὶ τοῖς υἱοῖς τοῖς οὐκ εἰδόσι τὸν κύριον, ὁ τοιοῦτος ἐβεβήλωσεν καὶ τὴν οἰκείαν ἀξίαν καὶ τὴν τοῦ θεοῦ ἐκκλησίαν τὴν κατὰ τὴν παροικίαν αὐτοῦ. ἄδικος οὖν οὗτος καὶ θεῷ καὶ ὁσίοις ἀνθρώποις, ὡς αἴτιος σκανδάλου πολλοῖς νεοφωτίστοις καὶ κατηχουμένοις γενόμενος, ἔτι δὲ νέοις καὶ νέαις τῇ ἡλικίᾳ· ὃν τὸ «οὐαὶ» περιμένει καὶ δ' «ὀνικὸς μύλος ἐν τῷ τραχήλῳ καὶ ὁ βυθός[7]», ἐν ᾧ ὑπόδικος ὑπάρχει. 2. διὰ γὰρ τὴν τῆς

---

1. Ματθ. 5, 11-12. 2. Γραφικόν; Πρβλ. Ἰακ. 1, 12. 3. Ματθ. 23, 3.
4. Δευτ. 16, 20· 1, 17. Ἔξ. 23, 7-8. 5. Δευτ. 17, 7. 6. Παρμ. 22, 10.
7. Ματθ. 18, 6.

ἀκρισίας ἀνομίαν, βλέποντες τὸν τοιοῦτον αὐτῶν ἄρχοντα, ἐν ἑαυτοῖς διακριθήσονται, καὶ χρησάμενοι τῇ αὐτῇ νόσῳ συναπολέσθαι αὐτῷ ἀναγκασθήσονται, ὡς τῷ Ἱεροβοὰμ ὁ λαὸς καὶ τῷ Κορὲ οἱ συναράμενοι αὐτῷ. 3. εἰ δὲ βλέποι ὁ ἁμαρτὼν τὸν ἐπίσκοπον καὶ τοὺς διακόνους ἀθῴους ἐγκλήματος καὶ τὸ ποίμνιον καθαρὸν ὑπάρχον, πρῶτον μὲν οὐ τολμήσει καταφρονήσας εἰς ἐκκλησίαν θεοῦ εἰσελθεῖν, πλησσόμενος τῇ συνειδήσει αὐτοῦ· εἰ δὲ καὶ παρ' οὐδὲν ἡγησάμενος εἰσέλθοι, ἢ παραχρῆμα ἐλεγχθήσεται, ὡς ὁ Ὀζᾶ ἐπὶ τῆς κιβωτοῦ ἁψάμενος[1] ὥστε ἑδράσαι, καὶ ὡς Ἄχαρ ἐπὶ τῇ κλοπῇ τοῦ ἀναθέματος[2] καὶ ὡς Γιεζεῖ ἐπὶ τοῖς τοῦ Νεεμὰν χρήμασιν,[3] καὶ παραυτίκα τιμωρηθήσεται, ἢ νουθετούμενος ὑπὸ τοῦ ποιμένος εἰς μετάνοιαν ὑπαχθήσεται. 4. περιβλεψάμενος γὰρ τοὺς καθ' ἕνα καὶ ἐν οὐδενὶ μῶμον εὑρίσκων οὔτε παρὰ τῷ ἐπισκόπῳ οὔτε μὴν παρὰ τῷ ὑπ' αὐτὸν τεταγμένῳ λαῷ, αἰσχυνθεὶς μετὰ αἰδοῦς καὶ πολλῶν δακρύων ἐξελεύσεται εἰρηνικῶς κατανενυγμένος, καὶ μενεῖ κεκαθαρισμένον τὸ ποίμνιον, προσκλαύσει τε τῷ θεῷ καὶ μετανοήσει ἐφ' οἷς ἥμαρτεν, καὶ ἕξει ἐλπίδα· καὶ τὸ ποίμνιον ὅλον, θεασάμενον ἐκείνου τὰ δάκρυα, νουθεσίαν ἕξει, ὅτι ὁ ἁμαρτὼν διὰ μετάνοιαν οὐκ ἀπόλλυται.

XI. Διὰ τοῦτο οὖν, ὦ ἐπίσκοπε, σπούδαζε καθαρὸς εἶναι τοῖς ἔργοις, γνωρίζων τὸν τόπον σου καὶ τὴν ἀξίαν, ὡς θεοῦ τύπον ἔχων ἐν ἀνθρώποις τῷ πάντων ἄρχειν ἀνθρώπων, ἱερέων, βασιλέων, ἀρχόντων, πατέρων, υἱῶν, διδασκάλων καὶ πάντων ὁμοῦ τῶν ὑπηκόων. 2. καὶ οὕτως ἐν ἐκκλησίᾳ καθέζου τὸν λόγον ποιούμενος, ὡς ἐξουσίαν ἔχων κρίνειν τοὺς ἡμαρτηκότας, ὅτι ὑμῖν τοῖς ἐπισκόποις εἴρηται· «Ὃ ἐὰν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένον ἐν τῷ οὐρανῷ, καὶ ὃ ἐὰν λύσητε ἐπὶ τῆς γῆς ἔσται λελυμένον ἐν τῷ οὐρανῷ.[4]»|

XII. Κρῖνε οὖν, ὦ ἐπίσκοπε, μετὰ ἐξουσίας ὡς θεός, ἀλλὰ τοὺς μετανοοῦντας προσλαμβάνου· ὁ θεὸς γὰρ θεός ἐστιν ἐλέους. ἐπίπλησσε τοῖς ἁμαρτάνουσιν, νουθέτει τοὺς μὴ ἐπιστρέφοντας, παρακάλει τοὺς ἑστῶτας ἐμμένειν τοῖς καλοῖς, τοὺς μετανοοῦντας προσδέχου, ὅτι κύριος ὁ θεὸς μετὰ ὅρκου ἐπηγγείλατο ἄφεσιν παρασχεῖν τοῖς μετανοοῦσιν ἐφ' οἷς ἥμαρτον. 2. λέγει γὰρ διὰ τοῦ Ἰεζεκιήλ· «Εἰπὸν πρὸς αὐτούς· Ζῶ ἐγώ, λέγει Ἀδωναῒ κύριος, εἰ θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλ' ἢ ἐν τῷ ἀποστρέψαι τὸν ἀσεβῆ ἐκ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ ζῆν. ἐπιστράφητε οὖν ἀπὸ τῶν ὁδῶν ὑμῶν τῶν πονηρῶν· καὶ ἱνατί ἀποθνήσκετε, οἶκος Ἰσραήλ;[5]» 3. ἐνταῦθα εὐέλπιδας ἐποίησεν τοὺς ἡμαρτηκότας, ὅτι, ἐὰν μετανοήσωσιν, ἐλπίδα σωτηρίας ἕξουσιν, μή ποτε ὡς ἀπηλγηκότες ἑαυτοὺς ἐκδῶσιν ταῖς παρανομίαις, ἀλλ' ἔχοντες ἐλπίδα σωτηρίας ἐπιστραφέντες προσκλαύσωσιν θεῷ περὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ μετανοήσωσιν ἐκ καρδίας ἐξευμενισά-

---

1. Πρβλ. Β' Βασ. 6, 1 ἑξ. 2. Πρβλ. Ἰησ. Ν. 7, 1 ἑξ. 3. Πρβλ Δ' Βασ. 5, 1 ἑξ. 4. Ματθ. 18, 18. 5. Ἰεζ. 33, 11.

μενοι αὐτόν, καὶ λήψονται παρ' αὐτοῦ τὴν ἀμνηστίαν ὡς παρὰ πατρὸς ἀγαθοῦ.

XIII. Τοὺς μέντοι ἀναμαρτήτους τοιούτους μένειν χρὴ καὶ μὴ χρείαν ἔχειν τῆς πείρας τῶν ἁμαρτιῶν, ὅπως μὴ δέωνται ὀδύνης, λύπης καὶ κλαυθμῶν ἀφέσεως. 2. τί γὰρ οἶδας, ἄνθρωπε, ἁμαρτήσας, εἰ ἡμέρας ἐν τῷδε τῷ βίῳ ζήσεις, ἵνα καὶ μετανοήσῃς; ὅτι ἄδηλος ἡ ἔξοδός σου ἐκ τοῦ βίου ὑπάρχει, καὶ ἐν ἁμαρτίᾳ τελευτήσαντι μετάνοια οὐκ ἔστιν, ὡς λέγει διὰ τοῦ Δαυίδ· «Ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;[1]» 3. δεῖ οὖν ἕτοιμον εἶναι ἐν ἀγαθοῖς, ἵνα ἄνευ λύπης τὴν ὁδὸν ἐκείνην στειλώμεθα. διὸ καὶ παραινεῖ ὁ θεῖος λόγος διὰ Σολομῶντος τοῦ σοφοῦ λέγων σοι· «Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου,[2]» ἵνα μὴ ἐπιλείψῃ ἡμῖν τι τῶν καλῶν, ὥσπερ καὶ ταῖς πέντε ἐν τῷ Εὐαγγελίῳ παρθένοις διὰ μωρίαν ἐπέλειπεν τὸ τῆς εὐσεβείας ἔλαιον, καὶ ἀπεβλήθησαν τοῦ νυμφῶνος. 4. διὰ τοῦτο ἀκίνδυνος μένει πᾶς ὁ φειδόμενος τῆς ἑαυτοῦ ζωῆς καὶ μένων ἀναμάρτητος, ὅπως καὶ τὰς προγεγονυίας ὑπ' αὐτοῦ δικαιοσύνας αὐτῷ συντηρήσῃ. 5. σὺ οὖν οὕτως κρῖνε ὡς θεῷ δικάζων· «Τοῦ γὰρ κυρίου, φησίν, ἡ κρίσις.[3]» πρῶτον οὖν ἀπ' ἐξουσίας τὸν ἔνοχον καταδίκαζε· ἔπειτα μετὰ ἐλέους καὶ οἰκτιρμοῦ καὶ προσλήψεως οἰκειοῦ, ὑπισχνούμενος αὐτῷ σωτηρίαν, εἰ μετάθοιτο τοῦ τρόπου καὶ πρὸς μετάνοιαν χωρήσει· μεταμελόμενον δὲ στύφων προσδέχου, μεμνημένος τοῦ κυρίου εἰπόντος, ὅτι «χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.[4]»

XIV. Ἐὰν δὲ τὸν μετανοοῦντα μὴ προσδέξῃ, ἐπιβούλοις αὐτὸν ἔκδοτον παρέχεις, ἐπιλαθόμενος τοῦ Δαυὶδ λέγοντος· «Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι.[5]» διὸ παρορμῶν εἰς μετάνοιαν ὁ Ἱερεμίας λέγει· «Μὴ ὁ πίπτων οὐκ ἀνίσταται ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; τί ὅτι ἀπέστρεψεν ὁ λαός μου ἀποστροφὴν ἀναιδῆ καὶ κατεκρατήθησαν ἐν τῇ προαιρέσει αὐτῶν; ἐπιστράφητε, υἱοὶ ἀφεστηκότες, καὶ ἐγὼ ἰάσομαι τὰ συντρίμματα ὑμῶν.[6]» 3. δέξαι οὖν τὸν μετανοοῦντα, μὴ διστάζων ὅλως μηδὲ παρεμποδιζόμενος ὑπὸ τῶν ἀνηλεῶς λεγόντων μὴ δεῖν τοιούτοις συμμολύνεσθαι μήτε λόγου κοινωνεῖν· αὗται γὰρ αἱ συμβουλίαι ἀγνοούντων εἰσὶν θεὸν καὶ τὴν αὐτοῦ πρόνοιαν, ἀλόγων δὲ ἀκρίτων καὶ θηρίων ἀμειλίκτων· οὐ γὰρ γινώσκουσιν, ὅτι χρὴ φυλάσσεσθαι οὐ τὴν ἐν λόγῳ κοινωνίαν πρὸς τοὺς ἁμαρτάνοντας, ἀλλὰ τὴν ἐν ἔργῳ. 4. «Δικαιοσύνη γὰρ δικαίου ἐπ' αὐτὸν ἔσται, καὶ ἀνομία ἀνόμου ἐπ' αὐτὸν ἔσται.[7]» καὶ πάλιν· «Γῆ ἐὰν ἁμάρτῃ μοι τοῦ ἀδικῆσαι ἀδίκημα, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπ' αὐτὴν καὶ συντρίψω ἐπ' αὐτῆς στήριγμα ἄρτου καὶ ἐξαποστελῶ εἰς αὐτὴν λιμὸν καὶ ἐξολοθρεύσω ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος· κἂν ὦσιν οἱ τρεῖς ἄνδρες ἐν μέσῳ αὐτῆς, Νῶε καὶ Ἰὼβ καὶ

---

1. Ψαλμ. 6, 6. 2. Παρμ. 24, 27. 3. Δευτ. 1, 17. 4. Λουκ. 15, 7. 5. Ψαλμ. 73, 19. 6. Ἱερ. 8, 4-5· 3, 22. 7. Ἰεζ. 18, 20.

Δανιήλ, αὐτοὶ ἐν τῇ δικαιοσύνῃ αὐτῶν σώσουσιν τὰς ψυχὰς αὐτῶν, λέγει Ἀδωναΐ κύριος[1]». 5. σαφέστατα δεδήλωκεν ἡ γραφή, ὅτι συνὼν δίκαιος ἀδίκῳ οὐ συναπόλλυται μετ' αὐτοῦ. ἐν γὰρ τῷ κόσμῳ τούτῳ καὶ δίκαιοι καὶ ἄδικοι ἀλλήλοις συναγελάζονται κοινωνίᾳ βίου, οὐ μὴν καὶ ὁσιότητος, καὶ τοῦτο οὐχ ἁμαρτάνουσιν οἱ θεοφιλεῖς· μιμηταὶ γάρ εἰσιν τοῦ πατρὸς αὐτῶν τοῦ ἐν τοῖς οὐρανοῖς, τοῦ «τὸν ἥλιον αὐτοῦ ἀνατέλλοντος ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ βρέχοντος αὐτοῦ τὸν ὑετὸν ἐπὶ πονηροὺς καὶ ἀγαθούς[2]». 6. καὶ οὐδὲν κινδυνεύσει ὁ δίκαιος ἐκ τούτου· ἐν γὰρ τῷ σταδίῳ καὶ νικηταὶ καὶ νικώμενοι εἰσίν, ἐν δὲ τῷ στεφάνῳ μόνοι οἱ γενναίως ἀγωνισάμενοι· «οὐδεὶς δὲ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ[3]». 7. ἕκαστος γὰρ περὶ ἑαυτοῦ ἐξομολογήσεται, καὶ οὐ «μὴ συναπολέσῃ» ὁ θεὸς «τὸν δίκαιον μετὰ τοῦ ἀδίκου[4]», ἐπείπερ παρ' αὐτῷ τὸ ἀναμάρτητον ἀτιμώρητον. οὔτε γὰρ τὸν Νῶε κατέκλυσεν, οὔτε τὸν Λὼτ κατέφλεξεν, οὔτε τὴν Ῥαὰβ συναπώλεσεν. 8. εἰ δὲ βούλεσθε γνῶναι καὶ τὰ ἐφ' ἡμῶν γενόμενα, Ἰούδας σὺν ἡμῖν ὢν ἔλαβεν τὸν κλῆρον τῆς διακονίας, ὃν καὶ ἡμεῖς, καὶ Σίμων ὁ μάγος τὴν ἐν κυρίῳ σφραγῖδα· ἀλλ' ἑκάτερος αὐτῶν ἀναδειχθεὶς φαῦλος, ὁ μὲν ἤγξατο, ὁ δὲ παρὰ φύσιν ἱπτάμενος συνετρίβη. καὶ ἐν τῇ κιβωτῷ Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ ὑπῆρχον, ἀλλὰ πονηρὸς ὁ Χὰμ εὑρεθεὶς μόνος εἷς τῶν υἱῶν ἐδέξατο τιμωρίαν. 9. εἰ δὲ καὶ «πατέρες ὑπὲρ παίδων οὐ τιμωροῦνται οὔτε υἱοὶ ὑπὲρ πατέρων[5]». δῆλον ὡς οὔτε γυναῖκες ὑπὲρ ἀνδρῶν, οὔτε οἰκέται ὑπὲρ δεσποτῶν, οὔτε συγγενεῖς ὑπὲρ συγγενῶν, οὔτε φίλοι ὑπὲρ φίλων, οὔτε δίκαιοι ὑπὲρ ἀδίκων, ἀλλ' ἕκαστος ὑπὲρ τοῦ οἰκείου ἔργου τὸν λόγον ἀπαιτηθήσεται. οὔτε γὰρ Νῶε ὑπὲρ τοῦ κόσμου δίκην εἰσεπράχθη, οὔτε Λὼτ ὑπὲρ Σοδόμων ἐπυρπολήθη, οὔτε Ῥαὰβ ὑπὲρ Ἱεριχουντίων ἐσφάγη, οὔτε Ἰσραὴλ ὑπὲρ Αἰγυπτίων· οὐ γὰρ ἡ συνοίκησις κατακρίνει τοὺς δικαίους σὺν τοῖς ἀδίκοις, ἀλλ' ἡ τῆς γνώμης ὁμόνοια. 10. οὐ χρὴ οὖν τοῖς ἑτοιμοθανάτοις καὶ μισανθρώποις καὶ φιλεγκλήμοσιν καὶ μετὰ προφάσεως θανατοποιοῖς προσέχειν. ἕτερος γὰρ ὑπὲρ ἑτέρου οὐκ ἀποθανεῖται, ἀλλὰ «σειραῖς τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται[6]», καί· «Ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ[7]». 11. δεῖ δὲ ἡμᾶς βοηθεῖν τοῖς νοσοῦσιν καὶ κινδυνεύουσιν καὶ σφαλλομένοις, καὶ ὅσον οἷόν τε τῇ παραινέσει τοῦ λόγου ὑγιάζειν αὐτοὺς καὶ ῥύεσθαι ἐκ θανάτου· «οὐ χρείαν γὰρ ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες[8]», ἐπειδὴ «οὐκ ἔστιν θέλημα ἔμπροσθεν τοῦ πατρός, ἵνα ἀπόληται εἷς τῶν μικρῶν[9]». οὐ γὰρ τὴν τῶν σκληροκαρδίων ἀνθρώπων βούλησιν ἱστᾶν χρή, ἀλλὰ τὴν τοῦ θεοῦ καὶ πατρὸς τῶν ὅλων τὴν διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου

1. Ἰεζ. 14, 13-14. 2. Ματθ. 5, 45. 3. Β' Τιμ. 2, 5. 4. Γεν. 18, 23. 5. Δευτ. 24, 16. 6. Παρμ. 5, 22. 7. Ἡσ. 62, 11. 8. Ματθ. 9, 12. 9. Ματθ. 18, 14.

ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν. 12. οὐδὲ γὰρ δίκαιον κεφαλὴν ὄντα σε, ὦ ἐπίσκοπε, οὐρᾷ προσέχειν, τοῦτ' ἔστιν λαϊκῷ στασιώδει ἀνθρώπῳ, εἰς ἑτέρου ἀπώλειαν, ἀλλὰ θεῷ μόνῳ. ἄρχειν γάρ σε χρὴ τῶν ὑπηκόων, οὐ μὴν καὶ ὑπ' αὐτῶν ἄρχεσθαι· οὔτε γὰρ υἱὸς ἄρχει πατρὸς κατὰ τὸν τῆς γενέσεως λόγον, οὔτε δοῦλος τοῦ κυρίου αὐτοῦ κατὰ τὸν τῆς ἐξουσίας, οὔτε μαθητὴς διδασκάλου, οὔτε στρατιώτης βασιλέως, οὔτε μὴν λαϊκὸς ἐπισκόπου. 13. περὶ γὰρ τοῦ μὴ δοκεῖν τοὺς πλησιάζοντας ἀδίκοις τῇ τοῦ λόγου διδαχῇ συμμολύνεσθαι ἢ κοινωνεῖν ταῖς αὐτῶν ἁμαρτίαις ὁ Ἰεζεκιὴλ ἐκκόπτων τὴν τῶν κακοήθων ὑπόνοιαν λέγει· 14. «Τί ὑμεῖς λέγετε αὐτοῖς τὴν παραβολὴν ταύτην ἐπὶ γῆς Ἰσραήλ· οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἠμωδίασαν; ζῶ ἐγώ, λέγει Ἀδωναῒ κύριος, εἰ ἔτι ἔσται ἐν ὑμῖν λεγομένη ἡ παραβολὴ αὕτη ἐν τῷ Ἰσραήλ. ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσιν, ὃν τρόπον ἡ ψυχὴ τοῦ πατρός, οὕτως καὶ ἡ ψυχὴ τοῦ υἱοῦ ἐμή ἐστιν. 15. ἡ ψυχὴ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται· ὁ δὲ ἄνθρωπος, ὃς ἔσται δίκαιος, ποιῶν κρίμα καὶ δικαιοσύνην[1]» καὶ ἑξῆς ἐπιλέγων τὰς λοιπὰς ἀρετὰς ἐπισφραγίζεται λέγων· 16. «Ὁ τοιοῦτος δίκαιος ὑπάρχει, ζωῇ ζήσεται, λέγει Ἀδωναῒ κύριος. καὶ ἐὰν γεννήσῃ υἱὸν λοιμόν, ἐκχέοντα αἷμα, ἐν τῇ ὁδῷ τοῦ πατρὸς αὐτοῦ τοῦ δικαίου οὐκ ἐπορεύθη[2]». 17. καὶ ἐπαγαγὼν τὰ ἑξῆς, ἐπάγει τοῖς τελευταίοις· «Ζωῇ οὐ ζήσεται· πάσας τὰς ἀνομίας ταύτας ἐποίησεν, θανάτῳ ἀποθανεῖται, τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἔσται. 18. καὶ ἐρεῖτε· Τί ὅτι οὐκ ἔλαβεν ὁ υἱὸς τὴν ἀδικίαν τοῦ πατρὸς ἢ τὴν δικαιοσύνην αὐτοῦ, δικαιοσύνην καὶ ἔλεος πεποιηκώς;» καὶ ἐρεῖς αὐτοῖς· «Ἡ ψυχὴ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται· υἱὸς οὐ λήψεται ἀδικίαν πατρός, καὶ πατὴρ οὐ λήψεται ἀδικίαν υἱοῦ· δικαιοσύνη δικαίου ἐπ' αὐτὸν ἔσται, καὶ ἀνομία ἀνόμου ἐπ' αὐτὸν ἔσται[3]». 19. καὶ μετ' ὀλίγα φησίν· «Ἐν τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ καὶ ποιῆσαι ἀδικίαν, κατὰ πάσας τὰς ἀνομίας αὐτοῦ πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ, ἃς ἐποίησεν, οὐ μὴ μνησθῶσιν· ἐν τῇ ἀδικίᾳ αὐτοῦ ᾗ ἠδίκησεν, καὶ ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ᾗ ἥμαρτεν, ἐν αὐτῇ ἀποθανεῖται[4]». 20. καὶ μετ' ὀλίγα ἐπάγει· «Ἐν τῷ ἀποστρέψαι ἄνομον ἀπὸ τῆς ἀνομίας αὐτοῦ ἧς ἐποίησεν, καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην, οὗτος τὴν ψυχὴν αὐτοῦ ἐφύλαξεν καὶ ἀπέστρεψεν ἀπὸ πασῶν τῶν ἀσεβειῶν αὐτοῦ ὧν ἐποίησεν, ζωῇ ζήσεται καὶ οὐκ ἀποθανεῖται[5]». 21. καὶ ἑξῆς· «Ἕκαστον κατὰ τὰς ὁδοὺς ὑμῶν κρινῶ ὑμᾶς, οἶκος Ἰσραήλ, λέγει Ἀδωναῒ κύριος[6]».

XV. Ὁρᾶτε, τέκνα ἡμῶν ἠγαπημένα, πῶς εὔσπλαγχνος μετὰ δικαιοσύνης κύριος ὁ θεὸς ἡμῶν, ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ «ἀθωῶν οὐκ ἀθωώσει τὸν ἔνοχον[7]», καὶ τὸν ἐπιστρέφοντα προσιέ-

1. Ἰεζ. 18, 2-5. 2. Ἰεζ. 18, 9-11. 3. Ἰεζ. 18, 13 ἑξ. 4. Ἰεζ. 18, 24. 5. Ἰεζ. 18, 27-28. 6. Ἰεζ. 18, 30. 7. Ἔξ. 34, 7.

μενος καὶ ζωοποιῶν, μὴ καταλιπὼν τόπον ὑπονοίας τοῖς ἀπηνῶς βουλομένοις κρίνειν καὶ τέλεον ἀποστρέφεσθαι τοὺς ἁμαρτάνοντας καὶ μὴ κοινωνεῖν αὐτοῖς λόγων παρακλητικῶν πρὸς μετάνοιαν ἐπαναγαγεῖν δυναμένων, οἷς ἐκ τῶν ἐναντίων ὁ θεὸς διὰ Ἡσαΐου λέγει πρὸς τοὺς ἐπισκόπους· «Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ.[1]» 2. χρὴ οὖν ὑμᾶς αὐτοῦ ἀκούοντας παρακαλεῖν τοὺς ἡμαρτηκότας καὶ πρὸς μετάνοιαν παρορμᾶν καὶ εὐέλπιδας ποιεῖν, καὶ μὴ ὑπονοεῖν ὡς κοινωνικοὺς γινομένους τῶν πλημμεληθέντων αὐτοῖς ἕνεκεν τῆς εἰς αὐτοὺς ἀγάπης. 3. ἀσμένως δὲ τοὺς μετανοοῦντας προσδέχεσθε, χαίροντες ἐπ' αὐτοῖς, μετὰ ἐλέους καὶ οἰκτιρμῶν κρίνοντες τοὺς ἁμαρτάνοντας· ἐὰν γὰρ τὸν παρὰ ποταμὸν βαδίζοντα καὶ μέλλοντα ὀλισθαίνειν κεραίαις ὤσας εἰς τὸν ποταμὸν ἐμβάλῃς ἀντὶ τοῦ χεῖρα μᾶλλον ὀρέξαι, ἐφόνευσάς σου τὸν ἀδελφόν, δέον μᾶλλον τῷ ὀλισθαίνοντι ἐπιδοῦναι δεξιάν, ἵνα μὴ τελείως ἀπόληται, ὅπως καὶ ὁ λαὸς νουθετῆται καὶ ὁ ἁμαρτήσας μὴ κατὰ πᾶν ἀπόληται. 4. δεῖ δέ σε, ὦ ἐπίσκοπε, μήτε παρορᾶν τὰ ἁμαρτήματα τοῦ λαοῦ, μήτε τοὺς μετανοοῦντας ἀποστρέφεσθαι, ὅπως μὴ διαφθείρῃς ὡς ἄπειρος τὸ ποίμνιον κυρίου καὶ φαυλίσῃς αὐτοῦ τὸ ὄνομα τὸ καινὸν τὸ εἰς τὸν λαὸν αὐτοῦ ἐπιτεθέν, καὶ ὀνειδισθήσῃ καθάπερ καὶ οἱ παλαιοὶ ποιμένες, περὶ ὧν ἔλεγεν ὁ θεὸς τῷ Ἱερεμίᾳ· «Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν κληρονομίαν μου,[2]» καὶ ἐν ἄλλοις· «Ἐπὶ τοὺς ποιμένας παρωξύνθη ὁ θυμός μου, καὶ ἐπὶ τοὺς ἀμνοὺς ὀργισθήσομαι,[3]» καὶ ἐν ἑτέροις· «Ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντες τὸ ὄνομά μου.[4]»

XVI. Ἰδὼν δὲ σὺ τὸν ἡμαρτηκότα, πικρανθεὶς κέλευσον αὐτὸν ἔξω βληθῆναι· καὶ ἐξελθόντι αὐτῷ πικραινέσθωσαν οἱ διάκονοι, καὶ ἐπιζητοῦντες κατεχέτωσαν αὐτὸν ἔξω τῆς ἐκκλησίας, καὶ εἰσελθόντες ὑπὲρ αὐτοῦ σε ἐρωτάτωσαν· καὶ γὰρ ὑπὲρ τῶν ἡμαρτηκότων ὁ σωτὴρ τὸν πατέρα ἠξίου, ὡς γέγραπται ἐν τῷ Εὐαγγελίῳ· «Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασιν, ὃ ποιοῦσι.[5]» 2. τότε σὺ κελεύσεις εἰσελθεῖν αὐτόν, καὶ ἀνακρίνας, εἰ μετανοεῖ καὶ ἄξιός ἐστιν εἰς ἐκκλησίαν ὅλως παραδεχθῆναι, στιβώσας αὐτὸν ἡμέραις νηστειῶν κατὰ τὸ ἁμάρτημα, ἑβδομάδας δύο ἢ τρεῖς ἢ πέντε ἢ ἑπτά, οὕτως αὐτὸν ἀπόλυσον, εἴπας αὐτῷ, ὅσα ἁρμόζει ἡμαρτηκότι εἰς νουθεσίαν ἐπιπλήσσοντα διδάσκειν καὶ παραινεῖν, ὅπως μείνῃ παρ' ἑαυτῷ ταπεινοφρονῶν καὶ δεόμενος τοῦ θεοῦ τυχεῖν αὐτοῦ εὐμενοῦς, καὶ λέγειν· «Ἐὰν ἀνομίας παρατηρήσῃ, κύριε κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.[6]» 3. τοιοῦτον γάρ τι ὑπεμφαίνει καὶ τὸ ἐν τῇ Γενέσει εἰρημένον τῷ Καΐν· «Ἥμαρτες; ἡσύχασον·[7]» τοῦτ' ἔστιν μὴ προσθῇς. ὅτι γὰρ τὸν ἁμαρτήσαντα δεῖ ὑπὲρ τοῦ οἰκείου πλημμελήματος αἰσχύνεσθαι,

1. Ἠσ. 40, 1-2. 2. Ἰερ. 12, 10. 3. Ζαχ. 10, 3. 4. Μαλ. 1, 6. 5. Λουκ. 23, 34. 6. Ψαλμ. 129, 3-4. 7. Γεν. 4, 7.

ἱκανὸν τὸ λόγιον τῷ Μωσῇ ὑπὲρ Μαρίας εἰρημένον, ἡνίκα ἠξίου ἀφεθῆναι αὐτῇ· φησὶν γὰρ αὐτῷ ὁ θεός· «Εἰ ὁ πατὴρ αὐτῆς πτύων ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς, οὐκ ἂν ἐνετράπη; ἑπτὰ ἡμέρας ἀφορισθήτω ἔξω τῆς παρεμβολῆς, καὶ μετὰ ταῦτα εἰσελεύσεται.[1]» 4. οὕτως οὖν καὶ ὑμᾶς δέον ἐστὶν ποιεῖν, τοὺς ἐφ' ἁμαρτίας λέγοντας μετανοεῖν ἀφορίζειν χρόνον ὡρισμένον κατὰ τὴν ἀναλογίαν τοῦ ἁμαρτήματος, ἔπειτα μετανοοῦντας προσλαμβάνεσθαι, ὡς πατέρες υἱούς.

XVII. Εἰ δὲ ὁ ἐπίσκοπος αὐτὸς [illegible] πῶς ἔτι ἐπεξέλθοι ἐκζητῆσαι ἀδική[illegible] προσωποληψίαν ἢ διὰ δωροληψ[illegible] εὐσυνείδητοι; 2. ὅταν γὰρ ὁ [illegible] οὐ διεξάγεται εἰς τέλος κρίσ[illegible] χηρῶν οὐ προσέχοντες,[2]» οὐ δυ[illegible] μαχεῖν τῷ ἐπισκόπῳ. ἐροῦσιν γὰρ [illegible] γραμμένον· «Τί βλέπεις τὸ κάρφος τὸ ἐν [illegible] ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς;[3]» 3. εὐλαβείσθω οὖν ὁ ἐπίσκοπος σὺν τοῖς διακόνοις αὐτοῦ ἀκοῦσαι ῥῆμά τι τοιοῦτον· τοῦτ' ἔστιν μὴ διδότω ἀφορμήν. ὁ γὰρ ἁμαρτάνων ἐπὰν ἴδῃ τινὰ ὅμοια αὐτῷ δρῶντα, οἰκοδομηθήσεται εἰς τὸ τὰ αὐτὰ ποιεῖν· εἶτα ὁ πονηρός, δι' ἑνὸς ἀφορμὴν λαβών, εἰς ἑτέρους ἐνεργεῖ, ὃ μὴ γένοιτο· καὶ οὕτως διαστραφήσεται τὸ ποίμνιον· πλειόνων γὰρ ὄντων τῶν ἁμαρτανόντων, πλείων ἔσται καὶ ἡ δι' αὐτῶν ἐπιτελουμένη κακία. 4. ἁμαρτία γὰρ ἀνεξέλεγκτος ἑαυτῆς χείρων γίνεται καὶ εἰς ἄλλους τὴν διανομὴν λαμβάνει· ἐπεὶ καὶ «ζύμη μικρὰ πλήρωμα φυράματος δολοῖ,[4]» καὶ εἷς κλέπτης εἰς ὅλον ἔθνος τὸ μύσος ἐπήγαγεν, «καὶ μυῖαι θανοῦσαι σαπριοῦσιν σκευασίαν ἡδύσματος ἐλαίου,[5]» καὶ «βασιλέως ὑπακούοντος λόγον ἄδικον, πάντες οἱ ὑπ' αὐτὸν ὑπηρέται παράνομοι·[6]» οὕτω καὶ πρόβατον ψωραλέον μεταδίδωσιν ἑτέροις τῆς νόσου, μὴ χωρισθὲν τῶν ὑγιαινόντων προβάτων, καὶ νθρωπος λοιμώσσων πολλοῖς φυλακτέος, καὶ κύων λύσσῃ συσχεθεὶς ἐπικίνδυνος παντί, ᾧ δ' ἂν προσάψῃ. ἐὰν οὖν καὶ ἄνθρωπον παράνομον μὴ τῆς ἐκκλησίας τοῦ θεοῦ χωρίσωμεν, «ποιήσομεν τὸν οἶκον κυρίου σπήλαιον λῃστῶν.[7]» 5. δεῖ γὰρ ἐπὶ τῶν ἁμαρτανόντων μὴ παρασιωπᾶν, ἀλλ' ἐλέγχειν, νουθετεῖν, ὑποπιέζειν, στιβοῦν νηστείαις, ὅπως καὶ τοῖς ἑτέροις εὐλάβειαν ἐμποιήσῃ· «Εὐλαβεῖς» γάρ, φησίν, «ποιήσατε τοὺς υἱοὺς Ἰσραήλ.[8]» 6. χρὴ γὰρ τὸν ἐπίσκοπον καὶ τῶν ἁμαρτιῶν κωλυτὴν διὰ τῆς νουθεσίας γίνεσθαι, καὶ τῆς δικαιοσύνης σκοπὸν καὶ τῶν ἡτοιμασμένων ὑπὸ θεοῦ ἀγαθῶν κήρυκα καὶ τῆς μελλούσης

1. Ἀριθ. 12, 14. 2. Ἠσ. 1, 23. 3. Ματθ. 7, 3. Λουκ. 6, 41. 4. Α' Κορ. 5, 6. Γαλ. 5, 9. 5. Ἐκκλ. 10, 1. 6. Παρμ. 29, 12. 7. Ματθ. 21, 13. 8. Λευϊτ. 15, 31.

ὀργῆς ἐν τῇ κρίσει διαγγελτῆρα, ὅπως μὴ καταφρονήσας τῆς τοῦ θεοῦ φυτουργίας ἀκούσῃ διὰ ἀμέλειαν τὸ ἐν τῷ Ὡσηὲ εἰρημένον· «Ἱνατὶ παρεσιωπήσατε ἀσέβειαν καὶ τὸν καρπὸν αὐτῆς ἐτρυγήσατε[1];»

XVIII. Πάντων οὖν ὁ ἐπίσκοπος φροντιζέτω, καὶ τῶν μὴ ἡμαρτηκότων, ἵνα μένωσιν ἀναμάρτητοι, καὶ τῶν ἁμαρτανόντων, ἵνα μετανοῶσιν· λέγει γὰρ ὁ κύριος πρὸς ὑμᾶς· «Ὁρᾶτε, μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων[2]». 2. καὶ τοῖς μετανοοῦσιν ἄφεσιν διδόναι χρή· ἅμα γὰρ τῷ εἰπεῖν τινα τῶν πλημμελησάντων γνησίᾳ διαθέσει· «Ἡμάρτηκα τῷ κυρίῳ», ἀποκρίνεται τὸ πνεῦμα τὸ ἅγιον· «καὶ κύριος ἀφῆκέν σοι τὴν ἁμαρτίαν· θάρσει, οὐ μὴ ἀποθάνῃς[3]». 3. γνώριζε οὖν, ὦ ἐπίσκοπε, τὸ ἀξίωμά σου, ὅτι ὡς τοῦ δεσμεῖν ἐκληρώσω τὴν ἐξουσίαν, οὕτως καὶ τοῦ λύειν. ἐξουσίαν οὖν ἔχων τοῦ λύειν γνώριζε σεαυτὸν καὶ ἀξίως τοῦ τόπου σου ἐν τῷδε τῷ βίῳ ἀναστρέφου, εἰδώς, ὅτι πλείονα αὐτὸς ἀπαιτηθήσῃ τὸν λόγον. «Ὧ» γάρ, φησί, «παρέθεντο πολύ, περισσότερον ἀπαιτήσουσιν παρ' αὐτοῦ[4]». 4. ἀναμάρτητος μὲν γὰρ ἀνθρώπων οὐδεὶς παρὲξ τοῦ γενομένου δι' ἡμᾶς ἀνθρώπου, ἐπεὶ γέγραπται· «Οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μία ἡμέρα ἡ ζωὴ αὐτοῦ[5]». 5. διὰ τοῦτο καὶ τῶν προγεγενημένων δικαίων τε καὶ πατριαρχῶν οἱ βίοι καὶ αἱ ἀναστροφαὶ ἀνεγράφησαν, οὐχ ἵνα ἐκείνους ὀνειδίζωμεν ἀναγινώσκοντες, ἀλλ' ἵνα ἡμεῖς μετανοῶμεν καὶ εὐέλπιδες γινώμεθα ὡς ἀφέσεως τευξόμενοι. τὰ γὰρ ἐκείνων ῥύπη ἡμετέρα ἀσφάλεια καὶ παραίνεσις, ὅτι καὶ ἡμεῖς ἁμαρτήσαντες, ἐὰν μετανοήσωμεν, συγγνώμην ἕξομεν, ἐπεὶ γέγραπται. «Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν, ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας[6]»; 6. οὐδεὶς οὖν ἀναμάρτητος· σὺ οὖν κατὰ δύναμιν σπούδαζε ἀνεπίληπτος εἶναι, καὶ περὶ πάντων μερίμνα, μὴ διὰ σέ τις σκανδαλισθεὶς ἀπόληται. ὁ γὰρ λαϊκὸς περὶ ἑαυτοῦ μόνου μεριμνᾷ, σὺ δὲ περὶ πάντων, ὡς πλεῖον ἔχων βάρος καὶ μεῖζον βαστάζων φορτίον· γέγραπται γάρ· «Καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν· σὺ καὶ Ἀαρὼν λήψεσθε τὰς ἁμαρτίας τῆς ἱερατείας[7]». 7. ὡς περὶ πλειόνων οὖν ἀπολογούμενος περὶ πάντων φρόντιζε, καὶ τοὺς μὲν ὑγιεῖς συντήρει, τοὺς δὲ ἡμαρτηκότας νουθέτει, καὶ στιβῶν ἐν τῇ νηστείᾳ ἐν τῇ ἀφέσει ἐλάφρυνον, καὶ προσκλαύσαντα εἰσδέχου πάσης τῆς ἐκκλησίας ὑπὲρ αὐτοῦ δεομένης, καὶ χειροθετήσας αὐτὸν ἔα λοιπὸν εἶναι ἐν τῷ ποιμνίῳ· τοὺς δὲ ὑπνώδεις καὶ παρειμένους ἐπίστρεφε, ὑποστήριζε, παρακάλει, θεράπευε, ἐπιστάμενος, ἡλίκον μισθὸν ἔχεις ταῦτα ἐπιτελῶν, ὥσπερ οὖν καὶ κίνδυνον, ἐὰν ἀμελῇς τούτων. 8. λέγει γὰρ πρὸς τοὺς ἀμελοῦντας τοῦ λαοῦ ἐπισκόπους Ἰεζεκιήλ· «Οὐαὶ τοῖς ποιμέσι τοῦ Ἰσραήλ, οἳ ἐποίμαινον ἑαυτούς· οὐ τὰ πρόβατα ποιμαίνουσιν οἱ ποιμένες, ἀλλ' ἑαυτούς. τὸ γάλα κατεσθίετε καὶ τὰ ἔρια περιβάλλεσθε, τὸ

1. Ὡσ. 10, 13. 2. Ματθ. 18, 10. 3. Β΄ Βασ. 12, 13. 4. Λουκ. 12, 48. 5. Ἰὼβ 14, 4-5. 6. Παρμ. 20, 9. 7. Ἀριθ. 18, 1.

ἰσχυρὸν σφάζετε, τὰ πρόβατα οὐ ποιμαίνετε· τὸ ἐνοχλούμενον οὐκ ἐνισχύσατε καὶ τὸ ἀρρωστοῦν οὐκ ἰάσασθε καὶ τὸ συντετριμμένον οὐ κατεδήσατε, τὸ ἐξωσμένον οὐ κατεπεστρέψατε καὶ τὸ ἀπολωλὸς οὐκ ἐζητήσατε, καὶ ἐν κράτει ἐπαιδεύσατε αὐτὰ μετὰ ἐμπαιγμοῦ· καὶ διεσπάρησαν παρὰ τὸ μὴ εἶναι ποιμένα, καὶ ἐγένοντο εἰς κατάβρωμα πᾶσι τοῖς θηρίοις τοῦ δρυμοῦ[1]». 9. καὶ πάλιν· «Καὶ οὐκ ἐξεζήτησαν οἱ ποιμένες τὰ πρόβατά μου, καὶ ἐποίμαινον οἱ ποιμένες ἑαυτούς, τὰ δὲ πρόβατά μου οὐκ ἐποίμαινον[2]». 10. καὶ μετ' ὀλίγον· «Ἰδοὺ ἐγὼ πρὸς τοὺς ποιμένας, καὶ ἐκζητήσω ἐγὼ τὰ πρόβατά μου ἐκ χειρὸς αὐτῶν, καὶ καταπαύσω αὐτοὺς τοῦ ποιμαίνειν τὰ πρόβατά μου, καὶ οὐ ποιμανοῦσιν ἔτι οἱ ποιμένες ἑαυτούς, καὶ ῥύσομαι τὰ πρόβατά μου ἐκ χειρὸς αὐτῶν, καὶ οὐκ ἔσονται αὐτοῖς εἰς κατάβρωμα[3]». 11. καὶ ἐπιφέρει καὶ πρὸς τὸν λαὸν λέγων· «Ἰδοὺ ἐγὼ κρινῶ ἀνὰ μέσον προβάτου εἰς πρόβατον, καὶ κριὸν πρὸς κριόν. μὴ μικρὸν ἦν ὑμῖν, ὅτι τὴν νομὴν τὴν καλὴν ἐνέμεσθε, καὶ τὰ κατάλοιπα τῆς νομῆς κατεπατεῖτε τοῖς ποσὶν ὑμῶν, καὶ τὰ πρόβατα τὰ πατήματα τῶν ποδῶν ὑμῶν ἤσθιον[4];» 12. καὶ ἐπιφέρει μετ' ὀλίγα· «Καὶ γνώσεσθε, ὅτι ἐγὼ κύριος καὶ ὑμεῖς πρόβατα τῆς νομῆς μου· ἄνθρωποί μου ἐστέ, καὶ ἐγὼ θεὸς ὑμῶν, λέγει Ἀδωναῒ κύριος[5]».

XIX. Ἀκούσατε, οἱ ἐπίσκοποι, καὶ ἀκούσατε, οἱ λαϊκοί, ὥς φησιν ὁ θεός· «Κρινῶ κριὸν πρὸς κριὸν καὶ πρόβατον πρὸς πρόβατον[6]», καὶ πρὸς τοὺς ποιμένας λέγει· Κριθήσεσθε ἕνεκεν τῆς ἀπειρίας αὐτῶν καὶ τῆς εἰς τὰ πρόβατα διαφθορᾶς, τοῦτ' ἔστιν ἐπίσκοπον πρὸς ἐπίσκοπον κρινῶ καὶ λαϊκὸν πρὸς λαϊκὸν καὶ ἄρχοντα πρὸς ἄρχοντα. 2. λογικὰ γὰρ τὰ πρόβατα καὶ οἱ κριοὶ οὗτοι, ἀλλ' οὐκ ἄλογα, ἵνα μήποτε εἴπῃ ὁ λαϊκός, ὅτι ἐγὼ πρόβατόν εἰμι καὶ οὐ ποιμήν. 3. ὥσπερ δὲ τῷ καλῷ ποιμένι τὸ μὴ ἀκολουθοῦν πρόβατον λύκοις ἔκκειται εἰς διαφθοράν, οὕτως τῷ πονηρῷ ποιμένι τὸ ἀκολουθοῦν πρόδηλον ἔχει τὸν θάνατον, ὅτι κατατρώξεται αὐτό. διὸ φευκτέον ἀπὸ τῶν φθορέων ποιμένων.

XX. Τὸν μέντοι ποιμένα τὸν ἀγαθὸν ὁ λαϊκὸς τιμάτω, ἀγαπάτω, φοβείσθω ὡς πατέρα, ὡς κύριον, ὡς δεσπότην, ὡς ἀρχιερέα θεοῦ, ὡς διδάσκαλον εὐσεβείας· ὁ γὰρ αὐτοῦ ἀκούων Χριστοῦ ἀκούει, καὶ ὁ αὐτὸν ἀθετῶν Χριστὸν ἀθετεῖ, καὶ ὁ τὸν Χριστὸν μὴ δεχόμενος οὐ δέχεται τὸν αὐτοῦ θεὸν καὶ πατέρα. «Ὁ ὑμῶν» γάρ, φησίν, «ἀκούων ἐμοῦ ἀκούει, καὶ ὁ ὑμᾶς ἀθετῶν ἐμὲ ἀθετεῖ, καὶ ὁ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με[7]». 2. ὁμοίως ὁ ἐπίσκοπος ὡς τέκνα τοὺς λαϊκοὺς ἀγαπάτω, θέλγων καὶ θερμαίνων τῇ σπουδῇ τῆς ἀγάπης ὡς ᾠὰ εἰς περιποίησιν νοσσίων ἢ ὡς νοσσία ἀγκαλιζόμενος εἰς περιποίησιν ὀρνίθων, πάντας νουθετῶν, πᾶσι τοῖς πληκτισμοῦ

1. Ἰεζ. 34, 2-5. 2. Ἰεζ. 34, 8. 3. Ἰεζ. 34, 10. 4. Ἰεζ. 34, 17-19
5. Ἰεζ. 34, 30-31. 6. Ἰεζ. 34, 17. 7. Λουκ. 10, 16.

ἐπιδεομένοις ἐπιπλήσσων, ἀλλὰ μὴ πλήσσων, ὑποπιέζων εἰς ἐντροπήν, ἀλλὰ μὴ εἰς ἀνατροπήν, νουθετῶν εἰς ἐπιστροφήν, ἐπιτιμῶν εἰς διόρθωσιν καὶ εὐθύτητα πορείας· 3. «τὸ ἰσχυρὸν φυλάσσων,[1]» τοῦτ' ἔστι τὸ ἑδραῖον τῇ πίστει ἀσφαλὲς τηρῶν, τὸν λαὸν εἰρηνικῶς ποιμαίνων· «τὸ ἐνοχλούμενον ἐνισχύων,[2]» τοῦτ' ἔστι τὸ πειραζόμενον ἐν τῇ νουθεσίᾳ στερροποιῶν· «τὸ ἀρρωστοῦν ἰώμενος,[3]» τοῦτ' ἔστι τὸ νοσοῦν ἐκ τῆς πίστεως ἐν διχονοίᾳ διὰ τῆς διδασκαλίας θεραπεύων· 4. «τὸ συντετριμμένον καταδεσμῶν,[4]» τοῦτ' ἔστι τὸ πεπλανημένον ἢ τὸ τεθραυσμένον ἢ τὸ κατεαγμένον ἐν ἁμαρτίαις εἰς χωλείαν ὁδοῦ ἐπιδεσμῶν διὰ παρακλητικῆς νουθεσίας, ἐλαφρύνων ἀπὸ παραπτωμάτων καὶ εὔελπιν ποιῶν, οὕτως ῥωμαλέον ἐν τῇ ἐκκλησίᾳ ἀποκαθίστα, ἐπανάγων ἐν τῇ ποίμνῃ· «τὸ ἐξωσμένον ἐπίστρεφε,[5]» τοῦτ' ἔστι τὸ ἐν ἁμαρτίαις γενόμενον καὶ εἰς ἐπιτίμησιν ἐκβεβλημένον μὴ ἐῶν ἔξω διαμένειν, ἀλλὰ προσλαμβανόμενος καὶ ἐπιστρέφων ἀποκαθίστα ἐν τῇ ποίμνῃ, τοῦτ' ἔστιν ἐν τῷ λαῷ τῆς ἀμώμου ἐκκλησίας. 5. «τὸ δὲ ἀπολωλὸς ἐκζήτει,[6]» τοῦτ' ἔστι τὸ ὑπὸ πλήθους παραπτωμάτων ἑαυτοῦ ἀπελπίσαν τῆς σωτηρίας μὴ ἐάσῃς τελέως ἀπολέσθαι, τὸ ὑπὸ πολλῆς ψύξεως καὶ νωχελίας κάθυπνον γενόμενον καὶ διὰ βαρέος ὕπνου τῆς ἑαυτοῦ ζωῆς ἐπιλαθόμενον καὶ μακρὰν ἀποστατῆσαν τῆς ἰδίας ποίμνης, ὡς καὶ λύκοις περιπεσεῖν εἰς βοράν, σὺ ἀναζήτει καὶ νουθετῶν ἐπίστρεφε καὶ νήφειν παρακάλει καὶ ἐλπίδα ὑπόσπειρε, μὴ συγχωρῶν αὐτῷ λέγειν τὸ ὑπό τινων εἰρημένον, ὅτι «τὰ ἀσεβήματα ἡμῶν ἐφ' ἡμῖν, καὶ ἡμεῖς ἐν αὐτοῖς τηκόμεθα, καὶ πῶς ζησόμεθα;[7]» 6. εἰ οἷόν τε οὖν, ἰδιοποιείσθω ὁ ἐπίσκοπος τὸ πλημμέλημα, καὶ λεγέτω τῷ ἡμαρτηκότι, ὅτι σὺ μόνον ἐπίστρεψον, κἀγὼ τὸν ὑπὲρ σοῦ θάνατον ἀναδέξομαι, ὡς ὁ κύριος τὸν ὑπὲρ ἐμοῦ καὶ πάντων. «Ὁ ποιμὴν γὰρ ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων, ὁ δὲ μισθωτὸς καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ ἔστι τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον,» τοῦτ' ἔστιν τὸν διάβολον, «καὶ ἀφίησιν τὰ πρόβατα καὶ φεύγει, καὶ ὁ λύκος ἁρπάζει αὐτά.[8]» 7. εἰδέναι οὖν προσήκει, ὅτι τοῖς ἡμαρτηκόσιν εὔσπλαγχνος ὢν ὁ θεὸς μετὰ ὅρκου μετάνοιαν ἐπηγγείλατο· ὁ δὲ ἁμαρτήσας καὶ τὴν ἐπαγγελίαν τοῦ θεοῦ τὴν περὶ μετανοίας ἀγνοῶν καὶ τὸ μακρόθυμον καὶ ἀνεξίκακον αὐτοῦ μὴ ἐπιστάμενος, ἔτι μὴν καὶ τὰς ἁγίας γραφὰς τὰς ταύτην κηρυσσούσας οὐ γινώσκων, ἅτε μὴ μεμαθηκὼς παρὰ σοῦ, ὑπὸ ἀνοίας ἀπόλλυται. 8. σὺ δὲ ὡς φιλόστοργος ποιμὴν καὶ ὡς σπουδαῖος νομεὺς ἀναζήτει ἀριθμῶν τὴν ποίμνην, τὸ λεῖπον ἐκζήτει, ὡς κύριος ὁ θεὸς ὁ ἀγαθὸς πατὴρ ἡμῶν, ἀποστείλας τὸν ἑαυτοῦ υἱὸν ποιμένα καλὸν καὶ σωτῆρα τὸν διδάσκαλον ἡμῶν Ἰησοῦν, ἐπιτρέψας αὐτῷ «ἐᾶσαι τὰ ἐνενήκοντα ἐννέα ἐπὶ τὰ ὄρη, καὶ πορευθῆναι ἐπὶ τὴν ζήτησιν

1. Ἰεζ. 34, 16. 2. Ἰεζ. 34, 16. 3. Ἰεζ. 34, 4. 4. Ἰεζ. 34, 16. 5. Ἰεζ. 34, 16. 6. Ἰεζ. 34, 16. 7. Ἰεζ. 33, 10. 8. Ἰω. 10, 11-12.

τοῦ πεπλανημένου, καὶ εὑρόντα ἆραι ἐπὶ τοὺς ἑαυτοῦ ὤμους καὶ φέρειν ἐπὶ τὴν ποίμνην, χαίροντα ἐπὶ τῇ εὑρέσει τοῦ ἀπολωλότος.[1]» 9. οὕτως οὖν ὑπήκοος γίνου καὶ σύ, ὦ ἐπίσκοπε, «ἐκζητῶν τὸ ἀπολωλός, κατευθύνων τὸ πεπλανημένον, ἐπιστρέφων τὸ ἀφεστός·[2]» ἐξουσίαν γὰρ ἔχεις ἐπιστρέφειν καὶ «ἀποστέλλειν τεθραυσμένους ἐν ἀφέσει.[3]» διὰ σοῦ ὁ σωτὴρ λέγει τῷ παρειμένῳ ἐν ἁμαρτίαις· «Ἀφέονταί σου αἱ ἁμαρτίαι, ἡ πίστις σου σέσωκέν σε, πορεύου εἰς εἰρήνην.[4]» 10. εἰρήνη δὲ γαληνός ἐστιν ἡ τοῦ Χριστοῦ ἐκκλησία, εἰς ἣν λύων τοὺς ἡμαρτηκότας ἀποκαθίστα ὑγιεῖς καὶ ἀμώμους, εὐέλπιδας, σπουδαίους, ἐργοπόνους ἐν τοῖς ἀγαθοῖς ἔργοις, ὡς ἔμπειρος καὶ συμπαθὴς ἰατρὸς πάντας ἰώμενος τοὺς ἐν ἁμαρτίαις πεπληγμένους· «οὐ» γὰρ «χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· ἦλθεν γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ πεπλανημένον.[5]» 11. ἰατρὸς οὖν ὢν τῆς ἐκκλησίας τοῦ κυρίου, πρόσαγε θεραπείαν κατάλληλον ἑκάστῳ τῶν νοσούντων, παντὶ τρόπῳ θεράπευε, ὑγίαζε, σώους ἀποκαθίστα τῇ ἐκκλησίᾳ. ποίμαινε τὸ ποίμνιον μὴ «ἐν κράτει μετὰ ἐμπαιγμοῦ[6]» ὡς κατεξουσιάζων, ἀλλ' «ὡς ποιμὴν χρηστὸς τῷ κόλπῳ συνάγων τὰ ἀρνία καὶ τὰς ἐν γαστρὶ ἐχούσας παρακαλῶν.[7]»

XXI. Ἔσο δὲ χρηστός, ἀγαθός, ἤπιος, ἄδολος, ἀψευδής, μὴ σκληρός, μὴ αὐθάδης, μὴ ἀπότομος, μὴ ἀλαζών, μὴ ἀνηλεής, μὴ τετυφωμένος, μὴ ἀνθρωπάρεσκος, μὴ δειλός, μὴ δίγνωμος, μὴ ἐμπαίζων τοῖς ὑπὸ σὲ λαοῖς, μὴ ἀποκρύπτων ἀπ' αὐτῶν τὰ τοῦ θεοῦ νόμιμα καὶ τοὺς περὶ μετανοίας λόγους, μὴ πρόχειρος πρὸς τὸ ἐξῶσαι καὶ ἐκβαλεῖν, ἀλλὰ ἀσφαλής, μὴ φιλεπιτιμητής, μὴ προπετής, μὴ παραδεχόμενος κατά τινος μαρτυρίαν ἄνευ τριῶν μαρτύρων, καὶ τούτων ἂν ὁ τρόπος ᾖ μεμαρτυρημένος πάλαι, καὶ εἰ μὴ ἀπὸ ἔχθρας κινούμενοι ἢ φθόνου. 2. εἰσὶ γὰρ πολλοὶ ἐπιχαιρεσίκακοι, πρόγλωσσοι, «τριττὴν γλῶσσαν[8]» ἔχοντες, μισάδελφοι, ἔργον τιθέμενοι σκορπίζειν τὰ Χριστοῦ πρόβατα, ὧν εἰ παραδέχεσθαι θέλεις τοὺς λόγους ἀκρίτως, διασπερεῖς σου τὸ ποίμνιον καὶ παραδώσεις λύκοις εἰς κατάβρωμα, τοῦτ' ἔστι δαίμοσιν καὶ πονηροῖς ἀνθρώποις, μᾶλλον δὲ οὐκ ἀνθρώποις, ἀλλὰ θηρίοις ἀνθρωποειδέσιν, ἐθνικοῖς καὶ Ἰουδαϊσταῖς καὶ αἱρεσιώταις ἀθέοις. 3. τῷ γὰρ ἐκβληθέντι τῆς ἐκκλησίας εὐθὺς προσπελάζουσιν οἱ λυμεῶνες ὡς λύκοι καὶ ὡς ἄρνα βορὰν ἡγοῦνται, κέρδος ἴδιον ἡγούμενοι τὴν ἐκείνου ἀπώλειαν· καὶ γὰρ ὁ τούτων πατὴρ διάβολος ἀνθρωποκτόνος ἐστίν· καὶ ὁ διὰ τῆς σῆς ἀκρισίας ἀδίκως ἀφορισθεὶς καὶ ἀθυμίᾳ συσχεθεὶς καὶ ὀλιγοψυχήσας ἢ εἰς ἔθνη ἀποπλανηθήσεται ἢ εἰς αἱρέσεις συμποδισθήσεται, καὶ παντελῶς τῆς ἐκκλησίας καὶ τῆς εἰς θεὸν ἐλπίδος ἀπαλλοτριωθήσεται καὶ συμποδι-

---

1. Ματθ. 18, 1-13. 2. Ἰεζ. 34, 16. 3. Λουκ. 4, 19. 4. Λουκ. 7, 48, 50. 5. Ματθ. 9, 12. Λουκ. 19, 10. 6. Πρβλ. Ματθ. 20, 25. 7. Ἡσ. 40, 11. 8. Σοφ. Σειρ. 28, 14.

σθήσεται ὑπὸ ἀσεβείας, καὶ γενήσῃ σὺ τῆς ἐκείνου ἀπωλείας ἔνοχος. 4. οὐ γὰρ δίκαιόν ἐστιν, ἕτοιμον μὲν εἶναι ἐκβάλλειν τὸν ἡμαρτηκότα, ὀκνηρὸν δὲ ὑπάρχειν εἰς τὸ προσδέχεσθαι τὸν ἐπιστρέφοντα, καὶ πρόχειρον μὲν εἰς τὸ ἀποκόπτειν, ἀνηλεῆ δὲ εἰς τὸ τὸν ἀλγοῦντα ἰᾶσθαι· περὶ γὰρ τῶν τοιούτων λέγει ἡ θεία γραφή· «Οἱ πόδες αὐτῶν εἰς κακίαν τρέχουσιν, ταχινοί εἰσιν τοῦ ἐκχέειν αἷμα· σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν· οὐκ ἔστιν φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν[1]». 5. ὁδὸς δὲ εἰρήνης ἐστὶν ὁ σωτὴρ ἡμῶν Ἰησοῦς ὁ Χριστός, ὃς καὶ ἐδίδαξεν ἡμᾶς λέγων· «Ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν· δίδοτε, καὶ δοθήσεται ὑμῖν[2]», τοῦτ' ἔστιν δίδοτε ἄφεσιν ἁμαρτιῶν, καὶ ἀφεθήσεται ὑμῖν τὰ παραπτώματα, ὡς καὶ διὰ τῆς εὐχῆς ἡμᾶς ἐπαίδευσεν λέγειν πρὸς τὸν θεόν· «Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν[3]». 6. ἐὰν οὖν μὴ ἀφῆτε τοῖς ἡμαρτηκόσιν, πῶς ὑμεῖς λήψεσθε τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ὑμῶν; οὐχὶ τοὐναντίον ἑαυτὸν δεσμεύεις, λέγων ἀφιέναι καὶ μὴ ἀφιῶν; τῷ ἑαυτῶν στόματι ἐναντιωθήσεσθε, λέγοντες ἀφιέναι καὶ μὴ ἀφιέντες. 7. γινώσκετε γάρ, ὅτι ὁ τὸν μὴ ἀδικήσαντα ἐκβάλλων ἢ τὸν ἐπιστρέφοντα μὴ προσδεχόμενος φονεύει τὸν ἀδελφὸν αὐτοῦ καὶ αἷμα ἐκχέει ὡς Κάϊν Ἄβελ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ τὸ αἷμα αὐτοῦ βοῶν πρὸς θεὸν ἐκζητηθήσεται· «δίκαιος» γὰρ ἀδίκως φονευθεὶς ὑπό τινος παρὰ θεῷ «ἐν ἀναπαύσει ἔσται[4]» εἰς τὸν αἰῶνα, ὡσαύτως καὶ ὁ ματαίως ἀφορισθεὶς ὑπὸ τοῦ ἐπισκόπου. 8. ὁ μέντοι ἐκβάλλων ὡς λοιμὸν τὸν ἀναίτιον, πικρότερος φονέως ὁ τοιοῦτος, οὐκ ἀφορῶν εἰς τὸ τοῦ θεοῦ ἔλεος, οὐδὲ μνημονεύων αὐτοῦ τὴν ἐπὶ τοῖς μετανοοῦσιν ἀγαθωσύνην, οὐδὲ λαμβάνων σκοποὺς τῶν τοιούτων τοὺς ἐκ πλήθους παραπτωμάτων ἐν μετανοίᾳ εἰληφότας ἄφεσιν. 9. διὰ τοῦτο ἰταμώτερος σωματικοῦ φονέως ὁ τὸν ἀναίτιον ἀπορρίπτων. ὡσαύτως καὶ ὁ μὴ προσδεχόμενος τοὺς μετανοοῦντας σκορπίζει τὰ τοῦ Χριστοῦ, κατ' αὐτοῦ γινόμενος· ὡς γὰρ δίκαιός ἐστιν ὁ θεὸς ἐν τῷ κρίνειν τοὺς ἁμαρτωλούς, οὕτως ἐλεήμων ἐν τῷ προσδέχεσθαι τοὺς ἐπιστρέφοντας· «ἔλεος» γὰρ «καὶ κρίσιν ᾖδεν» αὐτῷ ὁ θεοφιλὴς Δαυίδ[5].

XXII. Χρὴ δέ σε, ὦ ἐπίσκοπε, πρὸ ὀφθαλμῶν ἔχειν καὶ τὰ προωδευκότα καὶ ἐμπείρως αὐτοῖς κεχρῆσθαι πρὸς νουθεσίαν τῶν στυπτικῶν ἢ παρακλητικῶν δεομένων λόγων· ἔτι καὶ ἐν τῷ κρίνειν σε δίκαιον τῷ τοῦ θεοῦ ἐξακολουθεῖν θελήματι, καὶ ᾗ θεὸς δικάζει τοὺς ἁμαρτάνοντας καὶ ἐπιστρέφοντας, παραπλησίως καὶ σὲ κρίνειν. 2. ἢ γὰρ οὐχὶ καὶ τὸν Δαυὶδ ὀλισθήσαντα ὀνειδίσας διὰ τοῦ Νάθαν καὶ εἰπόντα μετανοεῖν εὐθὺς καὶ τοῦ θανάτου λυτροῦται λέγων· «Θάρσει, οὐ μὴ ἀποθάνῃς[6];» Ἰωνᾶν μὴ θελήσαντα Νινευίταις κηρῦξαι

1. Ἡσ. 59, 7-8. Ῥωμ. 3, 15. 2. Πρβλ. Λουκ. 6, 37 ἑξ. 3. Ματθ. 6, 12. 4. Σοφ. Σολ. 4, 7. 5. Πρβλ. Ψαλμ. 102, 1 ἑξ. 6. Β' Βασ. 12, 13.

ὑπὸ θαλάσσης καὶ κήτους καταποθῆναι ποιήσας, εὐξαμένου ἐν κοιλίᾳ, ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωὴν αὐτοῦ; Ἐζεκίαν πρὸς ὀλίγον τυφωθέντα, εὐξάμενον μετὰ δακρύων, ἀφῆκεν τοῦ ἐγκλήματος; 3. ἀκούσατε δή, ὦ ἐπίσκοποι, πρὸς τὰ τοιαῦτα ὠφέλιμον ὑπόδειγμα· γέγραπται γὰρ ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν καὶ ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων τῇ τῶν ἡμερῶν οὕτως· 4. «Υἱὸς Μανασσῆς ἐν τῷ βασιλεύειν αὐτὸν δωδεκαετής, καὶ πεντήκοντα πέντε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἐψιβά. 5. καὶ ἐποίησεν τὸ πονηρὸν ἐνώπιον κυρίου, οὐκ ἀπέσχετο ἀπὸ τῶν βδελυγμάτων τῶν ἐθνῶν ὧν ἐξωλόθρευσεν κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ· καὶ ἐπέστρεψεν Μανασσῆς καὶ ᾠκοδόμησεν τὰ ὑψηλά, ἃ κατέσπασεν Ἐζεκίας ὁ πατὴρ αὐτοῦ, καὶ ἔστησεν στήλας τῇ Βάαλ καὶ ἀνέστησεν θυσιαστήριον τῇ Βάαλ, καὶ ἐποίησεν ἄλση, καθὼς ἐποίησεν Ἀχαὰβ βασιλεὺς Ἰσραήλ· καὶ ἐποίησεν θυσιαστήρια πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ ᾠκοδόμησεν θυσιαστήριον ἐν οἴκῳ κυρίου, ἐν ᾧ εἶπεν κύριος πρὸς Δαυὶδ καὶ πρὸς Σολομῶντα τὸν υἱὸν αὐτοῦ λέγων, ὅτι ἐν αὐτῷ θήσω τὸ ὄνομά μου. 6. καὶ ἔστησεν Μανασσῆς θυσιαστήρια, καὶ ἐν αὐτοῖς ἐδούλευσεν τῇ Βάαλ, καὶ εἶπεν· ἔσται τὸ ὄνομά μου εἰς τὸν αἰῶνα, καὶ ᾠκοδόμησε θυσιαστήρια ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου κυρίου τῇ στρατιᾷ τοῦ οὐρανοῦ· καὶ αὐτὸς διῆγεν τὰ τέκνα αὐτοῦ ἐν πυρὶ ἐν Γὲ Βεννόμ, καὶ ἐκληδονίζετο καὶ ἐφαρμακεύετο καὶ ἐποίησεν ἐγγαστριμύθους καὶ ἐπαοιδοὺς καὶ γνώστας καὶ θεραφείν, καὶ ἐπλήθυνεν τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου τοῦ παροργίσαι αὐτόν. 7. καὶ ἔθηκεν τὸν χωνευτὸν καὶ τὸν γλυπτὸν τοῦ ἄλσους, τὴν εἰκόνα ἣν ἐποίησεν, ἐν οἴκῳ κυρίου, ἐν ᾧ ἐξελέξατο κύριος θέσθαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ ἐν Ἱερουσαλὴμ τῇ ἁγίᾳ πόλει εἰς τὸν αἰῶνα, καὶ εἶπεν· οὐ προσθήσω τὸν πόδα μου σαλεῦσαι ἀπὸ τῆς γῆς τοῦ Ἰσραήλ, ἣν ἔδωκα τοῖς πατράσιν αὐτῶν, πλὴν ἐὰν φυλάξωνται κατὰ πάντα ὅσα ἐνετειλάμην αὐτοῖς, κατὰ πᾶσαν ἐντολήν, ἣν ἐνετείλατο ὁ δοῦλός μου Μωϋσῆς. καὶ οὐκ ἤκουσαν, καὶ ἐπλάνησεν αὐτοὺς Μανασσῆς τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου ὑπὲρ τὰ ἔθνη, ἃ ἐξῆρεν κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ. 8. καὶ ἐλάλησεν κύριος ἐπὶ Μανασσῆν καὶ ἐπὶ τὸν λαὸν αὐτοῦ ἐν χειρὶ δούλων αὐτοῦ τῶν προφητῶν λέγων· ἀνθ' ὧν ὅσα ἐποίησεν Μανασσῆς ὁ βασιλεὺς Ἰούδα τὰ βδελύγματα τὰ πονηρὰ ταῦτα ἀπὸ πάντων ὧν ἐποίησεν ὁ Ἀμορραῖος ἔμπροσθεν αὐτοῦ, καὶ ἐξήμαρτεν τὸν Ἰούδαν ἐν τοῖς εἰδώλοις αὐτοῦ, τάδε λέγει κύριος ὁ θεὸς Ἰσραήλ· ἰδοὺ ἐγὼ φέρω κακὰ ἐπὶ Ἱερουσαλὴμ καὶ Ἰούδαν, ὥστε παντὸς ἀκούοντος αὐτὰ ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ, καὶ ἐκτενῶ ἐπὶ Ἱερουσαλὴμ τὸ μέτρον Σαμαρείας καὶ τὸν σταθμὸν οἴκου Ἀχαάβ, καὶ ἀπαλείψω τὴν Ἱερουσαλήμ, καθὼς ἀπαλείφεται τὸ πυξίον ἀπαλειφόμενον, καὶ καταστρέψω ἐπὶ πρόσωπον αὐτοῦ καὶ ἀποδώσομαι τὸ ὑπόλειμμα τῆς κληρονομίας μου, καὶ παραδώσω αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ ἔσονται εἰς διαρπαγὴν

καὶ προνομὴν πᾶσι τοῖς ἐχθροῖς αὐτῶν· ἀνθ' ὧν ὅσα ἐποίησαν πονηρὰ ἐν ὀφθαλμοῖς μου, καὶ ἦσαν παροργίζοντές με ἀφ' ἧς ἡμέρας ἐξήγαγον τοὺς πατέρας αὐτῶν ἐκ γῆς Αἰγύπτου καὶ ἕως τῆς ἡμέρας ταύτης. 9. καί γε αἷμα ἀθῷον ἐξέχεεν Μανασσῆς πολὺ σφόδρα, ἕως οὗ ἔπλησεν τὴν Ἱερουσαλὴμ στόμα ἐπὶ στόματι, πλὴν ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ ὧν ἐξήμαρτεν τὸν Ἰούδαν ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου. 10. καὶ ἤγαγεν κύριος ἐπ' αὐτὸν τοὺς ἄρχοντας τῆς δυνάμεως τοῦ βασιλέως Ἀσούρ, καὶ κατελάβοντο τὸν Μανασσῆν ἐν δεσμοῖς καὶ ἔδησαν αὐτὸν ἐν πέδαις χαλκαῖς καὶ ἤγαγον αὐτὸν εἰς Βαβυλῶνα· καὶ ἦν δεδεμένος καὶ κατασεσιδηρωμένος ὅλος ἐν οἴκῳ φυλακῆς, καὶ ἐδίδοτο αὐτῷ ἐκ πιτύρων ἄρτος ἐν σταθμῷ βραχὺς καὶ ὕδωρ σὺν ὄξει ὀλίγον ἐν μέτρῳ, ὥστε ζῆν αὐτόν, καὶ ἦν συνεχόμενος καὶ ὀδυνώμενος σφόδρα. 11. καὶ ὡς βιαίως ἐθλίβη, ἐζήτησεν τὸ πρόσωπον κυρίου τοῦ θεοῦ αὐτοῦ, καὶ ἐταπεινώθη σφόδρα ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ τῶν πατέρων αὐτοῦ, καὶ προσηύξατο πρὸς κύριον τὸν θεὸν λέγων·[1] 12. Κύριε παντοκράτορ, ὁ θεὸς τῶν πατέρων ἡμῶν, τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν σὺν παντὶ τῷ κόσμῳ αὐτῶν, ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματός σου, ὁ κλείσας τὴν ἄβυσσον καὶ σφραγισάμενος αὐτὴν τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου, ὃν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου δυνάμεώς σου, ὅτι ἄστεκτος ἡ μεγαλοπρέπεια τῆς δόξης σου καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου, ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου· ὅτι σὺ εἶ κύριος μακρόθυμος, εὔσπλαγχνος, πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις τῶν ἀνθρώπων· ὅτι σύ, ὁ θεός, κατὰ τὴν χρηστότητα τῆς ἀγαθωσύνης σου ἐπηγγείλω μετανοίας ἄφεσιν τοῖς ἡμαρτηκόσιν, καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν σου ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σωτηρίαν. 13. σὺ οὖν, κύριε ὁ θεὸς τῶν δικαίων, οὐκ ἔθου μετάνοιαν δικαίοις, τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τοῖς οὐχ ἡμαρτηκόσιν σοι, ἀλλ' ἔθου μετάνοιαν ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ, διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης. ἐπλήθυναν αἱ ἀνομίαι μου, κύριε, ἐπλήθυναν αἱ ἀνομίαι μου, καὶ οὐκέτι εἰμὶ ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ πλήθους τῶν ἀδικιῶν μου, κατακαμπτόμενος πολλῷ δεσμῷ σιδήρου, διότι παρώργισα τὸν θυμόν σου καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα στήσας βδελύγματα καὶ πληθύνας προσοχθίσματα. 14. καὶ νῦν κλίνω γόνυ καρδίας μου, δεόμενος τῆς παρὰ σοῦ χρηστότητος. ἡμάρτηκα, κύριε, ἡμάρτηκα, καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω· ἀλλ' αἰτοῦμαι δεόμενός σου· ἄνες μοι, κύριε, ἄνες μοι, καὶ μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου, μηδὲ εἰς τὸν αἰῶνα μηνίσας τηρήσῃς τὰ κακά μοι, μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς· ὅτι σὺ εἶ ὁ θεὸς

1. Δ' Βασ. 21, 1-17. Β' Παρλ. 33, 1-13.

τῶν μετανοούντων, καὶ ἐν ἐμοὶ δείξεις τὴν ἀγαθωσύνην σου, ὅτι ἀνάξιον ὄντα σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου· καὶ αἰνέσω σε διαπαντὸς ἐν πάσαις ταῖς ἡμέραις τῆς ζωῆς μου, ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν καὶ σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν·[1] 15. καὶ ἐπήκουσεν τῆς φωνῆς αὐτοῦ κύριος καὶ ᾠκτείρησεν αὐτόν· καὶ ἐγένετο περὶ αὐτὸν φλὸξ πυρός, καὶ ἐτάκησαν πάντα τὰ περὶ αὐτὸν σίδηρα, καὶ ἰάσατο κύριος τὸν Μανασσῆν ἐκ τῆς θλίψεως αὐτοῦ καὶ ἐπέστρεψεν αὐτὸν εἰς Ἱερουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ. 16. καὶ ἔγνω Μανασσῆς, ὅτι κύριος αὐτός ἐστιν θεὸς μόνος, καὶ ἐλάτρευσεν μόνῳ κυρίῳ τῷ θεῷ ἐν ὅλῃ τῇ καρδίᾳ αὐτοῦ καὶ ἐν ὅλῃ τῇ ψυχῇ αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, καὶ ἐλογίσθη δίκαιος. 17. καὶ περιεῖλεν τοὺς θεοὺς τοὺς ἀλλοτρίους καὶ τὸ γλυπτὸν ἐξ οἴκου κυρίου καὶ πάντα τὰ θυσιαστήρια, ἃ ᾠκοδόμησεν ἐν ὄρει οἴκου κυρίου καὶ ἐν Ἱερουσαλήμ. καὶ ἐξέβαλεν ἔξω τῆς πόλεως· καὶ κατώρθωσε τὸ θυσιαστήριον κυρίου, καὶ ἐθυσίασεν ἐπ αὐτῷ θυσίαν σωτηρίου καὶ αἰνέσεως, καὶ εἶπεν Μανασσῆς τῷ Ἰούδᾳ τοῦ δουλεύειν κυρίῳ τῷ θεῷ Ἰσραήλ. 18. καὶ ἐκοιμήθη ἐν εἰρήνῃ μετὰ τῶν πατέρων αὐτοῦ· καὶ ἐβασίλευσεν Ἀμὼς ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, καὶ ἐποίησεν τὸ πονηρὸν ἐνώπιον κυρίου κατὰ πάντα, ὅσα ἐποίησε Μανασσῆς ὁ πατὴρ αὐτοῦ ἐν πρώτοις, καὶ παρώξυνεν κύριον τὸν θεὸν αὐτοῦ.[2]»

XXIII. Ἠκούσατε, τέκνα ποθητὰ ἡμῶν, ὅπως κύριος ὁ θεὸς τὸν εἰδώλοις προσανασχόντα καὶ πολλοὺς ἀθώους φονεύσαντα, βραχέως τιμωρησάμενος, μεταγνόντα προσελάβετο, καὶ ἀφεὶς αὐτῷ τὰ πλημμελήματα ἐπέστρεψεν αὐτὸν περὶ τὴν βασιλείαν· οὐ μόνον γὰρ ἀφίησιν τοῖς μετανοοῦσιν, ἀλλὰ καὶ εἰς τὴν προτέραν ἀξίαν αὐτοὺς ἐπανάγει. μείζων εἰδωλολατρείας οὐκ ἔστιν ἁμαρτία, εἰς θεὸν γάρ ἐστιν δυσσέβεια· ἀλλ' ὅμως καὶ αὐτὴ διὰ γνησίας μετανοίας συγκεχώρηται. 2. ἐὰν δέ τις ἐκ παρατάξεως ἁμαρτάνῃ, πειράζων τὸν θεὸν ὡς μὴ ἐπεξιόντα τοῖς πονηροῖς, ὁ τοιοῦτος ἄφεσιν οὐχ ἕξει, κἂν λέγῃ παρ' ἑαυτῷ· «Ὁσιά μοι γένοιτο, ὅτι πορεύσομαι ἐν τῇ ἀναστροφῇ τῆς καρδίας μου τῆς πονηρᾶς.[3]» 3. τοιοῦτος γάρ τις ἐγένετο καὶ Ἀμὼς ὁ τοῦ Μανασσῆ υἱός. φησὶν γὰρ ἡ γραφή· «Καὶ παρελογίσατο Ἀμὼς λογισμὸν παραβάσεως κακὸν καὶ εἶπεν· ὁ πατήρ μου ἐκ νεότητος πολλὰ παρηνόμησεν καὶ ἐν γήρᾳ μετέγνω· καὶ νῦν ἐγὼ πορεύσομαι καθὰ ἐπιθυμεῖ ἡ ψυχή μου, καὶ ὕστερον ἐπιστρέψω πρὸς κύριον. 4. καὶ ἐποίησεν τὸ πονηρὸν ἐνώπιον κυρίου παρὰ πάντας τοὺς γενομένους ἔμπροσθεν αὐτοῦ, καὶ ἐξωλόθρευσεν αὐτὸν κύριος ὁ θεὸς ἐν τάχει ἐκ τῆς γῆς τῆς ἀγαθῆς αὐτοῦ· καὶ ἐπέθεντο αὐτῷ οἱ παῖδες αὐτοῦ καὶ ἐθανάτωσαν αὐτὸν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐβασίλευσεν ἔτη δύο μόνα.[4]»

1. Πρβλ. Προσευχὴν Μανασσῆ. 2. Β΄ Παρλ. 33, 13-22. 3. Δευτ. 29, 19. 4. Δ΄ Βασ. 21, 19-26. Β΄ Παρλ. 33, 21-24.

XXIV. Προσέχετε οὖν, οἱ λαϊκοί, μή τις ἐξ ὑμῶν τὸν λογισμὸν τοῦ Ἀμὼς ἐπὶ καρδίαν αὐτοῦ στηρίξῃ, καὶ ἔσται συντόμως ἀπολλύμενος. 2. ὁμοίως ὁ ἐπίσκοπος συντηρείτω, καθὸ δύναται, τοὺς μὴ ἡμαρτηκότας ἀναμαρτήτους μεῖναι, καὶ τοὺς ἀπὸ ἁμαρτιῶν ἐπιστρέφοντας θεραπεύων δεχέσθω. 3. ἐὰν δὲ μετεγνωκότα ἀνηλεὴς ὢν μὴ προσδέξηται, ἁμαρτήσει εἰς κύριον τὸν θεὸν αὐτοῦ, δικαιῶν ἑαυτὸν ὑπὲρ τὴν ἐκείνου δικαιοσύνην καὶ μὴ προσλαμβανόμενος ὃν προσεδέξατο διὰ Χριστοῦ, δι' ὃν ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ ἐπὶ γῆς τοῖς ἀνθρώποις ὡς ἄνθρωπον, δι' ὃν εὐδόκησεν ἐκ γυναικὸς αὐτὸν γεννηθῆναι τὸν ποιητὴν ἀνδρὸς καὶ γυναικός· οὗ χάριν, μὴ φεισάμενος σταυρῷ καὶ θανάτῳ καὶ ταφῇ, συνεχώρησεν παθεῖν τὸν τῇ φύσει ἀπαθῆ, τὸν υἱὸν τὸν ἀγαπητόν, τὸν θεὸν λόγον, «τὸν τῆς μεγάλης αὐτοῦ βουλῆς ἄγγελον [1]», ὅπως τοὺς ὑποκειμένους θανάτῳ ῥύσηται τοῦ θανάτου. 4. τοῦτον παροργίζουσιν οἱ μὴ προσδεχόμενοι τοὺς μετανοοῦντας. οὗτος γὰρ Ματθαῖον ἐμὲ τελώνην ὄντα τὸ πρότερον οὐκ ἐπῃσχύνθη· καὶ Πέτρον, ἀρνησάμενον αὐτὸν διὰ δέος τρίτον καὶ διὰ μετανοίας ἐξιλεωσάμενον καὶ προσκλαύσαντα πικρῶς, προσήκατο καὶ ποιμένα τῶν ἰδίων ἀρνίων κατέστησεν· καὶ Παῦλον δὲ τὸν συναπόστολον ἡμῶν, πολλὰ τὸ πρότερον εἰς ἡμᾶς ἐπιτριψάμενον κακὰ καὶ βλασφημήσαντα εἰς τὸ ὄνομα τὸ ἅγιον, ἀπόστολον ἀντὶ διώκτου προεχειρίσατο, «σκεῦος» αὐτὸν «ἐκλογῆς [2]» ἀναδείξας. 5. καὶ ἄλλῃ τινὶ ἁμαρτωλῷ γυναικὶ λέγει «Ἀφέωνταί σου αἱ ἁμαρτίαι αἱ πολλαί, ὅτι ἠγάπησας πολύ [3]». 6. ἑτέραν δέ τινα ἡμαρτηκυῖαν ἔστησαν οἱ πρεσβύτεροι ἔμπροσθεν αὐτοῦ, καὶ ἐπ' αὐτῷ θέμενοι τὴν κρίσιν ἐξῆλθον· ὁ δὲ καρδιογνώστης κύριος, πυθόμενος αὐτῆς, εἰ κατέκριναν αὐτὴν οἱ πρεσβύτεροι, καὶ εἰπούσης, «ὅτι οὔ», ἔφη πρὸς αὐτήν· «Ὕπαγε οὖν, οὐδὲ ἐγώ σε κατακρίνω [4]». 7. τοῦτον τὸν σωτῆρα, βασιλέα καὶ θεὸν ἡμῶν, ὦ ἐπίσκοποι, σκοπὸν ὑμᾶς ἔχειν δεῖ, τούτου μιμητὰς εἶναι, «πραεῖς, ἡσυχίους», εὐσπλάγχνους, ἐλεήμονας, εἰρηνικούς, ἀοργήτους, «διδακτικούς [5]», ἐπιστρεπτικούς, εἰσδεκτικούς, παρακλητικούς, «μὴ πλήκτας, μὴ ὀργίλους [6]» μὴ ὑβριστάς, μὴ ἀλαζόνας, μὴ ὑπεροπτικούς, μὴ οἰνόφλυγας, μὴ μεθύσους, μὴ εἰκαιοδαπάνους, μὴ τρυφητάς, μὴ πολυδαπάνους, μὴ ὡς ἀλλοτρίοις, ἀλλ' ὡς ἰδίοις τοῖς τοῦ θεοῦ δόμασιν χρωμένους, ὡς καθεστῶτας ἀγαθοὺς οἰκονόμους, ὡς μέλλοντας ἀπαιτεῖσθαι παρὰ τοῦ θεοῦ τὸν λόγον [7].

XXV. Αὐτάρκη ἐχέτω τροφὴν καὶ ἀμφιασμὸν ὁ ἐπίσκοπος τὸν τῇ χρείᾳ καὶ τῇ σεμνότητι προσήκοντα· μὴ τοῖς κυριακοῖς ὡς ἀλλοτρίοις κεχρήσθω, ἀλλὰ μεμετρημένως· «ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστιν [8]». 2. μὴ σπαταλὸς μηδὲ πέρπερος, ἀλλὰ μόνων τῶν πρὸς σύστασιν ἐφιέμενος, τὰ διδόμενα κατ' ἐντολὴν θεοῦ τῶν

---

1. Ἡσ. 9, 6. 2. Πράξ. 9, 15. 3. Λουκ. 7, 47. 4. Ἰω. 8, 11. 5. Α' Τιμ. 3, 2. 6. Τίτ. 1, 7. 7. Πρβλ. Λουκ. 16, 2. 8. Λουκ. 10, 7.

δεκατῶν καὶ τῶν ἀπαρχῶν ὡς θεοῦ ἄνθρωπος ἀναλισκέτω· τὰ εἰσφερόμενα ἐπὶ προφάσει πενήτων ἑκούσια καλῶς οἰκονομείτω ὀρφανοῖς καὶ χήραις καὶ θλιβομένοις καὶ ξένοις ἀπορουμένοις, ὡς ἔχων θεὸν λογιστευτὴν τούτων τὸν ἐγχειρίσαντα αὐτῷ ταύτην τὴν οἰκονομίαν. 3. πᾶσι δὲ τοῖς δεομένοις μετὰ δικαιοσύνης ἐπιμερίζοντες, καὶ ὑμεῖς αὐτοὶ χρώμενοι ἐκ τῶν κυριακῶν, ἀλλὰ μὴ παραχρώμενοι, ἐσθίοντες ἐξ αὐτῶν, ἀλλὰ μὴ κατεσθίοντες αὐτὰ μόνοι, κοινωνοῦντες δὲ τοῖς χρῄζουσιν, ἀπρόσκοποι θεῷ γίνεσθε· ἐὰν γὰρ μόνοι αὐτὰ ἀναλώσητε, ὀνειδισθήσεσθε παρὰ θεοῦ λέγοντος ὡς πρὸς ἀπλήστους καὶ μονοφάγους· «Τὸ γάλα κατεσθίετε καὶ τὰ ἔρια περιβάλλεσθε [1]», καὶ ἐν ἄλλοις· «Μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; [2]» διὸ καὶ ἐν τῷ Νόμῳ προστέτακται ὑμῖν· «Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. [3]» 4. καὶ ταῦτα λέγομεν, οὐχ ἵνα μὴ μεταλαμβάνητε ὑμῶν τῶν πόνων, γέγραπται γάρ· «Οὐ φιμώσεις βοῦν ἀλοῶντα, [4]» ἀλλ' ἵνα μεμετρημένως μετὰ δικαιοσύνης. 5. ὃν τρόπον οὖν ὁ βοῦς, ἐργαζόμενος ἐν τῇ ἅλῳ ἀκήμωτος, ἐσθίει μέν, ἀλλ' οὐ τὸ πᾶν κατεσθίει, οὕτως καὶ ὑμεῖς, ἐργαζόμενοι εἰς τὴν ἅλω, τοῦτ' ἔστιν εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἐκ τῆς ἐκκλησίας ἐσθίετε, ὃν τρόπον καὶ οἱ λευῖται οἱ λειτουργοῦντες τῇ σκηνῇ τοῦ μαρτυρίου, ἥτις ἦν τύπος τῆς ἐκκλησίας κατὰ πάντα, προσέτι δὲ καὶ ἐκ τοῦ ὀνόματος μαρτύριον τῆς ἐκκλησίας ἡ σκηνὴ προωρίζετο. 6. ἐνταῦθα γοῦν οἱ λευῖται τῇ σκηνῇ προσεδρεύοντες ἐκ τῶν εἰς τὴν προσφορὰν τοῦ θεοῦ διδομένων ὑπὸ παντὸς τοῦ λαοῦ δώρων καὶ ἀφαιρεμάτων καὶ ἀπαρχῶν καὶ δεκατῶν καὶ θυσιῶν καὶ προσφορῶν μετεῖχον ἀκωλύτως, αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ καὶ αἱ θυγατέρες αὐτῶν· ἐπειδὴ δὲ τὸ ἔργον αὐτῶν ἦν λειτουργία τῆς σκηνῆς, διὰ τοῦτο κληροδοσίαν γῆς οὐκ ἔλαβον ἐν τοῖς υἱοῖς Ἰσραήλ, ὅτι αἱ εἰσφοραὶ τοῦ λαοῦ κληροδοσία τοῦ Λευὶ καὶ κληρονομία τῆς φυλῆς αὐτοῦ. 7. ὑμεῖς οὖν σήμερον, ὦ ἐπίσκοποι, ἐστὲ τῷ λαῷ ὑμῶν ἱερεῖς λευῖται, οἱ λειτουργοῦντες τῇ ἱερᾷ σκηνῇ, τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ, καὶ παρεστῶτες τῷ θυσιαστηρίῳ κυρίου τοῦ θεοῦ ἡμῶν καὶ προσάγοντες αὐτῷ τὰς λογικὰς καὶ ἀναιμάκτους θυσίας διὰ «Ἰησοῦ τοῦ μεγάλου ἀρχιερέως· [5]» ὑμεῖς τοῖς ἐν ὑμῖν λαϊκοῖς ἐστε προφῆται, ἄρχοντες καὶ ἡγούμενοι καὶ βασιλεῖς, οἱ μεσῖται θεοῦ καὶ τῶν πιστῶν αὐτοῦ, οἱ δοχεῖς τοῦ λόγου καὶ ἀγγελτῆρες, οἱ γνῶσται τῶν γραφῶν καὶ φθόγγοι τοῦ θεοῦ καὶ μάρτυρες τοῦ θελήματος αὐτοῦ, οἱ πάντων τὰς ἁμαρτίας βαστάζοντες καὶ περὶ πάντων ἀπολογούμενοι· οἷς, ὡς ἠκούσατε, ἐμβριθῶς ὁ λόγος ἀπειλεῖ, ἐὰν κρύψητε ἐξ ἀνθρώπων «τὴν τῆς γνώσεως κλεῖδα· [6]» οἷς κίνδυνος ὀλέθριος, ἐὰν μὴ διαγγείλητε τὸ θέλημα αὐτοῦ τῷ ὑφ' ὑμᾶς λαῷ· οἷς παρὰ θεοῦ μισθὸς ἀψευδὴς καὶ κλέος ἀνεκδιήγητον ἐν δόξῃ,

---

1. Ἰεζ. 34, 3. 2. Ἠσ. 5, 8. 3. Λευϊτ. 19, 18. 4. Δευτ. 25, 4. Α' Κορ. 9, 9. 5. Ἑβρ. 4, 14. 6. Λουκ. 11, 52.

καλῶς λειτουργήσασιν τῇ σκηνῇ τῇ ἁγίᾳ. 8. ὡς γὰρ τὸ βάρος ὑμέτερον, οὕτως καὶ τὰς διακονίας τῶν τροφῶν καὶ τὰς ἄλλας χρείας ὑμεῖς καρποῦσθε. 9. μιμηταὶ γὰρ ἔστε Χριστοῦ τοῦ κυρίου, καὶ ὡς «αὐτὸς» πάντων «ἡμῶν τὰς ἁμαρτίας ἀνήνεγκεν[1]» ἐπὶ τὸ ξύλον, σταυρωθεὶς ὁ ἄμωμος ὑπὲρ τῶν κολάσεως ἀξίων, οὕτως καὶ ὑμᾶς τοῦ λαοῦ τὰς ἁμαρτίας ἐξιδιοποιεῖσθαι χρή. 10. εἴρηται γὰρ περὶ τοῦ σωτῆρος ἐν Ἠσαΐᾳ, ὅτι «οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται.[2]» 11. καὶ πάλιν· «Αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκεν καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη.[3]» 12. ὥσπερ οὖν ὑμεῖς σκοποί ἐστε, οὕτως καὶ σκοπὸν ἔχετε τὸν Χριστόν· ὡς οὖν αὐτὸς πάντων ὑμῶν, οὕτως καὶ ὑμεῖς τῶν ὑφ' ὑμᾶς λαϊκῶν. μὴ γὰρ νομίζετε, ὅτι εὐχερὲς ἢ ἐλαφρὸν φορτίον ἐστὶν ἡ ἐπισκοπή. 13. χρὴ οὖν, ὡς τὸ βάρος φέρετε, οὕτως καὶ τῶν καρπῶν πρώτους μεταλαμβάνειν καὶ τοῖς δεομένοις μεταδιδόναι, ὡς λόγον ὑφέξοντας τῷ ἀπαραλογίστως ὑμᾶς μέλλοντι λογιστεύειν. 14. δεῖ γὰρ τοὺς τῇ ἐκκλησίᾳ προσεδρεύοντας ἐκ τῆς ἐκκλησίας διατρέφεσθαι, ἅτε ἱερεῖς, λευίτας, προέδρους, λειτουργοὺς θεοῦ, καθὼς ἐν βίβλῳ τῶν Ἀριθμῶν γέγραπται περὶ τῶν ἱερέων· 15. «Καὶ εἶπεν κύριος πρὸς Ἀαρών· σὺ καὶ οἱ υἱοί σου καὶ ὁ οἶκος πατριᾶς σου λήψεσθε τὰς ἁμαρτίας τῶν ἁγίων, τῆς ἱερατείας ὑμῶν. 16. ἰδοὺ δέδωκα ὑμῖν τὴν διατήρησιν τῶν ἀπαρχῶν ἀπὸ πάντων τῶν ἡγιασμένων μοι παρὰ τῶν υἱῶν Ἰσραήλ· σοὶ δέδωκα αὐτὰ εἰς γέρας καὶ τοῖς υἱοῖς σου μετὰ σέ, νόμιμον αἰώνιον· καὶ τοῦτο ἔσται ὑμῖν ἀπὸ τῶν ἡγιασμένων, ἐκ τῶν καρπωμάτων καὶ ἀπὸ τῶν δώρων καὶ ἀπὸ πάντων τῶν θυσιῶν καὶ ἀπὸ πάσης πλημμελείας καὶ περὶ ἁμαρτιῶν, καὶ ὅσα ἀποδιδόασίν μοι ἀπὸ πάντων τῶν ἁγίων, σοὶ ἔσται καὶ τοῖς υἱοῖς σου· ἐν τῷ ἁγίῳ φάγεσθε αὐτά.[4]» 17. καὶ μετ' ὀλίγα· «Πᾶσα ἀπαρχὴ ἐλαίου καὶ οἴνου καὶ σίτου, ὅσα ἂν δῶσιν κυρίῳ, σοὶ δέδωκα αὐτά, καὶ τὰ πρωτογεννήματα πάντα σοι δέδωκα, καὶ σοὶ ἐρεῖ πᾶν ἀνάθεμα· πᾶν πρωτότοκον ἀνθρώπου καὶ κτήνους καθαροῦ καὶ ἀκαθάρτου καὶ θυσίας καὶ στηθυνίου καὶ βραχίονος δεξιοῦ τοῖς ἱερεῦσιν προσανήκει καὶ τοῖς λοιποῖς τοῖς παραμένουσιν αὐτοῖς λευίταις.[5]»

XXVI. Ἀκούσατε ταῦτα καὶ ὑμεῖς, οἱ λαϊκοί, ἡ ἐκλεκτὴ ἐκκλησία τοῦ θεοῦ· καὶ γὰρ ὁ λαὸς πρότερον «θεοῦ λαὸς καὶ ἔθνος ἅγιον[6]» ὠνομάζετο, καὶ ὑμεῖς οὖν ἐστὲ ἁγία τοῦ θεοῦ ἱερὰ ἐκκλησια «ἀπογεγραμμένη ἐν οὐρανῷ, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, νύμφη κεκαλλωπισμένη[7]» κυρίῳ τῷ θεῷ· ἐκκλησία μεγάλη, ἐκκλησία πιστή· ἃ πρότερον ἐρρέθη, νῦν ἐνωτίζου· ἀφαιρέματα καὶ δεκάται καὶ ἀπαρχαὶ τῷ ἀρχιερεῖ Χριστῷ καὶ τοῖς λειτουργοῦσιν αὐτῷ, δεκάται σωτηρίου, ἀρχὴ ὀνόματος Ἰησοῦ. 2. ἄκουε, ἱερὰ

---

1. Α΄ Πέτρ. 2, 24. 2. Ἠσ. 53, 4. 3. Ἠσ. 53, 12. 4. Ἀριθ. 18, 1, 8-10. 5. Ἀριθ. 18, 12 ἑξ. 6. Ἔξ. 19, 5-6. 7. Πρβλ. Ἑβρ. 12, 23. Α΄ Πέτρ. 2, 9.

καθολικὴ ἐκκλησία, ἡ τὴν δεκάπληγον ἐκπεφευγυῖα καὶ τὴν δεκάλογον εἰληφυῖα καὶ τὸν νόμον μεμαθηκυῖα καὶ τὴν πίστιν κεκρατηκυῖα καὶ ἐπὶ τὸν κύριον Ἰησοῦν πεπιστευκυῖα καὶ τὴν δεκάδα ἐγνωκυῖα καὶ ἐπὶ τὸ ἰῶτα, ὅπερ ἐστὶν ἀρχὴ ὀνόματος Ἰησοῦ, πεπιστευκυῖα καὶ τὸ ὄνομα αὐτοῦ ἐπονομαζομένη καὶ ἐπὶ τῇ τελειώσει τῆς δόξης αὐτοῦ ἐστηριγμένη· αἱ τότε θυσίαι νῦν εὐχαὶ καὶ δεήσεις καὶ εὐχαριστίαι, αἱ τότε ἀπαρχαὶ καὶ δεκάται καὶ ἀφαιρέματα καὶ δῶρα νῦν προσφοραὶ αἱ διὰ τῶν ὁσίων ἐπισκόπων προσφερόμεναι κυρίῳ τῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ ὑπὲρ αὐτῶν ἀποθανόντος. 3. οὗτοι γάρ εἰσιν ὑμῶν οἱ ἀρχιερεῖς· οἱ δὲ ἱερεῖς ὑμῶν οἱ πρεσβύτεροι, καὶ οἱ λευῖται ὑμῶν οἱ νῦν διάκονοι καὶ οἱ ἀναγινώσκοντες ὑμῖν καὶ οἱ ᾠδοὶ καὶ οἱ πυλωροί, αἱ διάκονοι ὑμῶν καὶ αἱ χῆραι καὶ αἱ παρθένοι καὶ οἱ ὀρφανοὶ ὑμῶν. 4. ὁ δὲ τούτων πάντων ἀνώτερος ὁ ἀρχιερεύς ἐστιν, ὁ ἐπίσκοπος. οὗτος λόγου διάκονος, γνώσεως φύλαξ, μεσίτης θεοῦ καὶ ὑμῶν ἐν ταῖς πρὸς αὐτὸν λατρείαις· οὗτος διδάσκαλος εὐσεβείας, οὗτος μετὰ θεὸν πατὴρ ὑμῶν, «δι' ὕδατος καὶ πνεύματος ἀναγεννήσας[1]» ὑμᾶς εἰς υἱοθεσίαν· οὗτος ἄρχων καὶ ἡγούμενος ὑμῶν, οὗτος ὑμῶν βασιλεὺς καὶ δυνάστης, οὗτος ὑμῶν ἐπίγειος θεὸς μετὰ θεόν, ὃς ὀφείλει τῆς παρ' ὑμῶν τιμῆς ἀπολαύειν. περὶ γὰρ τούτου καὶ τῶν ὁμοίων αὐτοῦ ὁ θεὸς ἔλεγεν· «Ἐγὼ εἶπα· θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες[2]», καί· «Θεοὺς οὐ κακολογήσεις.[3]» ὁ γὰρ ἐπίσκοπος προκαθεζέσθω ὑμῶν ὡς θεοῦ ἀξίᾳ τετιμημένος, ᾗ κρατεῖ τοῦ κλήρου καὶ τοῦ λαοῦ παντὸς ἄρχει. 5. ὁ δὲ διάκονος τούτῳ παριστάσθω ὡς ὁ Χριστὸς τῷ πατρί, καὶ λειτουργείτω αὐτῷ ἐν πᾶσιν ἀμέμπτως, ὡς ὁ Χριστός, ἀφ' ἑαυτοῦ ποιῶν οὐδέν, τὰ ἀρεστὰ ποιεῖ τῷ πατρὶ πάντοτε. 6. ἡ δὲ διάκονος εἰς τύπον τοῦ ἁγίου πνεύματος τετιμήσθω ὑμῖν, μηδὲν ἄνευ τοῦ διακόνου πράττουσα ἢ φθεγγομένη, ὡς οὐδὲ ὁ παράκλητος ἀφ' ἑαυτοῦ τι ποιεῖ ἢ λαλεῖ, ἀλλὰ δοξάζων τὸν Χριστὸν περιμένει τὸ ἐκείνου θέλημα· καὶ ὡς οὐκ ἔστιν εἰς τὸν Χριστὸν πιστεῦσαι ἄνευ τῆς τοῦ πνεύματος διδασκαλίας, οὕτως ἄνευ τῆς διακόνου μηδεμία προσίτω γυνὴ τῷ διακόνῳ ἢ τῷ ἐπισκόπῳ. 7. οἵ τε πρεσβύτεροι εἰς τύπον ἡμῶν τῶν ἀποστόλων ὑμῖν νενομίσθωσαν· διδάσκαλοι ἔστωσαν θεογνωσίας, ἐπειδὴ καὶ ὁ κύριος ἡμᾶς ἀποστέλλων ἔλεγεν· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν.[4]» 8. αἵ τε χῆραι καὶ οἱ ὀρφανοὶ εἰς τύπον τοῦ θυσιαστηρίου λελογίσθωσαν ὑμῖν· αἵ τε παρθένοι εἰς τύπον τοῦ θυμιατηρίου τετιμήσθωσαν καὶ τοῦ θυμιάματος.

XXVII. Ὡς οὖν οὐκ ἦν ἐξὸν ἀλλογενῆ, μὴ ὄντα λευίτην, προσενέγκαι τι ἢ προσελθεῖν εἰς τὸ θυσιαστήριον ἄνευ τοῦ ἱερέως, οὕτως καὶ ὑμεῖς ἄνευ τοῦ ἐπισκόπου μηδὲν ποιεῖτε. 2. εἰ δέ τις ἄνευ τοῦ

1. Ἰω. 3, 5. 2. Ψαλμ. 81, 6. 3. Ἔξ. 22, 28. 4. Ματθ. 28, 19-20.

ἐπισκόπου ποιεῖ τι, εἰς μάτην ποιεῖ αὐτό· οὐ γὰρ αὐτῷ εἰς ἔργον λογισθήσεται. 3. ὡς γὰρ ὁ Σαοὺλ ἄνευ τοῦ Σαμουὴλ προσενέγκας ἤκουσεν, ὅτι «μεματαίωταί σοι[1]», οὕτως καὶ πᾶς λαϊκὸς ἄνευ τοῦ ἱερέως ἐπιτελῶν τι ματαιοπονεῖ. 4. καὶ ὡς Ὀζίας ὁ βασιλεύς, οὐκ ὢν ἱερεὺς τὰ τῶν ἱερέων ἐπιτελῶν, ἐλεπρώθη διὰ παρανομίαν, οὕτως καὶ πᾶς λαϊκὸς οὐκ ἀτιμώρητος ἔσται, καταφρονήσας θεοῦ καὶ τῶν αὐτοῦ καταμανεὶς ἱερέων καὶ τὴν τιμὴν ἁρπάσας ἑαυτῷ, μὴ μιμησάμενος Χριστόν, ὃς «οὐχ ἑαυτὸν ἐδόξασεν γενηθῆναι ἀρχιερεύς, ἀλλ᾽[2]» περιέμεινεν ἀκοῦσαι τοῦ πατρός· «Ὤμοσεν κύριος καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.[3]» 5. εἰ οὖν ἄνευ τοῦ πατρὸς ὁ Χριστὸς οὐ δοξάζει ἑαυτόν, πῶς οἷόν τε ἄνθρωπον ἑαυτὸν εἰς ἱερωσύνην ἐπιρρίπτειν, μὴ λαβόντα τὸ ἀξίωμα παρὰ κρείττονος, καὶ ποιεῖν ἐκεῖνα, ἃ μόνοις τοῖς ἱερεῦσιν ἔξεστιν; ἢ οὐχὶ οἱ Κορεῖται, καίτοι τῆς Λευὶ φυλῆς ὄντες, πυρίκαυστοι ἐγένοντο, ἐπαναστάντες Μωσῇ καὶ Ἀαρὼν καὶ περὶ τῶν μὴ καθηκόντων αὐτοῖς ἁμιλλώμενοι; καὶ Δαθὰν καὶ Ἀβειρὼν ζῶντες κατέβησαν εἰς ᾅδου, καὶ ῥάβδος βλαστήσασα ἔστειλεν τῶν πολλῶν τὴν ἄνοιαν καὶ τὸν ὑπὸ θεοῦ χειροτονηθέντα ἀρχιερέα ἀνέδειξεν; 6. προσήκει οὖν καὶ ὑμᾶς, ἀδελφοί, τὰς θυσίας ὑμῶν ἤτοι προσφορὰς τῷ ἐπισκόπῳ προσφέρειν ὡς ἀρχιερεῖ, ἢ δι' ἑαυτῶν ἢ διὰ τῶν διακόνων. οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς ἀπαρχὰς καὶ τὰς δεκάτας καὶ τὰ ἑκούσια αὐτῷ προσάγετε· αὐτὸς γὰρ σαφῶς γινώσκει τοὺς θλιβομένους καὶ ἑκάστῳ δίδωσι πρὸς τὸ ἁρμόζον, ὅπως μηδεὶς ἢ πλειστάκις τῇ αὐτῇ ἡμέρᾳ ἢ τῇ αὐτῇ ἑβδομάδι λαμβάνῃ, ἕτερος δὲ μηδὲ ὅλως· δίκαιον γάρ ἐστιν μᾶλλον τοῖς θλιβομένοις κατὰ ἀλήθειαν ἐπαρκεῖν, ἢ τοῖς νομιζομένοις θλίβεσθαι.

XXVIII. Τοῖς εἰς ἀγάπην ἤτοι δοχήν, ὡς ὁ κύριος ὠνόμασεν[4], προαιρουμένοις καλεῖν πρεσβυτέρας, ἣν ἐπίστανται οἱ διάκονοι θλιβομένην, αὐτὴν πλειστάκις πεμπέτωσαν. 2. ἀφοριζέσθω δὲ ἐν τῇ δοχῇ τὸ τῷ ποιμένι ἔθιμον, λέγω δὲ τὸ τῆς ἀπαρχῆς, ὡς ἱερεῖ, κἂν μὴ παρῇ τῇ δοχῇ, εἰς τιμὴν θεοῦ τοῦ τὴν ἱερατείαν αὐτῷ ἐγχειρίσαντος. 3. ὡσεὶ δὲ ἑκάστῃ τῶν πρεσβυτίδων δίδοται, διπλοῦν διδόσθω τοῖς διακόνοις εἰς γέρας Χριστοῦ. 4. τοῖς δὲ πρεσβυτέροις, ὡς ἂν κάμνωσιν περὶ τὸν τῆς διδασκαλίας λόγον, διπλῆ καὶ αὐτοῖς ἀφοριζέσθω ἡ μοῖρα εἰς χάριν τῶν τοῦ κυρίου ἀποστόλων, ὧν καὶ τὸν τόπον φυλάσσουσιν ὡς σύμβουλοι τοῦ ἐπισκόπου καὶ τῆς ἐκκλησίας στέφανος· εἰσὶν γὰρ συνέδριον καὶ βουλὴ τῆς ἐκκλησίας. 5. εἰ δὲ καὶ ἀναγνώστης ἐστίν, λαμβανέτω καὶ αὐτὸς μοῖραν μίαν εἰς τιμὴν τῶν προφητῶν· ὡσαύτως καὶ ψαλτῳδὸς καὶ πυλωρός. ἑκάστῳ οὖν ἀξιώματι οἱ λαϊκοὶ τὴν προσήκουσαν τιμὴν νεμέτωσαν ἐν τοῖς δόμασι καὶ τῇ κατὰ τὸν βίον ἐντροπῇ. 6. μὴ ῥᾳδίως δὲ ἐνοχλείτωσαν τῷ

1. Α' Βασ. 13, 13. 2. Ἑβρ. 5, 5. 3. Ψαλμ. 109, 4. 4. Λουκ. 14, 13.

ἄρχοντι, ἀλλὰ διὰ τῶν ὑπηρετῶν ἃ βούλονται σημαινέτωσαν, τοῦτ' ἔστι διὰ τῶν διακόνων, πρὸς οὓς πλέον παρρησιαζέσθωσαν· οὐδὲ γὰρ τῷ παντοκράτορι θεῷ προσελθεῖν ἔστιν, ἐὰν μὴ διὰ τοῦ Χριστοῦ. οὕτως οὖν καὶ οἱ λαϊκοὶ πάντα ὅσα βούλονται διὰ τοῦ διακόνου φανερὰ τῷ ἐπισκόπῳ ποιείτωσαν, καὶ οὕτω κατὰ τὸ δοκοῦν ἐκείνῳ ἐπιτελείτωσαν. 7. οὐδὲ γὰρ πρότερον ἐν τῷ ἱερῷ ἁγίασμά τι προσεφέρετο ἢ ἐγίνετό τι ἄνευ τοῦ ἱερέως. «Χείλη» γὰρ «ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ τοῦ στόματος αὐτοῦ [1]», φησίν που Ἀγγαῖος ὁ προφήτης. 8. εἰ γὰρ καὶ οἱ τῶν δαιμόνων θεραπευταὶ ἐν τοῖς μυσαροῖς καὶ βδελυκτοῖς καὶ ἀκαθάρτοις προσοχθίσμασιν αὐτῶν ἄχρι τοῦ δεῦρο τὰ ἅγια μιμοῦνται· καὶ μακρὰν μὲν ἐπὶ συγκρίσεως τὸ βδέλυγμα κεχωρίσθω τῶν ἁγίων, πλὴν ἐν τοῖς ἐμπαίγμασιν αὐτῶν ἄνευ τοῦ μιερέως οὐδὲν προσφέρουσιν οὐδὲ ἐπιτελοῦσιν, ἀλλὰ στόμα νομίζουσι τῶν λίθων τὸν μιερέα, περιμένοντες, τί προστάξει ποιεῖν αὐτοῖς, καὶ πάντα, ἃ ἂν προστάξῃ αὐτοῖς, ἐκεῖνα ἐπιτελοῦσι καὶ ἄνευ αὐτοῦ ποιοῦσιν οὐδὲν καὶ τιμῶσιν αὐτὸν τὸν μιερέα καὶ σεπτὸν αὐτοῦ ἡγοῦνται τὸ ὄνομα εἰς τιμὴν τῶν ἀψύχων ξοάνων καὶ εἰς λατρείαν τῶν πονηρῶν πνευμάτων· 9. εἰ οὖν ἐκεῖνοι, μάταια καὶ ἐψευσμένα δοξάζοντες καὶ ἐπ' οὐδενὶ βεβαίῳ ἔχοντες τὴν ἑαυτῶν ἐλπίδα, ἐπιτηδεύουσι μιμεῖσθαι τὰ ἅγια, πόσῳ δίκαιον ὑμᾶς, τοὺς τὴν φανοτάτην πίστιν καὶ ἀψευδῆ ἐλπίδα ἔχοντας καὶ ἔνδοξον καὶ αἰώνιον καὶ ἀδιάπτωτον ἐπαγγελίαν ἀπεκδεχομένους, τιμᾶν διὰ τῶν προεστώτων κύριον τὸν θεόν, ἡγουμένους στόμα θεοῦ εἶναι τοὺς ἐπισκόπους;

XXIX. Εἰ γὰρ Ἀαρών, ἐπειδὴ ἤγγελλεν τῷ Φαραὼ παρὰ Μωσέως τοὺς λόγους, προφήτης εἴρηται, Μωσῆς δὲ θεὸς τοῦ Φαραὼ ὡς βασιλεὺς ὁμοῦ καὶ ἀρχιερεύς, ὥς φησιν ὁ θεὸς πρὸς αὐτόν· «Θεὸν τέθεικά σε τῷ Φαραῷ, καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σου προφήτης [2]», διατί μὴ καὶ ὑμεῖς τοὺς μεσίτας ὑμῶν τοῦ λόγου προφήτας εἶναι νομίσητε καὶ ὡς θεοὺς σεβασθήσεσθε;

XXX. Νῦν γὰρ ὑμῖν μὲν ὁ Ἀαρών ἐστιν ὁ διάκονος, Μωϋσῆς δὲ ὁ ἐπίσκοπος· εἰ οὖν ἐρρέθη Μωϋσῆς ὑπὸ κυρίου θεός, καὶ ὑμῖν ὁ ἐπίσκοπος εἰς θεὸν τετιμήσθω καὶ ὁ διάκονος ὡς προφήτης αὐτοῦ. 2. ὡς γὰρ ὁ Χριστὸς ἄνευ τοῦ πατρὸς οὐδὲν ποιεῖ, οὕτως οὐδὲ ὁ διάκονος ἄνευ τοῦ ἐπισκόπου· καὶ ὥσπερ υἱὸς ἄνευ τοῦ πατρὸς οὐκ ἔστιν, οὕτως οὐδὲ διάκονος ἄνευ τοῦ ἐπισκόπου· καὶ ὥσπερ ὑπόχρεως υἱὸς πατρί, οὕτω καὶ πᾶς διάκονος ἐπισκόπῳ· καὶ ὥσπερ ὁ υἱὸς ἄγγελός ἐστιν καὶ προφήτης τοῦ πατρός [3], οὕτως καὶ ὁ διάκονος ἄγγελος καὶ προφήτης ἐστὶν τοῦ ἐπισκόπου.

XXXI. Διὸ καὶ πάντα τὰ ἐπιτελούμενα ὑπ' αὐτοῦ εἴς τινα ἐμφανῆ τῷ ἐπισκόπῳ γινέσθω καὶ δι' αὐτοῦ τελειούσθω, μηδὲν δὲ

1. Μαλ. 2, 7. 2. Ἔξ. 7, 1. 3. Πρβλ. Ἠσ. 9, 6. Δευτ. 18, 15.

ποιείτω τὸ σύνολον ἄνευ τοῦ ἐπισκόπου μηδέ τινι διδότω τι ἄνευ τῆς ἐκείνου γνώμης. 2. ἐὰν γὰρ ὡς θλιβομένου τινὸς λάθρα τοῦ ἐπισκόπου διδῷ τινι, εἰς λοιδορίαν τοῦ ἐπισκόπου δώσει, καὶ διαβάλλει αὐτὸν ὡς ἀμελοῦντα τῶν θλιβομένων. 3. ὁ δὲ ἐπίσκοπον ἢ λόγῳ ἢ ἔργῳ κακολογῶν θεῷ προσπταίει, οὐκ ἀκούσας αὐτοῦ εἰπόντος· «Θεούς σου οὐ κακολογήσεις.[1]» οὐ γὰρ περὶ λίθων ἢ ξύλων προσοχθισμάτων ἐνομοθέτει, βδελυκτῶν ὄντων διὰ τὴν ψευδωνυμίαν, ἀλλὰ περὶ τῶν ἱερέων καὶ τῶν κριτῶν, οἷς καὶ εἶπεν, ὅτι «θεοί ἐστε καὶ υἱοὶ ὑψίστου.[2]»

XXXII. Εἰ οὖν γινώσκεις, ὦ διάκονε, θλιβόμενόν τινα, ὑπομνήσας τὸν ἐπίσκοπον, οὕτως δίδου· ἀλλὰ μὴ λαθραίως εἰς λοιδορίαν αὐτοῦ τι ἐπιτέλει, ἵνα μὴ καταγογγυσμὸν ἐγείρῃς κατ' αὐτοῦ. 2. οὐ γὰρ κατ' αὐτοῦ ὁ γογγυσμὸς γενήσεται, ἀλλὰ κατὰ κυρίου τοῦ θεοῦ, καὶ ἀκούσεται ὁ διάκονος καὶ οἱ λοιποί, ὡς Ἀαρὼν καὶ Μαριὰμ καταλαλήσαντες Μωσέως ἤκουσαν· «Πῶς οὐκ ἐφοβήθητε καταλαλῆσαι κατὰ Μωσῆ τοῦ θεράποντός μου;[3]» καὶ πάλιν αὐτὸς ὁ Μωσῆς φησιν τοῖς ἐπισυναχθεῖσιν αὐτῷ· «Οὐ γὰρ καθ' ἡμῶν ὁ γογγυσμὸς ὑμῶν ἐστιν, ἀλλὰ κατὰ κυρίου τοῦ θεοῦ ἡμῶν.[4]» 3. εἰ γὰρ ὁ λαϊκόν, «εἰρηκὼς ῥακὰν ἢ μωρόν[5]» οὐκ ἀτιμώρητος, ὡς ὑβρίσας τὸ τοῦ Χριστοῦ ὄνομα, τί ἂν τις κατὰ ἐπισκόπου εἴπῃ; δι' οὗ τὸ ἅγιον πνεῦμα ἐν ὑμῖν ὁ κύριος ἔδωκεν ἐν τῇ χειροθεσίᾳ, δι' οὗ ἅγια δόγματα μεμαθήκατε καὶ «θεὸν ἐγνώκατε[6]» καὶ εἰς Χριστὸν πεπιστεύκατε, δι' οὗ «ἐγνώσθητε ὑπὸ θεοῦ», δι' οὗ ἐσφραγίσθητε «ἐλαίῳ ἀγαλλιάσεως[7]» καὶ μύρῳ συνέσεως, δι' οὗ «υἱοὶ φωτὸς» ἀνεδείχθητε, δι' οὗ κύριος ἐν τῷ φωτισμῷ ὑμῶν, τῇ τοῦ ἐπισκόπου χειροθεσίᾳ μαρτυρῶν, ἐφ' ἑκατέρων ὑμῶν τὴν ἱερὰν ἐξέτεινεν φωνὴν λέγων· «Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.[8]»

XXXIII. Διὰ τοῦ ἐπισκόπου σου ὁ θεὸς υἱοποιεῖταί σε, ἄνθρωπε· γνώριζε, υἱέ, τὴν δεξιάν, τὴν μητέρα σου καὶ στέργε, καὶ τὸν μετὰ θεὸν γενόμενόν σου πατέρα σέβου. 2. εἰ γὰρ περὶ τῶν κατὰ σάρκα γονέων φησὶν τὸ θεῖον λόγιον· «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται[9]», καί· «Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω[10]», πόσῳ μᾶλλον περὶ τῶν πνευματικῶν γονέων ὑμῖν ὁ λόγος παραινέσει τιμᾶν αὐτοὺς καὶ στέργειν, ὡς εὐεργέτας καὶ πρεσβευτὰς πρὸς θεόν; τοὺς «δι' ὕδατος ὑμᾶς ἀναγεννήσαντας[11]», τοὺς τῷ ἁγίῳ πνεύματι πληρώσαντας, τοὺς τῷ λόγῳ γαλακτοτροφήσαντας, τοὺς ἐν τῇ διδασκαλίᾳ ἀναθρεψαμένους, τοὺς ἐν ταῖς νουθεσίαις στηρίξαντας, τοὺς τοῦ σωτηρίου σώματος καὶ τοῦ τιμίου αἵματος ἀξιώσαντας ὑμᾶς, τοὺς τῶν ἁμαρτιῶν λύσαντας

1. Ἐξ. 22, 28. 2. Ψαλμ. 81, 6. 3. Ἀριθ. 12. 8. 4. Ἐξ. 16, 8. 5. Ματθ. 5, 22. 6. Πρβλ. Γαλ. 4, 9. 7. Ψαλμ. 44, 8. 8. Ψαλμ. 2, 7. 9. Ἐξ. 20, 12. 10. Ἐξ. 21, 16. 11. Ἰω. 3, 5.

καὶ τῆς ἁγίας καὶ ἱερᾶς εὐχαριστίας μετόχους ποιήσαντας καὶ τῆς ἐπαγγελίας τοῦ θεοῦ κοινωνοὺς καὶ συγκληρονόμους θεμένους ὑμᾶς. 3. τούτους εὐλαβούμενοι τιμᾶτε παντοίαις τιμαῖς· οὗτοι γὰρ παρὰ θεοῦ ζωῆς καὶ θανάτου ἐξουσίαν εἰλήφασιν ἐν τῷ δικάζειν τοὺς ἡμαρτηκότας καὶ καταδικάζειν εἰς θάνατον πυρὸς αἰωνίου, καὶ λύειν ἁμαρτιῶν τοὺς ἐπιστρέφοντας καὶ ζωογονεῖν αὐτούς.

XXXIV. Τούτους ἄρχοντας ἡγεῖσθε ὑμῶν καὶ βασιλεῖς νομίζετε, καὶ δασμοὺς ὡς βασιλεῦσι προσφέρετε· ἐξ ὑμῶν γὰρ αὐτούς τε καὶ τοὺς συνοίκους αὐτῶν τρέφεσθαι χρή. 2. ὡς Σαμουὴλ διετάξατο πρὸς τὸν λαὸν περὶ τοῦ βασιλέως ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν[1] καὶ Μωσῆς περὶ τῶν ἱερέων, οὕτως καὶ ἡμεῖς ὑμῖν περὶ τῶν ἐπισκόπων διατασσόμεθα. 3. εἰ γὰρ ἐκεῖ πλῆθος τηλικούτου βασιλέως ἀναλόγως τὰς ὑπηρεσίας ἐδίδου, πόσῳ μᾶλλον οὐχὶ καὶ νῦν ὁ ἐπίσκοπος λαμβάνειν ὀφείλει παρ' ὑμῶν τὰ ἐκ τοῦ θεοῦ αὐτῷ ὡρισμένα πρὸς διατροφὴν αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ κληρικῶν; 4. εἰ δὲ δεῖ καί τι προσθεῖναι τῷ λόγῳ, πλεῖον οὗτος λαμβανέτω, ἢ ἐκεῖνος τὸ παλαιόν· ὁ μὲν γὰρ στρατιωτικὰ μόνα διεῖπεν, πόλεμον καὶ εἰρήνην ἀναδεδεγμένος εἰς φυλακὴν σωμάτων· ὁ δὲ τὴν εἰς θεὸν ἱερωσύνην, σῶμα καὶ ψυχὴν παραιτούμενος κινδύνων. ὅσῳ τοίνυν ψυχὴ σώματος κρείττων, τοσούτῳ ἱερωσύνη βασιλείας· δεσμεύει γὰρ αὐτὴ καὶ λύει τοὺς τιμωρίας ἢ ἀφέσεως ἀξίους. 5. διὸ τὸν ἐπίσκοπον στέργειν ὀφείλετε ὡς πατέρα, φοβεῖσθαι ὡς βασιλέα, τιμᾶν τε ὡς κύριον, τοὺς καρποὺς ὑμῶν καὶ τὰ ἔργα τῶν χειρῶν ὑμῶν εἰς εὐλογίαν ὑμῶν προσφέροντες αὐτῷ, τὰς ἀπαρχὰς ὑμῶν καὶ τὰς δεκάτας ὑμῶν καὶ τὰ ἀφαιρέματα ὑμῶν καὶ τὰ δῶρα ὑμῶν διδόντες αὐτῷ ὡς ἱερεῖ θεοῦ, ἀπαρχὴν σίτου, οἴνου, ἐλαίου, ὀπώρας, ἐρέας, καὶ πάντων ὧν κύριος ὁ θεὸς ἐπιχορηγεῖ ὑμῖν. 6. καὶ ἔσται σοι ἡ προσφορά σου δεκτὴ «εἰς ὀσμὴν εὐωδίας[2]» κυρίῳ τῷ θεῷ σου, καὶ εὐλογήσει κύριος τὰ ἔργα τῶν χειρῶν σου καὶ πληθυνεῖ τὰ ἀγαθὰ τῆς γῆς σου, ἐπείπερ, «εὐλογία εἰς κεφαλὴν τοῦ μεταδιδόντος.[3]»

XXXV. Χρὴ δὲ ὑμᾶς γινώσκειν, ὅτι, εἰ καὶ ἐρρύσατο ὑμᾶς κύριος τῆς δουλείας τῶν ἐπεισάκτων δεσμῶν καὶ ἐξήγαγεν ὑμᾶς εἰς ἀνάψυξιν, μηκέτι ἐάσας ὑμᾶς θύειν ἄλογα ζῶα περὶ ἁμαρτιῶν καὶ καθαρισμοῦ καὶ ἀποπομπαίων καὶ λουτρῶν συνεχῶν καὶ περιρραντηρίων, οὐ δήπου καὶ τῶν εἰσφορῶν ὑμᾶς ἠλευθέρωσεν ὧν ὀφείλετε τοῖς ἱερεῦσιν, καὶ τῶν εἰς τοὺς δεομένους εὐποιιῶν. λέγει γὰρ ὁ κύριος ὑμῖν ἐν τῷ Εὐαγγελίῳ· «Ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.[4]» 2. οὕτως οὖν πλεονάσει ἡ δικαιοσύνη ὑμῶν, ἐν τῷ πλέον ὑμᾶς πρόνοιαν ποιεῖσθαι τῶν ἱερέων καὶ τῶν ὀρφανῶν

---

1. Πρβλ. Α' Βασ. 8, 1 ἑξ. 2. Ἔξ. 29. 18. 3. Παρμ. 11, 26.
4. Ματθ. 5, 20.

καὶ τῶν χηρῶν, ὡς γέγραπται· «Ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τοὺς αἰῶνας[1]», καὶ πάλιν· «Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι[2]», καὶ πάλιν· «Ψυχὴ εὐλογημένη πᾶσα ἁπλῆ.[3]» 3. οὕτως οὖν ποιήσεις σύ, ὡς ὁ κύριος διετάξατο, καὶ δώσεις τῷ ἱερεῖ τὰ ὀφειλόμενα αὐτῷ, ἀπαρχὴν ἅλωνος καὶ ληνοῦ καὶ περὶ ἁμαρτιῶν, ὡς μεσίτῃ θεοῦ καὶ τῶν δεομένων καθάρσεως καὶ παραιτήσεως. σὲ μὲν γὰρ διδόναι προσήκει, οἰκονομεῖν δὲ ἐκεῖνον ἅτε οἰκονόμον καὶ διοικητὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων. 4. οὐ μέντοι λογιστεύσεις τὸν ἐπίσκοπον οὐδὲ παρατηρήσεις τὴν οἰκονομίαν αὐτοῦ, πῶς ἐπιτελεῖ ἢ πότε ἢ τίσιν ἢ ποῦ ἢ εἰ καλῶς ἢ φαύλως ἢ δεόντως· ἔχει γὰρ λογιστὴν κύριον τὸν θεὸν τὸν ἐγχειρίσαντα εἰς τὰς χεῖρας αὐτοῦ τὴν οἰκονομίαν ταύτην καὶ καταξιώσαντα αὐτὸν τῆς ἱερωσύνης τοῦ τηλικούτου τόπου.

XXXVI. Πρὸ ὀφθαλμῶν ἔχε τὸν τοῦ θεοῦ φόβον, πάντοτε μεμνημένος τῶν δέκα τοῦ θεοῦ λογίων· «ἀγαπᾶν κύριον τὸν θεὸν» τὸν ἕνα καὶ μόνον «ἐξ ὅλης τῆς ἰσχύος[4]», μὴ προσανέχειν εἰδώλοις ἤ τισιν ἑτέροις, ὡς θεοῖς ἀψύχοις ἢ ἀλόγοις ἢ δαίμοσιν. 2. γίνωσκε δημιουργίαν θεοῦ διάφορον, ἀρχὴν λαβοῦσαν διὰ Χριστοῦ· καὶ σαββατιεῖς διὰ τὸν παυσάμενον μὲν τοῦ ποιεῖν, οὐ παυσάμενον δὲ τοῦ προνοεῖν, σαββατισμὸν μελέτης νόμων, οὐ χειρῶν ἀργίαν. πᾶσαν ἔκνομον ἐπιθυμίαν ἄπωσαι, πᾶσαν λύμην τὴν ἐπὶ διαφθορᾷ ἀνθρώπων, πᾶσαν ὀργήν. 3. γονεῖς τίμα ὡς αἰτίους γενέσεως. 4. «ἀγάπα τὸν πλησίον σου ὡς σεαυτόν.[5]» κοινώνει βίου τοῖς δεομένοις. 5. ἐπιορκίαν καὶ πολυορκίαν μάταιον φεῦγε· οὐ γὰρ ἀθωωθήσῃ. 6. «μὴ ὀφθῇς παρὰ τοῖς ἱερεῦσιν κενός[6]», καὶ τὰ ἑκούσιά σου ἐνδελεχίζων πρόσφερε· καὶ τῆς Χριστοῦ ἐκκλησίας μὴ ἀπολείπου, ὀρθρίζων εἰς αὐτὴν πρὸ παντὸς ἔργου, καὶ πάλιν ἑσπέρας εἰς αὐτὴν ἀπάντα εὐχαριστῶν τῷ θεῷ ὑπὲρ ὧν σοι τὴν ζωὴν κεχάρισται. 7. ἐργοπόνει, ἐνδελέχιζε, κοπία, πρόσφερε κυρίῳ τὰ ἑκούσιά σου· «Τίμα» γάρ, φησίν, «τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων.[7]» 8. εἰς τὸν κορβανᾶν ὃ δύνασαι βάλλων, κοινώνει τοῖς ξένοις ἓν ἢ δύο ἢ πέντε λεπτά· «θησαύριζε σεαυτῷ τὸν οὐράνιον πλοῦτον, ὃν οὔτε σὴς οὔτε κλέπται λυμανοῦνται.[8]» 9. καὶ ποιῶν οὕτως, μὴ κρῖνε τὸν ἐπίσκοπόν σου ἢ τὸν συλλαϊκόν· ἐὰν γὰρ κρίνῃς τὸν ἀδελφόν, κριτὴς ἐγένου μηδενός σε προχειρισαμένου· τοῖς γὰρ ἱερεῦσιν ἐπετράπη κρίνειν μόνοις, ὅτι εἴρηται αὐτοῖς· «Κρίμα δίκαιον κρίνατε[9]», καὶ πάλιν· «Γίνεσθε τραπεζῖται δόκιμοι.[10]» 10. ὑμῖν δὲ οὐκ ἐπιτέτραπται· τοὐναντίον γὰρ εἴρηται τοῖς ἔξω τοῦ ἀξιώματος τοῦ δικαστικοῦ ὑπάρχουσιν· «Μὴ κρίνετε, καὶ οὐ μὴ κριθήσεσθε.[11]»

XXXVII. Τὸν μέντοι ἐπίσκοπον δεῖ κρίνειν ὀρθῶς, καθὼς γέ-

---

1. Ψαλμ. 111, 9. 2. Παρμ. 16, 6. 3. Παρμ. 11, 25. 4. Δευτ. 6, 5. 5. Ματθ. 19, 19. 6. Ἔξ. 23, 15. 7. Παρμ. 3, 9. 8. Ματθ. 6, 20. 9. Ζαχ. 7, 9. 10. Γραφικόν; 11. Λουκ. 6, 37.

γραπται· «Τὴν δικαίαν κρίσιν κρίνατε[1]», καὶ ἀλλαχοῦ· «Τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον;[2]» 2. γίνεσθε οὖν ὡς ἀργυρονόμοι ἐπιστήμονες· καθάπερ γὰρ οὗτοι τὰ φαῦλα τῶν νομισμάτων ἀποκρίνουσιν, τὰ δὲ δόκιμα οἰκειοῦνται, τὸν αὐτὸν δὴ τρόπον καὶ τὸν ἐπίσκοπον χρὴ τὰ μὲν ἄμωμα κατέχειν, τὰ δὲ ἐπίμωμα ἢ θεραπεύειν ἢ ἀνιάτως νοσοῦντα ἀπορρίπτειν, καὶ μὴ ταχέως κόπτειν μηδὲ οἱσδήποτε πιστεύειν. 3. ἐγχωρεῖ γάρ τινας καὶ διὰ ζῆλον ἢ φθόνον κατά τινος ἀδελφοῦ ἐνστήσασθαι ψευδῆ κατηγορίαν, ὡς οἱ δύο πρεσβύτεροι ἐπὶ τῆς Σωσάννης ἐν Βαβυλῶνι, καὶ ἡ Αἰγυπτία ἐπὶ τῷ Ἰωσήφ. 4. σὺ οὖν ὡς «θεοῦ ἄνθρωπος[3]» τὰ τοιαῦτα μὴ προχείρως παραδέχου, ἵνα «μὴ ἀνέλῃς τὸν ἀθῷον καὶ ἀποκτείνῃς τὸν δίκαιον.[4]» 5. ὁ γὰρ τοιαῦτα παραδέχεσθαι θέλων ὀργῆς πατήρ ἐστιν μᾶλλον ἢ εἰρήνης· ὅπου δὲ ὀργή, ἐκεῖ κύριος οὐκ ἔστιν· ἡ γὰρ ὀργή, τοῦ σατανᾶ ὑπάρχουσα φίλη, λέγω δὲ ἡ παρὰ τὸ δίκαιον κινουμένη διὰ τῶν ψευδαδέλφων, οὐδέποτε ὁμόνοιαν γενέσθαι ἀφίησιν ἐν τῇ ἐκκλησίᾳ. 6. ὅθεν ἐπιγινώσκοντες τοὺς τοιούτους ἄφρονας, ἐριστάς, ἐπιχαιρεσικάκους, μὴ πιστεύετε αὐτοῖς, ἀλλὰ καὶ παρατηρεῖσθε τοὺς τοιούτους, ἀκούοντές τι παρ' αὐτῶν κατὰ ἀδελφοῦ, ὅτι οὐδὲν ἐν ὀφθαλμοῖς αὐτῶν φόνος, καὶ οὗ τις οὐχ ὑπονοεῖ καταβάλλουσιν ἄνδρα.

XXXVIII. Σὺ οὖν πρόσεχε τῷ κατηγορηθέντι, ἐν σοφίᾳ παρατηρῶν τὴν ἀναστροφὴν αὐτοῦ, τίς καὶ ὁποία τυγχάνει· καὶ εἰ εὕροις αὐτὸν ἀληθεύοντα, κατὰ τὴν τοῦ κυρίου διδαχὴν ποίησον, καὶ μόνον παραλαβὼν τὸν κατηγορηθέντα «ἔλεγξον αὐτόν[5]», ὅπως μεταγνῷ, μηδενός σοι συμπαρόντος. 2. «εἰ δὲ οὐ πεισθείη», γενόμενος δεύτερος ἢ τρίτος, οὕτως αὐτῷ ὑπόδειξον τὸ πλημμέλημα, νουθετήσας αὐτὸν ἐν πραότητι καὶ παιδείᾳ, ὅτι «ἐν καρδίᾳ ἀγαθῇ ἀναπαύσεται σοφία, ἐν δὲ καρδίᾳ ἀφρόνων οὐ διαγινώσκεται.[6]» 3. ἐὰν οὖν πεισθῇ ἐπὶ στόματος τῶν τριῶν ὑμῶν, εὖ ἂν ἔχοι· «εἰ δέ τι σκληρύνοιτο, εἰπὲ τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ ταύτης παρακούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης[7]», καὶ μηκέτι αὐτὸν ὡς Χριστιανὸν παραδέχου ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ὡς ἐθνικὸν παραιτοῦ. 4. εἰ δὲ βούλοιτο μετανοεῖν, προσλαμβάνου· οὐδὲ γὰρ τὸν ἐθνικὸν ἢ τὸν τελώνην εἰς κοινωνίαν παραδέχῃ, πρὶν ἢ μεταγνῷ ἕκαστος αὐτῶν ἐκ τῶν προτέρων ἀσεβημάτων· τοῖς γὰρ μεταμελομένοις τόπον μετανοίας ὥρισεν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ.

XXXIX. Καὶ γὰρ ἐγὼ Ματθαῖος, ἐκ τῶν δώδεκα τῶν ἐν τῇδε τῇ διδασκαλίᾳ λαλούντων ὑμῖν, εἰμὶ ἀπόστολος, καὶ αὐτὸς ὢν τελώνης μὲν πρότερον, νῦν δὲ διὰ τοῦ πιστεύειν ἠλεημένος μετεγνωκώς τε τῶν προτέρων πράξεων καὶ ἠξιωμένος ἀπόστολος εἶναι καὶ κῆρυξ τοῦ λόγου. 2. καὶ Ζακχαῖος, ὃν ὁ κύριος προσελάβετο ἐν μετανοίᾳ

---

1. Ἰω. 7, 24. 2. Λουκ. 12, 57. 3. Α' Τιμ. 6, 11. 4. Ἐξ. 23, 7.
5. Ματθ. 18, 15. 6. Παρμ. 14, 33. 7. Ματθ. 18, 17.

δεηθέντα αὐτοῦ, ὁμοίως καὶ αὐτὸς τελώνης τὸ πρότερον ὑπῆρχεν. 3. ἤδη δὲ καὶ στρατιῶται καὶ τελωνῶν ὄχλος, προσελθόντες τῷ κυριακῷ περὶ μετανοίας λόγῳ, ἀκούουσι παρὰ τοῦ προφήτου Ἰωάννου μετὰ τὸ βάπτισμα· «Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν ποιεῖτε.[1]» 4. ὁμοίως δὲ καὶ τοῖς ἐθνικοῖς οὐκ ἀπέγνωσται ἡ ζωή, ἐὰν μετανοήσαντες τὴν ἀπιστίαν ἀποβάλωσιν. 5. «ὡς τελώνην οὖν ἢ ἐθνικὸν[2]» ἔχε τὸν ἐπὶ κακῷ ἔργῳ ἐλεγχθέντα καὶ μὴ μεταγινώσκοντα. 6. ἐὰν δὲ ὕστερον μετανοῇ, ὡς καὶ τοὺς ἐθνικούς, ὁπόταν θέλωσι μετανοεῖν καὶ ἐπιστρέφειν ἐκ τῆς πλάνης, εἰς ἐκκλησίαν προσδεχόμεθα, ὅπως τοῦ λόγου ἀκούωσιν, οὐ μὴν κοινωνοῦμεν αὐτοῖς, μέχρις οὗ τὴν σφραγῖδα λαβόντες τελειωθῶσιν, οὕτω καὶ τοῖς τοιούτοις, μέχρις οὗ μετανοίας καρπὸν ἐπιδείξωσιν, ἐπιτρέπομεν εἰσέρχεσθαι, ὅπως τοῦ λόγου ἀκούοντες μὴ τελείως ἄρδην ἀπόλωνται· μὴ κοινωνείτωσαν δὲ ἐν τῇ προσευχῇ, ἀλλ' ἐξερχέσθωσαν μετὰ τὴν ἀνάγνωσιν τοῦ Νόμου καὶ τῶν Προφητῶν καὶ τοῦ Εὐαγγελίου, ὅπως διὰ τοῦ ἐξιέναι ἐπιβελτιωθῶσιν τὴν ἀναστροφὴν τοῦ βίου, σπουδάζοντες περὶ τὰς συνάξεις ἀπαντᾶν ὁσημέραι καὶ τῇ δεήσει σχολάζειν, ὅπως καὶ αὐτοὶ δυνηθῶσιν εἰσδεχθῆναι, καὶ οἱ θεώμενοι αὐτοὺς κατανυγῶσιν καὶ ἀσφαλέστεροι γένωνται, εὐλαβούμενοι τοῖς ὁμοίοις περιπεσεῖν.

XL. Οὐ μέντοιγε βδελύξῃ τὸν περιπεσόντα ἑνὶ καὶ δευτέρῳ σφάλματι, ὦ ἐπίσκοπε, οὐδὲ κωλύσεις αὐτὸν τοῦ κυριακοῦ λόγου, οὐδὲ κοινῆς διαίτης αὐτὸν ἐξώσεις, ἐπείπερ οὐδὲ ὁ κύριος παρῃτεῖτο μετὰ τῶν τελωνῶν ἐσθίειν καὶ τῶν ἁμαρτωλῶν, καὶ ὑπὸ τῶν Φαρισαίων ἐγκαλούμενος περὶ τούτου ἔλεγεν· «Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.[3]» 2. τοῖς οὖν δι' ἁμαρτίας ἀφορισθεῖσιν παρ' ὑμῶν καὶ συναναστρέφεσθε καὶ συναυλίζεσθε, ἐπιμελούμενοι, παρακαλοῦντες, ὑποστηρίζοντες, λέγοντες αὐτοῖς· «Ἰσχύσατε, χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα.[4]» 3. παρακαλεῖν γὰρ χρὴ τοὺς πενθοῦντας καὶ τοῖς ὀλιγοψυχοῦσιν προθυμίαν διδόναι, ὅπως μὴ τῇ ἀμετρίᾳ τῆς λύπης εἰς ἀφροσύνην χωρήσωσιν, ἐπείπερ ὁ «ὀλιγόψυχος ἰσχυρῶς ἄφρων.[5]»

XLI. Εἰ δέ τις ἐπιστραφεὶς μετανοίας καρπὸν ἐπιδείξηται, τότε καὶ εἰς προσευχὴν εἰσδέξασθε αὐτόν, ὡς τὸν υἱὸν τὸν ἀπολωλότα, τὸν ἄσωτον, τὸν μετὰ πορνῶν μειώσαντα τὴν πατρικὴν οὐσίαν, τὸν χοίρους βόσκοντα καὶ κερατίων ἐμπλησθῆναι ἐπιθυμοῦντα καὶ μὴ τυγχάνοντα, μεταγνόντα καὶ παλινδρομήσαντα πρὸς τὸν πατέρα καὶ εἰπόντα· «Ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος καλεῖσθαι υἱός σου[6]», μετὰ μουσικῶν ὁ φιλότεκνος πατὴρ προσελάβετο, καὶ τὴν ἀρχαίαν στολὴν καὶ τὸν δακτύλιον καὶ τὰ ὑποδήματα ἀποδούς, σφάξας τε τὸν σιτευτὸν μόσχον ηὐφραίνετο μετὰ

---

1. Λουκ. 3, 13. 2. Ματθ. 18, 17. 3. Ματθ. 9, 12. 4. Ἠσ. 35, 3. 5. Παρμ. 14, 29. 6. Λουκ. 15, 21.

τῶν φίλων. 2. οὕτως οὖν καὶ σὺ ποίει, ὦ ἐπίσκοπε· ἀλλ' ὥσπερ τὸν ἐθνικὸν λούσας εἰσδέχῃ μετὰ τὴν διδασκαλίαν, οὕτω καὶ τοῦτον χειροθετήσας, ὡς ἂν μετανοίᾳ κεκαθαρμένον, πάντων ὑπὲρ αὐτοῦ προσευχομένων, ἀποκαταστήσεις αὐτὸν εἰς τὴν ἀρχαίαν αὐτοῦ νομήν, καὶ ἔσται αὐτῷ ἀντὶ τοῦ λούσματος ἡ χειροθεσία· καὶ γὰρ διὰ τῆς ἐπιθέσεως τῶν ἡμετέρων χειρῶν ἐδίδοτο τὸ πνεῦμα τὸ ἅγιον τοῖς πιστεύουσιν. 3. κἂν τις τῶν μὴ σεσαλευμένων ἀδελφῶν αὐτοῦ ἐπεγκαλέσῃ σοι, ὅτι δὴ κατηλλάγης αὐτῷ, εἰπὲ πρὸς αὐτόν· «Σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ τὰ ἐμὰ πάντα σά ἐστιν, εὐφρανθῆναι δὲ ἔδει καὶ χαρῆναι, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησεν, καὶ ἀπολωλὼς καὶ εὑρέθη.[1]» 4. ὅτι γὰρ οὐ μόνον προσδέχεται ὁ Θεὸς τοὺς μετανοοῦντας, ἀλλὰ καὶ εἰς τὴν προτέραν ἀξίαν ἀποκαθίστησιν, ἱκανὸς μάρτυς ὁ ἅγιος Δαυίδ, ὃς μετὰ τὴν εἰς τὸν Οὐρίαν ἁμαρτίαν ηὔχετο τῷ θεῷ λέγων· «Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με[2]», καὶ πάλιν· «Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον· καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.[3]» 5. καὶ σὺ οὖν ὡς συμπαθὴς ἰατρὸς τοὺς ἡμαρτηκότας πάντας θεράπευε, χρώμενος σωτηρίοις πρὸς βοήθειαν ἀγωγαῖς, μὴ μόνον τέμνων ἢ καίων ἢ ξήρια προσφέρων, ἀλλὰ καὶ ἐπιδεσμῶν καὶ μοτῶν καὶ ἐνιεὶς γλυκέα φάρμακα ἐπουλωτικὰ καὶ καταβρέχων λόγοις παρακλητικοῖς. 6. ἐὰν δὲ κοῖλον ᾖ τὸ τραῦμα, θρέψον αὐτὸ δι' ἐμπλάστρων, ἵνα γεμισθὲν ἴσον τῷ ἀρτίῳ ἀποτελεσθῇ· ἐὰν δὲ ῥυπανθῇ, τότε κάθαρον ξηρίῳ, τοῦτ' ἔστιν λόγῳ ἐπιτιμητικῷ· ἐὰν δὲ ὑπέρογκον γένηται, δριμεῖ κολλυρίῳ ἐξομάλισον αὐτό, ἀπειλῇ κρίσεως· κἂν νομὴ γένηται, καυτηρίασον αὐτὸ καὶ τὴν σηπεδόνα ἔκκοψον, στιβώσας νηστείαις. 7. ἐὰν δὲ ταῦτα ποιήσῃς καὶ γνῷς, ὅτι, «ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι οὔτε ἔλαιον οὔτε καταδέσμους[4]», ἀλλ' ἐπεκτείνεται ἡ νομὴ καὶ προλαμβάνει πᾶσαν ἴασιν, ὡς ἡ γάγγραινα πᾶν μέλος σήπουσα, τότε μετὰ πολλῆς σκέψεως καὶ συμβουλίας καὶ ἑτέρων ἰατρῶν ἐμπείρων ἀπόκοψον τὸ διασαπὲν μέλος, ἵνα μὴ τὸ πᾶν διαφθαρῇ σῶμα τῆς ἐκκλησίας. 8. μὴ ῥᾳδίως οὖν ἴσθι πρόχειρος εἰς τὸ ἀποκόπτειν, μηδὲ ταχέως ἐπὶ τὸν μυριόδοντα πρίονα ὅρμα, ἀλλὰ πρῶτον χρῶ σμίλῃ, τὰ ἀποστήματα διαιρῶν, ὅπως τὸ ἐντὸς ἐγκείμενον αἴτιον τῶν πόνων ποιῶν ἐκκριθὲν ἀναλγὲς τὸ σῶμα τηρήσῃ. 9. ἐὰν δέ τινα ἀμετανοήτως ἔχοντα βλέπῃς καὶ ἀπεσκληκότα, τότε μετὰ λύπης καὶ πένθους ἀνιάτως ἔχοντα τῆς ἐκκλησίας ἀπόκοπτε· «Ἐξαρεῖτε» γὰρ «τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν[5]», καί· «Εὐλαβεῖς

---

1. Λουκ. 15, 31-32. 2. Ψαλμ. 50, 14 3. Ψαλμ. 50, 11-13. 4. Ἠσ. 1, 16. 5. Δευτ. 17, 7.

ποιήσετε τοὺς υἱοὺς Ἰσραήλ[1]», καὶ πάλιν· «Οὐ λήψῃ πρόσωπον ἐν κρίσει πλουσίου[2]», καί· «Πένητα οὐκ ἐλεήσεις ἐν κρίσει, ὅτι τοῦ κυρίου ἡ κρίσις.[3]»

XLII. Ἐὰν δὲ ψευδὴς ᾖ ἡ κατηγορία τῆς διαβολῆς καὶ ὑμεῖς οἱ ποιμένες σὺν τοῖς διακόνοις τὸ ψεῦδος ὡς ἀλήθειαν παραδέξησθε ἢ διὰ προσωποληψίαν ἢ διὰ δώρων ἐξαλλαγήν, βουλόμενοι τὸ ἀρεστὸν τῷ διαβόλῳ ποιεῖν, τὸν κατηγορούμενον μέν, ὑπάρχοντα δὲ τοῦ ἐγκλήματος ἀλλότριον ἀπώσησθε τῆς ἐκκλησίας, λόγον ὑφέξετε ἐν τῇ ἡμέρᾳ κυρίου, ὅτι γέγραπται· «Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς· οὐ λήψῃ δῶρα πατάξαι ψυχήν· τὰ[4]» γὰρ «δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν καὶ λυμαίνεται ῥήματα δίκαια[5]», καὶ πάλιν· «Οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες[6]». 2. προσέχετε οὖν, μήπως προσωπολῆπται γενόμενοι ὑποπέσητε τῇ φωνῇ τοῦ κυρίου ταύτῃ. 3. φυλάσσεσθε οὖν τὸ κατακρίνειν τινὰς ἀδίκως καὶ συνηγορεῖν τοῖς πονηροῖς· «Οὐαὶ» γὰρ «τῷ λέγοντι τὸ πονηρὸν καλὸν καὶ τὸ καλὸν πονηρόν, τὸ πικρὸν γλυκὺ καὶ τὸ γλυκὺ πικρόν, τῷ τιθέντι τὸ φῶς σκότος καὶ τὸ σκότος φῶς.[7]» 4. ἐὰν γὰρ ἑτέρους ἀδίκως κατακρίνητε, καθ' ἑαυτῶν ἀποφαίνεσθε, ὅτι λέγει κύριος· «Ὧ κρίματι κρίνετε, κριθήσεσθε, καὶ ὡς καταδικάζετε, καταδικασθήσεσθε.[8]» 5. εἰ οὖν ἀπροσωπολήπτως κρίνετε, ἐπιγνώσεσθε τὸν κατηγοροῦντα κατὰ τοῦ πλησίον αὐτοῦ μαρτυρίαν ψευδῆ, καὶ ἐπιδείξας αὐτὸν συκοφάντην, βάσκανον, φονέα, ταράσσοντα ὡς κακὸν ἀντιλογίαις, ἄστατον ἐν τοῖς λόγοις, ἑαυτῷ ἐναντίον ἐφ' οἷς φθέγγεται καὶ ἁλισκόμενον ῥήμασιν ἰδίου στόματος· «παγὶς γὰρ αὐτῷ ἰσχυρὰ ἐφέστηκεν τὰ ἴδια χείλη.[9]» ὃν μετὰ τοὺς ἐλέγχους τῆς ψευδολογίας κρινεῖς ἀποτόμως καὶ τῇ μαχαίρᾳ τοῦ πυρὸς παραδώσεις, «καὶ ποιήσεις αὐτῷ ὃν τρόπον ἐπονηρεύσατο ποιῆσαι τῷ πλησίον.[10]» 6. ὅσον γὰρ τὸ ἐπ' αὐτῷ ἐφόνευσεν τὸν ἀδελφόν, προλαβὼν τὰ ὦτα τοῦ κριτοῦ· γέγραπται δέ, ὅτι «Ὁ ἐκχέων αἷμα ἀνθρώπου ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται[11]», καί· «Ἐξαρεῖς τὸ αἷμα τὸ ἀναίτιον ἀπὸ σοῦ, τὸ ἐκχυθὲν μάτην.[12]»

XLIII. Ποιήσεις οὖν αὐτὸν ἀποσυνάγωγον ὡς φονέα ἀδελφοῦ. ἔπειτα χρόνου διαστάντος, ἐὰν λέγῃ μετανοεῖν, στιβώσατε αὐτὸν νηστείαις, καὶ μετὰ ταῦτα χειροθετήσαντες αὐτὸν προσδέξασθε, ἀσφαλισάμενοι μέντοι αὐτόν, μή τινα ταράξῃ πάλιν. 2. εἰ δὲ πάλιν εἰσελθὼν ὁμοίως στασιάζει, οὐ παυόμενος τοῦ ταράσσειν καὶ κατακερτομεῖν τῶν ἀδελφῶν, ἐκ φιλονεικίας μώμους ἐπιτηδεύων, ἐκβάλετε αὐτὸν ὡς λοιμόν, ἵνα μὴ τὴν ἐκκλησίαν λυμαίνηται τοῦ θεοῦ· ὁ τοιοῦτος γὰρ ταραχὰς συνίστησι πόλεσιν· οὗτος γὰρ κἂν ἔσω ᾖ, μὴ

1. Λευϊτ. 15, 31. 2. Λευϊτ. 19, 15. 3. Ἔξ. 23, 3. 4. Ἔξ. 23, 7.
5. Δευτ. 16, 19. 6. Ἠσ. 5, 23. 7. Ἠσ. 5, 20. 8. Ματθ. 7, 2.
9. Παρμ. 6, 2. 10. Δευτ. 19, 19. 11. Γεν. 9, 6. 12. Δευτ. 19, 13.

πρέπων τῇ ἐκκλησίᾳ, περισσὸς καὶ μάταιος τυγχάνει, σπιλῶν ὅσον τὸ ἐπ' αὐτῷ τὸ σῶμα τοῦ Χριστοῦ. 3. εἰ γάρ τινες τῶν ἀνθρώπων, γεννώμενοι καὶ περισσὰ τῶν σωμάτων μέλη προσηρτημένα ἔχοντες, οἷον δακτύλους ἢ ὑπερσαρκώματα, περικόπτουσιν ἀφ' ἑαυτῶν ταῦτα διὰ τὴν ἀπρέπειαν, καὶ οὐδεμία προσγίνεται ἀπρέπεια, ἀπολαβόντος τοῦ ἀνθρώπου διὰ τοῦ τεχνίτου τὴν φυσικὴν εὐκοσμίαν, πόσῳ μᾶλλον ὑμεῖς, οἱ ποιμένες, τῆς ἐκκλησίας ὑπαρχούσης σώματος ἀρτίου καὶ μελῶν ὑγιεινῶν τῶν ἐπὶ θεὸν πιστευόντων ἐν φόβῳ κυρίου καὶ ἀγάπῃ, ὅταν εὑρεθῇ ἓν μέλος περισσόν, πονηρὰ φρονοῦν καὶ τῷ λοιπῷ σώματι ἀπρέπειαν ἐμποιοῦν καὶ χειμάζον αὐτὸ στάσει καὶ μάχῃ καὶ καταλαλιᾷ, παρέχον αὐτῷ ψόγους, πράγματα, μώμους, καταλαλιάς, ἐγκλήματα, ἀκαταστασίας, καὶ τὰ τοιαῦτα τοῦ διαβόλου ἐνεργήματα ἐκτελῶν ὡς ἂν κεχειροτονημένος ὑπὸ τοῦ διαβόλου σκυβαλίζειν τὴν ἐκκλησίαν διὰ βλασφημιῶν καὶ πολλῆς ἀκαταστασίας καὶ ἔριδος καὶ διχοστασίας; 4. οὗτος οὖν, δεύτερον ἔξω τῆς ἐκκλησίας βληθείς, ἀξίως ἀπετμήθη τῆς τοῦ κυρίου συναγωγῆς· καὶ μᾶλλον νῦν κεκόσμηται ἡ τοῦ κυρίου ἐκκλησία ἢ τὸ πρῶτον, ὅτε τὸ περιττὸν ἐκέκτητο καὶ ἑαυτῇ ἀνοίκειον μέλος· διὸ ἀπὸ τοῦ νῦν ἀβλασφήμητός ἐστιν καὶ ἀσκυβάλιστος, πονηρῶν ἀπαλλαγεῖσα, δολίων, λοιδόρων, ἀνημέρων, προδοτῶν, μισοκάλων, φιληδόνων, κενοδόξων, ἀπατηλῶν, δοξοσόφων, ἔργον θεμένων διασπείρειν, μᾶλλον δὲ διασκορπίζειν τὰ τοῦ κυρίου ἀρνία.

XLIV. Σὺ οὖν, ὦ ἐπίσκοπε, σπούδαζε ἅμα τῷ ὑπὸ σὲ κλήρῳ «ὀρθοτομεῖν τὸν λόγον τῆς ἀληθείας [1]», ὅτι λέγει κύριος· «Ἐὰν πλάγιοι πορεύησθε, κἀγὼ πρὸς ὑμᾶς πλαγίως πορεύσομαι [2]», καὶ ἀλλαχοῦ· «Μετὰ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ ἀθώου ἀθῷος ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις.[3]» ὁσίως οὖν πορεύεσθε, ἵνα μᾶλλον ἐπαίνου καταξιωθῆτε ὑπὸ τοῦ κυρίου ἢ μέμψεως ἐκ τοῦ ἐναντίου. 2. ὁμόφρονες οὖν ὄντες πρὸς ἀλλήλους, ὦ ἐπίσκοποι, εἰρηνεύετε μετ' ἀλλήλων, συμπαθεῖς, φιλάδελφοι, μετὰ ἀκριβείας ποιμαίνετε τὸν λαόν, ὁμοφρόνως διδάσκοντες τοὺς ὑφ' ὑμᾶς ὁμογνωμονεῖν καὶ «τὸ αὐτὸ περὶ τῶν αὐτῶν δοξάζειν, ὅπως μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ ἓν σῶμα καὶ ἓν πνεῦμα, κατηρτισμένοι τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ [4]» κατὰ τὴν κυριακὴν θέσιν. 3. καὶ πάντα μὲν ὁ διάκονος τῷ ἐπισκόπῳ ἀναφερέτω, ὡς ὁ Χριστὸς τῷ πατρί· ἀλλ' ὅσα δύναται, εὐθυνέτω δι' ἑαυτοῦ, λαβὼν παρὰ τοῦ ἐπισκόπου τὴν ἐξουσίαν, ὡς ὁ Χριστὸς παρὰ τοῦ πατρὸς τὸ προνοεῖν· τὰ δὲ ὑπέρογκα ὁ ἐπίσκοπος κρινέτω. 4. πλὴν ἔστω ὁ διάκονος τοῦ ἐπισκόπου ἀκοὴ καὶ ὀφθαλμὸς καὶ στόμα, καρδία τε καὶ ψυχή, ἵνα μὴ ᾖ τὰ πολλὰ μεριμνῶν ὁ ἐπίσκοπος, ἀλλὰ μόνα τὰ κυριώτερα, ὥσπερ καὶ ὁ Ἰοδὼρ τῷ Μωϋσῇ διετάξατο, καὶ ἀπεδέχθη αὐτοῦ ἡ συμβουλία.[5]

---

1. Β' Τιμ. 2, 15. 2. Λευϊτ. 26, 27-28. 3. Ψαλμ. 17, 26-27.
4. Α' Κορ. 1, 10. 5. Πρβλ. Ἔξ. 18, 1 ἑξ.

XLV. Καλὸν μὲν οὖν ἐστι τῷ Χριστιανῷ ἐγκώμιον πρὸς μηδένα ἔχειν πράγματα· εἰ δὲ ἔκ τινος ἐνεργείας ἢ πειρασμοῦ ἐπισυμβῇ τινι πρᾶγμα, σπουδαζέτω διαλύεσθαι αὐτό, κἂν δέῃ βλαβῆναί τι, καὶ μὴ ἐρχέσθω ἐπὶ κριτήριον ἐθνικόν.[1] 2. ἀλλὰ μὴν μηδὲ ἀνέχεσθε κοσμικοὺς ἄρχοντας κατὰ τῶν ἡμετέρων δικάζειν· διὰ γὰρ αὐτῶν ὁ διάβολος ἐπιτηδεύει τοῖς δούλοις τοῦ θεοῦ, καὶ ὄνειδος ἐπεγείρει ὡς μὴ ἐχόντων ἡμῶν ἕνα σοφὸν τὸν δυνάμενον μεταξὺ βραβεῦσαι τὸ δίκαιον ἢ τὰς ἀντιλογίας διαλῦσαι.

XLVI. Μὴ οὖν γινωσκέτωσαν τὰ ἔθνη τὰς πρὸς ἀλλήλους ὑμῶν διαφοράς, μήτε καθ' ἑαυτῶν μαρτυρίαν παραδέχεσθε τοὺς ἀπίστους, μήτε κρίνεσθε ἐπ' αὐτῶν, μήτε ὀφείλετέ τι τούτοις πρὸς συντέλειαν ἢ φόρον, ἀλλὰ «ἀπόδοτε τὰ καίσαρος καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ[2]», οἷον φόρον ἢ κῆνσον ἢ δίδραχμον, ὡς καὶ ὁ κύριος ἡμῶν δοὺς τὸν στατῆρα ἀπηλλάγη πραγμάτων.[3] 2. αἱροῦ οὖν μᾶλλον βλάπτεσθαι καὶ τὰ πρὸς εἰρήνην σπουδάζειν, οὐ μόνον πρὸς τοὺς ἀδελφούς, ἀλλὰ καὶ πρὸς τοὺς ἀπίστους· βλαβεὶς γὰρ τῶν βιωτικῶν τι τὰ πρὸς θεὸν οὐ ζημιωθήσῃ, ἅτε θεοσεβὴς ὑπάρχων καὶ κατ' ἐντολὴν Χριστοῦ ζῶν. 3. εἰ δὲ ἀδελφοὶ εἰς ἀλλήλους ἔχουσιν, ὃ μὴ γένοιτο, αὐτόθεν νοεῖν ὀφείλετε οἱ προηγούμενοι, ὅτι οἱ τοιοῦτοι οὐκ ἀδελφῶν ἐν κυρίῳ ἔργον ἐπιτελοῦσιν, ἀλλὰ μᾶλλον ἐχθρῶν πολεμίων. 4. καὶ εἷς μὲν αὐτῶν εὑρεθήσεται ἤπιος, ἐπιεικής, «φωτὸς τέκνον[4]», ἕτερος δὲ ἀνήμερος, αὐθάδης, πλεονέκτης· ὁ οὖν καταγινωσκόμενος ἐπιτιμάσθω, ἀφοριζέσθω, δίκην τῆς μισαδελφίας τιννύτω, εἶτα μεταμελόμενος προσλαμβανέσθω· καὶ οὕτω σωφρονιζόμενοι, ἐπικουφίσουσιν ὑμῖν τὰ κριτήρια. 5. χρὴ δὲ συγχωρεῖν τὰ εἰς ἀλλήλους ἀδικήματα, οὐ τοὺς κρίνοντας, ἀλλὰ τοὺς ἔχοντας εἰς ἑαυτούς, καθὼς ὁ κύριος ἀπεφήνατο ἐμοῦ Πέτρου ἐρωτήσαντος αὐτόν· «Ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις;» καὶ εἰπόντος· «Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά.[5]» 6. οὕτως γὰρ θέλει ὁ κύριος ἀληθῶς εἶναι αὐτοῦ μαθητὰς καὶ μηδὲν ἔχειν κατὰ μηδενὸς πώποτε, οἷον ὀργὴν ἄμετρον ἢ θυμὸν ἀνήμερον ἢ ἐπιθυμίαν ἄδικον ἢ μῖσος ἄσπονδον. 7. τοὺς οὖν ὀργιζομένους συμβιβάζετε εἰς φιλίαν, τοὺς ἐχθραίνοντας εἰς ὁμόνοιαν, ὅτι λέγει κύριος· «Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται.[6]»

XLVII. Τὰ δικαστήρια ὑμῶν γινέσθω δευτέρᾳ σαββάτων, ὅπως, ἐὰν ἀντιλογία τῇ ἀποφάσει ὑμῶν γένηται, ἕως σαββάτου ἔχοντες ἄδειαν δυνηθείητε εὐθῦναι τὴν ἀντιλογίαν καὶ εἰρηνεῦσαι εἰς τὴν κυριακὴν τοὺς διαφερομένους πρὸς ἀλλήλους. συμπαρέστωσαν δὲ τῷ δικαστηρίῳ καὶ οἱ διάκονοι καὶ οἱ πρεσβύτεροι, ἀπροσωπολήπτως κρίνοντες ὡς «θεοῦ ἄνθρωποι[7]» μετὰ δικαιοσύνης. 2. παραγενομένων

---

1. Πρβλ. Α' Κορ. 6, 1 ἑξ. 2. Ματθ. 22, 21. 3. Ματθ. 17, 27. 4. Ἰω. 12, 36. 5. Ματθ. 18, 21-22. 6. Ματθ. 5, 9. 7. Α' Τιμ. 6, 11.

οὖν ἑκατέρων τῶν προσώπων, καθὼς καὶ ὁ Νόμος λέγει· «Στήσονται ἑκάτεροι ἐν μέσῳ τῷ κριτηρίῳ, οἷς ἔστιν ἡ ἀντιλογία·[1]» καὶ ἀκούσαντες αὐτῶν, ὁσίως ἀνενέγκατε τὰς ψήφους, σπουδάζοντες φίλους αὐτοὺς ἀμφοτέρους ποιῆσαι πρὶν ἀποφάσεως τῆς τοῦ ἐπισκόπου, ὅπως μὴ ἐξέλθοι ἐπὶ γῆς κρίσις κατὰ τοῦ ἁμαρτήσαντος, καθότι καὶ ἐν τῷ δικαστηρίῳ σύμψηφον ἔχει καὶ συνίστορα τῆς δίκης τὸν Χριστὸν τοῦ θεοῦ. 3. εἰ δέ τινες ἐν βλασφημίαις τοῦ μὴ καλῶς ὁδεύειν ἐν κυρίῳ ἐλέγχοιντο ὑπό τινος, ὁμοίως ἀκούσαντες ἑκατέρων τῶν προσώπων, τοῦ τε κατηγοροῦντος καὶ τοῦ κατηγορουμένου, ἀλλὰ μὴ προλήψει μηδὲ μονομερῶς, ἀλλὰ μετὰ δικαιοσύνης, ὡς ὑπὲρ ζωῆς αἰωνίου ἢ θανάτου διδόντες ἀπόφασιν· «Δικαίως» γάρ, φησὶν ὁ θεός, «διώξει τὸ δίκαιον·[2]» ὁ γὰρ δικαίως τιμωρηθεὶς καὶ ἀφορισθεὶς παρ' ὑμῶν αἰωνίου ζωῆς καὶ δόξης ἀπόβλητος γέγονεν καὶ παρὰ ἀνθρώποις ὁσίοις ἄτιμος καὶ παρὰ θεῷ κατάδικος.

XLVIII. Μὴ πάσης δὲ ἁμαρτίας τὴν αὐτὴν ποιεῖσθε ἀπόφασιν, ἀλλ' ἑκάστης ἰδίαν, μετὰ πολλῆς φρονήσεως κρίνοντες ἕκαστα τῶν πλημμελουμένων, τά τε σμικρὰ καὶ τὰ μεγάλα, καὶ ἄλλως ἔργου, καὶ λόγου πάλιν ἑτέρως, καὶ προθέσεως ἢ λοιδορίας ἢ ὑπολήψεως διαφόρως· καὶ τοὺς μὲν ὑποβαλεῖς μόναις ἀπειλαῖς, τοὺς δὲ πενήτων χορηγίαις, ἄλλους δὲ νηστείαις στιβώσεις, καὶ ἑτέρους ἀφορίσεις ἕκαστον πρὸς τὸ μέγεθος τοῦ ἐγκλήματος αὐτοῦ. 2. καὶ γὰρ καὶ ὁ νόμος οὐ παντὸς ἁμαρτήματος τὴν αὐτὴν ἐποιεῖτο τιμωρίαν, ἀλλὰ ἄλλως μὲν τὰ εἰς θεὸν καὶ εἰς ἱερέα καὶ εἰς ἱερὸν καὶ εἰς ἱερεῖον, ἑτέρως δὲ τὰ εἰς βασιλέα καὶ ἄρχοντα καὶ στρατιώτην καὶ ὑπήκοον, ὁμότιμον ἢ οἰκέτην, ἢ εἰς κτῆμα ἢ εἰς ἄλογον, καὶ πάλιν παρηλλαγμένως τὰ εἰς γονεῖς καὶ συγγενεῖς, ἄλλως τὰ ἐξ ἐφόδου, καὶ τὰ ἀκουσίως ἑτέρως· καὶ τοῖς μὲν θάνατον ἢ διὰ σταυροῦ ἢ τὸν διὰ λίθων, τοῖς δὲ ζημίαν ἢ μάστιγας ἢ τὸ τὰ ὅμοια παθεῖν οἷς ἔδρασαν. 3. οὐκοῦν καὶ ὑμεῖς τῶν διαφόρων ἁμαρτημάτων διαφόρους ποιεῖσθε καὶ τὰς τιμωρίας, ἵνα μή τις ἀδικία παρεμπεσοῦσα κινήσῃ τὸν θεὸν πρὸς ἀγανάκτησιν· ἧς γὰρ ἂν ἀδίκου κρίσεως μεσῖται γένησθε, ταύτης καὶ τὸν ἀπὸ θεοῦ λήψεσθε μισθόν· «ᾧ» γὰρ «κρίματι κρίνετε, κριθήσεσθε.[3]»

XLIX. Καθίσαντες οὖν ἐπὶ τὸ κριτήριον, παρόντων ἑκατέρων τῶν προσώπων, οὐ γὰρ ἐροῦμεν ἀδελφῶν, μέχρις οὗ ἑαυτοὺς ἐν εἰρήνῃ ἀπολάβωσιν, ἐρευνᾶτε ἀκριβῶς περὶ τῶν ἐνεχομένων· καὶ πρῶτον περὶ τοῦ κατηγοροῦντος, εἰ πρώτου τούτου κατηγορεῖ ἢ καὶ ἑτέροις τισὶν ἐγκλήματα κατενήνοχεν, καὶ εἰ μὴ ἐκ μέμψεως αὐτῶν ἢ φιλονεικίας καὶ τὸ ἔγκλημα ὑπόκειται, καὶ ὁποία τις ἡ ἀναστροφὴ αὐτοῦ ὑπάρχει. 2. καὶ τοιοῦτος δὲ ὢν εὐσυνείδητος, μὴ πιστευέσθω μόνος, παράνομον γὰρ τὸ τοιοῦτον, ἀλλ' ἐχέτω καὶ ἑτέρους

1. Δευτ. 19, 17. 2. Δευτ. 16, 20. 3. Ματθ. 7, 2.

μάρτυρας ὁμοίους αὐτῷ τὸν τρόπον, καθὼς ὁ Νόμος λέγει· «'Επὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα.[1]» 3. διατί δὲ εἴπομεν τὸν τρόπον αὐτῶν ἐπιζητεῖσθαι ὁποῖός τις τυγχάνει; ἐπειδὴ πολλάκις ἐγχωρεῖ καὶ τοὺς δύο καὶ τοὺς πλείονας ἐπὶ κακῷ μαρτυρῆσαι καὶ συμφώνως προστῆναι τοῦ ψεύδους, ὡς τοὺς δύο πρεσβυτέρους κατὰ Σωσάννης ἐν Βαβυλῶνι[2], καὶ τοὺς υἱοὺς τῶν παρανόμων κατὰ τοῦ Ναβουθὲ ἐν Σαμαρείᾳ[3], καὶ τὸ πλῆθος τῶν 'Ιουδαίων κατὰ τοῦ κυρίου ἐν 'Ιερουσαλὴμ καὶ κατὰ Στεφάνου τοῦ πρωτομάρτυρος αὐτοῦ.[4] 4. ἔστωσαν οὖν οἱ μάρτυρες πραεῖς, ἀόργητοι, ἐπιεικεῖς, ἀγαπητικοί, σώφρονες, ἐγκρατεῖς, ἀπόνηροι, πιστοί, θεοσεβεῖς· ἡ γὰρ τῶν τοιούτων μαρτυρία καὶ διὰ τοῦ τρόπου αὐτῶν βεβαία καὶ διὰ τῆς ἀναστροφῆς αὐτῶν ἀληθὴς ὑπάρχει. 5. τῶν δὲ μὴ τοιούτων μὴ παραδέχεσθε τὴν μαρτυρίαν, κἂν συμφωνεῖν δοκῶσιν ἐπὶ τῇ καταμαρτυρίᾳ· προστέτακται γὰρ ἐν τοῖς Νόμοις· «Οὐκ ἔσῃ μετὰ πολλῶν ἐπὶ κακίᾳ, οὐ παραδέξῃ ἀκοὴν ματαίαν, οὐ συγκαταθήσῃ μετὰ πλήθους ἐκκλῖναι τὸ δίκαιον.[5]»

L. 'Εν μέρει δὲ καὶ τὸν κρινόμενον εἰδέναι ὀφείλετε, ὁποῖός ἐστιν τῇ τοῦ βίου συνηθείᾳ καὶ ἀναστροφῇ· εἰ μεμαρτυρημένος τὸν βίον, εἰ ἀνέγκλητος, εἰ ὁσιότητα ἐζηλωκώς, εἰ φιλόχηρος καὶ φιλόξενος καὶ φιλόπτωχος καὶ φιλάδελφος, εἰ μὴ αἰσχροκερδὴς καὶ μὴ βρώτης καὶ χρηματολαίλαψ, εἰ σώφρων καὶ μὴ ἄσωτος ἢ μέθυσος ἢ ἀργοφάγος, εἰ εὔσπλαγχνος καὶ εὐμετάδοτος. 2. εἰ γὰρ αὐτῷ προϋπόκειται ἔργα φαῦλα, ἤδη ἐκ μέρους ἀληθεῖς ἂν εἶεν καὶ αἱ νῦν αὐτῷ ἐπιφερόμεναι κατηγορίαι, εἰ μὴ ἂν αὐτῷ τὸ δίκαιον ἔχει συναγωνιζόμενον· ἐγχωρεῖ γὰρ αὐτὸν ἡμαρτηκέναι μέν ποτε, τούτου δὲ τοῦ ἐγκλήματος ἀθῷον ὑπάρχειν. 3. διὸ ἀκριβῶς περὶ τὰ τοιαῦτα νήφοντες, ἀσφαλεῖς καὶ βεβαίας ποιεῖσθε τὰς ἀποφάσεις κατὰ τοῦ ἐλεγχθέντος· καὶ ἐὰν μετὰ τὸν ἀφορισμὸν συγγνώμην αἰτῇ καὶ προσπέσῃ τῷ ἐπισκόπῳ καὶ ἡμαρτηκέναι ὁμολογῇ, προσδέξασθε αὐτόν. 4. μήτε δὲ τὸν συκοφάντην ἀτιμώρητον ἐάσητε, ἵνα μὴ καὶ ἕτερόν τινα καλῶς βιοῦντα βλασφημήσῃ ἢ ἕτερον προτρέψηται τὰ ὅμοια αὐτῷ δρᾶσαι, μήτε μὴν τὸν ἐλεγχθέντα ἀνύβριστον, ὅπως μὴ καὶ ἕτερος τοῖς αὐτοῖς ἐνσχεθῇ. οὔτε γὰρ μάρτυς κακῶν ἀτιμώρητος ἔσται, οὔθ' ὁ πλημμελῶν δίκης ἐκτός.

LI. Εἴπομεν δέ, ὅτι κρίσεις οὐ δίκαιον μονομερεῖς ποιεῖσθαι. ἐὰν γὰρ τοῦ ἑνὸς προσώπου ἀκούσητε, μὴ παρόντος τοῦ ἑτέρου μηδὲ ἀπολογησαμένου πρὸς τὸ ἐπιφερόμενον ἔγκλημα, καὶ προπετῶς ἐξενέγκητε ψῆφον κατακρίσεως, ἔνοχοι τῆς ἀναιρέσεως καὶ συμμερισταὶ τῷ συκοφάντῃ παρὰ θεῷ εὑρεθήσεσθε τῷ δικαίῳ κριτῇ· «ὡς» γὰρ «ὁ κρατῶν κέρκου κυνός, οὕτως ὁ προεστὼς ἀλλοτρίας κρίσεως.[6]»

1. Δευτ. 19, 15. 2. Πρβλ. Δαν. 13, 1 ἑξ. 3. Πρβλ. Γ' Βασ. 20, 1 ἑξ. 4. Πρβλ. Ματθ. 26, 1 ἑξ. Πράξ. 6, 1 ἑξ. 5. Ἔξ. 23, 1-2. 6. Παρμ. 26, 17.

2. ἐὰν δὲ μιμηταὶ γένησθε τῶν ἐν Βαβυλῶνι πρεσβυτέρων, οἵτινες καταμαρτυρήσαντες τῆς Σωσάννης ἀδίκως κατεδίκασαν αὐτὴν εἰς θάνατον, ἔνοχοι τῆς ἐκείνων κρίσεως καὶ καταδίκης γενήσεσθε, ὅτι τὴν μὲν Σωσάνναν ὁ κύριος διὰ τοῦ Δανιὴλ ἐρρύσατο ἐκ χειρὸς παρανόμων, τοὺς δὲ ἐνόχους τοῦ αἵματος αὐτῆς πρεσβυτέρους ἐν πυρὶ κατεδίκασεν, ὑμᾶς δὲ δι' αὐτοῦ ὠνείδισεν λέγων· «Οὕτως μωροὶ οἱ υἱοὶ Ἰσραήλ; οὐκ ἀνακρίναντες οὐδὲ τὸ ἀληθὲς ἐπιγνόντες κατεκρίνατε θυγατέρα Ἰσραήλ; ἀναστρέψατε οὖν εἰς τὸ κριτήριον· ψευδῆ γὰρ οὗτοι κατεμαρτύρησαν αὐτῆς.[1]»

LII. Θεάσασθε δὲ καὶ τὰ κοσμικὰ δικαστήρια, ὧν τῇ ἐξουσίᾳ ὁρῶμεν ἀγομένους φονεῖς, μοιχούς, φαρμακούς, τυμβωρύχους, λῃστάς· καὶ τὰς ἀνακρίσεις αὐτῶν λαβόντες οἱ ἡγούμενοι ὑπὸ τῶν προσαγόντων λέγουσιν τῷ κακούργῳ, εἰ ταῦτα οὕτως ἔχει· κἀκείνου συγκαταθεμένου οὐκ εὐθέως ἐπὶ τὴν κόλασιν αὐτὸν ἐκπέμπουσιν, ἀλλὰ πλείοσιν ἡμέραις ποιοῦνται αὐτοῦ τὴν ἐξέτασιν μετὰ συμβουλίου πολλοῦ καὶ παραπετάσματος μέσου· τελευταῖον ὅρον καὶ ψῆφον θανάτου ὁ μέλλων ἐκφέρειν κατ' αὐτοῦ, πρὸς τὸν ἥλιον ἐπάρας τὰς χεῖρας, διαμαρτύρεται ἀθῶος ὑπάρχειν τοῦ αἵματος τοῦ ἀνθρώπου, καίτοι ὄντες ἐθνικοὶ καὶ οὐ γινώσκοντες θειότητα ἢ τὴν εἰς αὐτοὺς ἀπὸ θεοῦ ἄμυναν ὑπὲρ τῶν ἀναιτίως κατακριθέντων. 2. ὑμεῖς δέ, γινώσκοντες, τίς ὁ θεὸς ἡμῶν καὶ ὁποῖα τὰ κρίματα αὐτοῦ, πῶς ἂν κατὰ ἐπήρειαν δυνήσεσθέ τινι ἀπόφασιν δοῦναι, τῆς κρίσεως ὑμῶν παραχρῆμα γινωσκομένης θεῷ; 3. καὶ εἰ μὲν δικαίως ἐκρίνατε, δικαίων ἀμοιβῶν καταξιωθήσεσθε καὶ νῦν καὶ εἰς αὖθις· εἰ δὲ ἀδίκως, πάλιν τῶν ὁμοίων τεύξεσθε. ἡμεῖς μὲν οὖν, ἀδελφοί, συμβουλεύομεν ὑμῖν μᾶλλον ἐπαίνων ἀξιοῦσθαι παρὰ θεῷ ἢ ψόγων, ὅτι θεοῦ ἔπαινος ζωὴ αἰώνιος ἀνθρώποις, ὥσπερ οὖν καὶ ὁ ψόγος θάνατος ἀΐδιος.

LIII. Διὸ γίνεσθε δίκαιοι κριταί, εἰρηνοποιοί, ἀόργητοι· «ὁ ὀργιζόμενος» γὰρ «τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ ἔνοχος ἔσται τῇ κρίσει.[2]» 2. εἰ δὲ καὶ συμβῇ ἐξ ἐνεργείας τινὸς ὀργισθῆναι ὑμᾶς κατά τινος, «ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῇ ὀργῇ ὑμῶν.[3] ὀργίζεσθε» γάρ, φησὶν ὁ Δαυίδ, «καὶ μὴ ἁμαρτάνετε[4]», τοῦτ' ἔστιν ταχέως διαλλάσσεσθε, ὅπως μὴ ἡ ἐπίμονος ὀργὴ μνησικακία γένηται καὶ ἁμαρτίαν ἀπεργάσηται· «Ψυχαὶ» γὰρ «μνησικάκων εἰς θάνατον[5]», φησὶν ὁ Σολομών. 3. λέγει δὲ καὶ ὁ κύριος ἡμῶν καὶ σωτὴρ Ἰησοῦς ὁ Χριστὸς ἐν Εὐαγγελίοις· «Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον καὶ ἐκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου.[6]» 4. δῶρον δέ ἐστιν θεῷ ἡ ἑκάστου προσευχὴ καὶ εὐχαριστία· ἐὰν οὖν ἔχῃς τι κατὰ

1. Δαν. 13, 48-49. 2. Ματθ. 5, 22. 3. Ἐφ. 4, 6. 4. Ψαλμ. 4, 5. 5. Παρμ. 12, 28. 6. Ματθ. 5, 23-24.

τοῦ ἀδελφοῦ σου ἢ αὐτὸς ἔχῃ τι κατὰ σοῦ, οὔτε αἱ προσευχαί σου εἰσακουσθήσονται οὔτε αἱ εὐχαριστίαι σου προσδεχθήσονται διὰ τὴν ὑποκειμένην ὀργήν. 5. χρὴ δὲ συνεχῶς προσεύχεσθαι ὑμᾶς, ἀδελφοί· ἀλλ' ἐπειδὴ τῶν ἐν ὀργαῖς ἀδίκως ἐχθραινόντων ἀδελφοῖς ὁ θεὸς οὐκ ἐπακούει, καὶ ἐὰν τρὶς τῆς ὥρας προσεύξωνται, χρὴ διαλύειν πᾶσαν ἔχθραν καὶ μικροψυχίαν, ἵνα δυνώμεθα προσεύχεσθαι καθαρᾷ τῇ καρδίᾳ καὶ ἀρύπῳ. 6. καίτοιγε καὶ ἐχθροὺς ὁ κύριος ἀγαπᾶν προσέταξεν, οὐχὶ δὲ καὶ τοὺς φίλους μισεῖν, καὶ ὁ νομοθέτης φησίν· «Οὐ μισήσεις πάντα ἄνθρωπον, οὐ μισήσεις τὸν ἀδελφόν σου τῇ διανοίᾳ σου, ἐλεγμῷ ἐλέγξεις τὸν ἀδελφόν σου καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν· οὐ μισήσεις Αἰγύπτιον, ὅτι πάροικος ἦσθα παρ' αὐτῷ· οὐ μισήσεις Ἰδουμαῖον, ὅτι ἀδελφός σου ἐστίν [1]», καὶ ὁ Δαυὶδ λέγει· «Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά.[2]» 7. ὅθεν εἰ Χριστιανὸς εἶναι θέλεις, ἐξακολούθει τῷ τοῦ κυρίου Νόμῳ· «Λύε πάντα σύνδεσμον ἀδικίας· [3]» ἐπὶ σοὶ γὰρ ὁ σωτὴρ ἐξουσίαν ἔθετο «ἀφιέναι ἁμαρτίας τῷ ἀδελφῷ τὰς εἰς σὲ γενομένας ἕως ἑβδομηκοντάκις ἑπτά [4]», τοῦτ' ἔστιν τετρακοσίας ἐνενήκοντα. 8. ποσάκις οὖν ἤδη ἀφῆκας τῷ ἀδελφῷ σου, ἵνα μὴ θελήσῃς αὐτῷ ἀφιέναι καὶ νῦν; καίτοι ἀκούσας τοῦ Ἱερεμίου λέγοντος, ὅτι «ἕκαστος τὴν κακίαν τοῦ πλησίον αὐτοῦ μὴ λογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν.[5]» σὺ δὲ μνησικακεῖς καὶ συντηρεῖς ἔχθραν καὶ ἐπὶ κρίσιν ἔρχῃ καὶ μῆνιν ὑφορᾷς καὶ ἡ προσευχή σου ἐμποδίζεται. 9. ἀλλ' εἰ καὶ τὰ τετρακόσια ἐνενήκοντα συνεχώρησας ἀφεὶς τῷ ἀδελφῷ σου, πλεόνασον τὴν ἀοργησίαν ἐπὶ πλεῖον εἰς ἀγαθωσύνην δι' ἑαυτόν· κἂν ἐκεῖνος μὴ ποιῇ, ἀλλά γε σὺ διὰ τὸν θεὸν σπούδαζε ἀφιέναι τῷ πλησίον, «ὅπως γένῃ υἱὸς τοῦ πατρός σου τοῦ ἐν οὐρανοῖς [6]» καὶ προσευχόμενος ὑπακούῃ ὡς φίλος θεοῦ.

LIV. Διὰ τοῦτο, ὦ ἐπίσκοποι, μελλόντων ὑμῶν εἰς προσευχὴν ἀπαντᾶν μετὰ τὴν ἀνάγνωσιν καὶ τὴν ψαλμῳδίαν καὶ τὴν ἐπὶ ταῖς γραφαῖς διδασκαλίαν, ὁ διάκονος ἑστὼς πλησίον ὑμῶν μετὰ ὑψηλῆς φωνῆς λεγέτω· Μή τις κατά τινος, μή τις ἐν ὑποκρίσει, ἵνα, ἐὰν εὑρεθῇ ἐν τισὶν ἀντιλογία, συνειδήσει κρουσθέντες δεηθῶσιν τοῦ θεοῦ καὶ διαλλαγῶσιν τοῖς ἀδελφοῖς. 2. εἰ γὰρ τοὺς ἐν οἰκίᾳ τινὸς εἰσερχομένους πρὸ πάντων δεῖ λέγειν· «Εἰρήνη τῷ οἴκῳ τούτῳ [7]», ὡς υἱοὺς εἰρήνης εἰρήνην χαριζομένους τοῖς ἀξίοις, καθὼς γέγραπται· «Τοῖς ἐγγὺς καὶ τοῖς μακράν, οὓς ἔγνω κύριος ὄντας αὐτοῦ [8]», πολὺ μᾶλλον τοὺς ἐν ἐκκλησίᾳ θεοῦ εἰσερχομένους χρὴ πρὸ πάντων ἐπεύχεσθαι τῷ λαῷ τὴν τοῦ θεοῦ εἰρήνην. 3. εἰ δὲ ἄλλοις ταύτην ἐπεύχεται, πολὺ μᾶλλον αὐτὸς αὐτῆς ἐντὸς ὑπαρχέτω ὡς «τέκνον φωτός· [9]» ὁ γὰρ μὴ ἔχων αὐτὴν ἐν ἑαυτῷ οὐκ ἔστιν ἀξιόπιστος ἄλλοις αὐτὴν

---

1. Λευϊτ. 19, 17. Δευτ. 23, 7. 2. Ψαλμ. 7, 5. 3. Ἠσ. 58, 6. 4. Ματθ. 18, 22. 5. Ζαχ. 8, 17. 6. Ματθ. 5, 45. 7. Λουκ. 10, 5. 8. Ἐφ. 2, 17. Β' Τιμ. 2, 19. 9. Ἰω. 12. 36.

χαρίζεσθαι. 4. διὸ πρὸ πάντων χρὴ εἰς ἑαυτὸν εἰρηνεύειν αὐτόν· ὁ γὰρ πρὸς ἑαυτὸν μὴ στασιάζων οὐδ' ἂν πρὸς ἄλλον διαμαχεσθήσεται, ἀλλ' ἔσται εἰρηνικός, φιλικός, συνάγων τὰ τοῦ κυρίου καὶ συνεργὸς αὐτοῦ γινόμενος πρὸς τὸ πλεονάσαι αὐτῷ τοὺς σωζομένους ἐν ὁμονοίᾳ. 5. οἱ γὰρ ἐπινοοῦντες ἔχθρας καὶ μάχας, ἀντιλογίας καὶ κρίσεις πονηροὶ καὶ τοῦ θεοῦ ἀλλότριοι τυγχάνουσιν.

LV. Ὁ γὰρ θεός, θεὸς ὢν ἐλέους, ἀπ' ἀρχῆς ἑκάστην γενεὰν ἐπὶ μετάνοιαν καλεῖ διὰ τῶν δικαίων καὶ τῶν προφητῶν· καὶ τοὺς μὲν πρὸ τοῦ κατακλυσμοῦ διὰ τοῦ Ἄβελ καὶ Σὴμ καὶ Σήθ, ἔτι δὲ Ἐνὼς καὶ τοῦ μετατεθέντος Ἐνὼχ ἐσωφρόνιζεν, τοὺς δὲ ἐν τῷ κατακλυσμῷ διὰ τοῦ Νῶε, τοὺς ἐν Σοδόμοις διὰ τοῦ φιλοξένου Λώτ, τοὺς μετὰ τὸν κατακλυσμὸν διὰ Μελχισεδὲκ καὶ τῶν πατριαρχῶν καὶ τοῦ θεοφιλοῦς Ἰώβ, τοὺς ἐν Αἰγύπτῳ διὰ Μωσέως, τοὺς Ἰσραηλίτας δι' αὐτοῦ καὶ Ἰησοῦ καὶ Χαλὲβ καὶ Φινεὲς καὶ τῶν λοιπῶν, τοὺς μετὰ τὸν νόμον δι' ἀγγέλων καὶ προφητῶν, τοὺς αὐτοὺς διὰ τῆς ἰδίας ἐνανθρωπήσεως τῆς ἐκ παρθένου γενομένης, τοὺς πρὸ μικροῦ τῆς ἀναδείξεως αὐτοῦ τῆς σωματικῆς διὰ Ἰωάννου τοῦ προδρόμου, τοὺς δ' αὐτοὺς διὰ τοῦ αὐτοῦ καὶ μετὰ τὴν γένεσιν αὐτοῦ λέγων· «Μετανοεῖτε, ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν·[1]» τοὺς μετὰ τὸ πάθος αὐτοῦ δι' ἡμῶν τῶν δώδεκα καὶ τοῦ τῆς «ἐκλογῆς σκεύους[2]» Παύλου. 2. ἡμεῖς οὖν οἱ καταξιωθέντες εἶναι μάρτυρες τῆς παρουσίας αὐτοῦ σὺν Ἰακώβῳ τῷ τοῦ κυρίου ἀδελφῷ καὶ ἑτέροις ἑβδομήκοντα δύο μαθηταῖς καὶ τοῖς ἑπτὰ διακόνοις αὐτοῦ ἐκ στόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠκούσαμεν καὶ ἀκριβῶς εἰδότες λέγομεν, «τί ἐστιν τὸ θέλημα τοῦ θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον[3]» τὸ διὰ Ἰησοῦ γνωρισθὲν ἡμῖν, «ἵνα μηδεὶς ἀπόληται, ἀλλὰ πάντες ἄνθρωποι» συμφώνως «πιστεύσαντες» αὐτῷ αἶνον σύμφωνον ἀναπέμψαντες αὐτῷ «ζήσωσιν» αἰωνίως.[4]

LVI. Τοῦτο γάρ ἐστιν, ὃ ἐδίδαξεν ἡμᾶς ὁ κύριος προσευχομένους λέγειν τῷ πατρὶ αὐτοῦ· «Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς[5]», ὅπως, ὡς αἱ ἐπουράνιοι φύσεις τῶν ἀσωμάτων δυνάμεων πᾶσαι δοξάζουσιν τὸν θεὸν συμφώνως, οὕτως καὶ ἐπὶ γῆς πάντες οἱ ἄνθρωποι ἐν ἑνὶ στόματι καὶ μιᾷ διαθέσει δοξάζωσιν τὸν μόνον θεὸν τὸν ἕνα καὶ ἀληθινὸν διὰ τοῦ μονογενοῦς Χριστοῦ. 2. θέλημα οὖν αὐτοῦ ἐστιν αἰνεῖν αὐτὸν ὁμοφρόνως καὶ προσκυνεῖν αὐτὸν συμφώνως. τοῦτο γὰρ αὐτοῦ ἐστι θέλημα ἐν Χριστῷ, πολλοὺς εἶναι τοὺς σωζομένους ἐν αὐτῷ, ἀλλὰ μὴ ζημιοῦν αὐτὸν μηδὲ ἐλαττονεῖν ὑμᾶς τὴν ἐκκλησίαν ἢ συστέλλειν τὸν ἀριθμὸν διὰ μιᾶς ψυχῆς ἀνθρώπου ὑφ' ὑμῶν ἀναιρεθείσης, ἥτις ἠδύνατο σωθῆναι διὰ μετανοίας, ἀπώλετο δὲ οὐ μόνον ἐξ ἰδίας ὀργῆς, ἀλλ' ἤδη καὶ ἐξ ὑμετέρας ἐπιβουλῆς,

1. Ματθ. 4, 17. 2. Πράξ. 9, 15. 3. Ῥωμ. 12, 2. 4. Πρβλ. Ἰω. 3, 16. 5. Ματθ. 6, 10.

καὶ ἐπληρώσατε τὸ γεγραμμένον· «Ὁ μὴ συνάγων μετ' ἐμοῦ σκορπίζει.[1]» 3. τοιοῦτος δέ, ὢν σκορπιστής, προβάτων ἀντίδικος, θεοῦ ἐχθρός, τῶν ἀρνίων φθορεύς, ὧν ὁ κύριος ποιμὴν ὑπῆρξεν καὶ ἡμεῖς συναγωγοὶ ἐκ διαφόρων ἐθνῶν καὶ γλωσσῶν «ἐν πολλῷ μόχθῳ καὶ κινδύνῳ καὶ κόπῳ διηνεκεῖ, ἀγρυπνίαις, ἀσιτίαις χαμευνίαις, διωγμοῖς, πληγαῖς, φυλακαῖς[2]», ἵνα τὸ θέλημα τοῦ θεοῦ ποιήσαντες «πληρώσωμεν τὸν τρίκλινον τῶν ἀνακειμένων[3]», τοῦτ' ἔστιν τὴν ἱερὰν καὶ καθολικὴν ἐκκλησίαν εὐφραινομένων τῶν κλητῶν καὶ ἀγαλλιωμένων, ὑμνούντων καὶ δοξαζόντων τὸν καλέσαντα αὐτοὺς δι' ἡμῶν εἰς ζωὴν θεόν· ὑμεῖς ὅσον τὸ ἐφ' ὑμῖν διεσκορπίσατε. 4. καὶ ὑμεῖς δέ, οἱ λαϊκοί, εἰρηνεύετε πρὸς ἀλλήλους, σπουδάζοντες ὡς φρόνιμοι τὴν ἐκκλησίαν αὔξειν καὶ τὰ νομιζόμενα ἄγρια ἐπιστρέφειν εἰς αὐτὴν καὶ ἐξημεροῦν καὶ ἀποκαθιστᾶν. καὶ τοῦτό ἐστιν ὁ μέγιστος ἐξ ἐπαγγελίας μισθὸς παρὰ θεοῦ· «Ἐὰν ἐξαγάγῃς ἐξ ἀναξίου τίμιον, ὡς στόμα μου ἔσῃ.[4]»

LVII. Σὺ δέ, ὁ ἐπίσκοπος, ἔσο ἅγιος, ἄμωμος, μὴ πλήκτης, μὴ ὀργίλος, μὴ ἀπηνής, ἀλλ' οἰκοδόμος, ἐπιστροφεύς, διδακτικός, ἀνεξίκακος, ἠπιόθυμος, πρᾶος, μακρόθυμος, παραινετικός, παρακλητικὸς ὡς «θεοῦ ἄνθρωπος.[5]» 2. ὅταν δὲ συναθροίζῃς τὴν τοῦ θεοῦ ἐκκλησίαν, ὡς ἂν κυβερνήτης νηὸς μεγάλης μετ' ἐπιστήμης πάσης κέλευε ποιεῖσθαι τὰς συνόδους, παραγγέλλων τοῖς διακόνοις ὡσανεὶ ναύταις τοὺς τόπους ἐκτάσσειν τοῖς ἀδελφοῖς καθάπερ ἐπιβάταις μετὰ πάσης ἐπιμελείας καὶ σεμνότητος. 3. καὶ πρῶτον μὲν ὁ οἶκος ἔστω ἐπιμήκης, κατὰ ἀνατολὰς τετραμμένος, ἐξ ἑκατέρων τῶν μερῶν ἔχων τὰ παστοφόρια πρὸς ἀνατολήν, ὅστις ἔοικεν νηΐ. 4. κείσθω δὲ μέσος ὁ τοῦ ἐπισκόπου θρόνος, παρ' ἑκάτερα δὲ αὐτοῦ καθεζέσθω τὸ πρεσβυτέριον, καὶ οἱ διάκονοι παριστάσθωσαν εὐσταλεῖς τῆς πλείονος ἐσθῆτος· ἐοίκασι γὰρ ναύταις καὶ τοιχάρχοις. προνοίᾳ δὲ τούτων εἰς τὸ ἕτερον μέρος οἱ λαϊκοὶ καθεζέσθωσαν μετὰ πάσης ἡσυχίας καὶ εὐταξίας, καὶ αἱ γυναῖκες κεχωρισμένως καὶ αὐταὶ καθεζέσθωσαν σιωπὴν ἄγουσαι. 5. μέσος δὲ ὁ ἀναγνώστης ἐφ' ὑψηλοῦ τινος ἑστὼς ἀναγινωσκέτω τὰ Μωσέως καὶ Ἰησοῦ τοῦ Ναυή, τὰ τῶν Κριτῶν καὶ τῶν Βασιλείων, τὰ τῶν Παραλειπομένων καὶ τὰ τῆς Ἐπανόδου, πρὸς τούτοις τὰ τοῦ Ἰὼβ καὶ τὰ Σολομῶνος καὶ τὰ τῶν Ἑξκαίδεκα προφητῶν. 6. ἀνὰ δύο δὲ γενομένων ἀναγνωσμάτων, ἕτερός τις τοὺς τοῦ Δαυὶδ ψαλλέτω ὕμνους, καὶ ὁ λαὸς τὰ ἀκροστίχια ὑποψαλλέτω. 7. μετὰ τοῦτο αἱ Πράξεις αἱ ἡμέτεραι ἀναγινωσκέσθωσαν καὶ αἱ ἐπιστολαὶ Παύλου τοῦ συνεργοῦ ἡμῶν, ἃς ἀπέστειλε ταῖς ἐκκλησίαις καθ' ὑφήγησιν τοῦ ἁγίου πνεύματος· καὶ μετὰ ταῦτα διάκονος ἢ πρεσβύτερος ἀναγινωσκέτω τὰ Εὐαγγέλια, ἃ ἐγὼ Ματθαῖος καὶ Ἰωάννης παρεδώκαμεν ὑμῖν καὶ οἱ συνεργοὶ Παύλου παρει-

---

1. Ματθ. 12, 30. 2. Β' Κορ. 11, 23, 27. 3. Πρβλ. Ματθ. 22, 10.
4. Ἱερ. 15, 19. 5. Α' Τιμ. 6, 11.

ληφότες κατέλειψαν ὑμῖν Λουκᾶς καὶ Μάρκος. 8. καὶ ὅταν ἀναγινωσκόμενον ᾖ τὸ Εὐαγγέλιον, πάντες οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι καὶ πᾶς ὁ λαὸς στηκέτωσαν μετὰ πολλῆς ἡσυχίας· γέγραπται γάρ· «Σιώπα καὶ ἄκουε Ἰσραήλ[1]», καὶ πάλιν· «Σὺ δὲ αὐτοῦ στῆθι καὶ ἀκούσῃ.[2]» 9. καὶ ἑξῆς παρακαλείτωσαν οἱ πρεσβύτεροι τὸν λαόν, ὁ καθεὶς αὐτῶν, ἀλλὰ μὴ ἅπαντες, καὶ τελευταῖος πάντων ὁ ἐπίσκοπος, ὅς ἔοικε κυβερνήτῃ. 10. στηκέτωσαν δὲ οἱ μὲν πυλωροὶ εἰς τὰς εἰσόδους τῶν ἀνδρῶν φυλάσσοντες αὐτάς, αἱ δὲ διάκονοι εἰς τὰς τῶν γυναικῶν, δίκην ναυστολόγων· καὶ γὰρ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ὁ αὐτὸς παρηκολούθει τύπος. 11. εἰ δέ τις εὑρεθῇ παρὰ τόπον καθεζόμενος, ἐπιπλησσέσθω ὑπὸ τοῦ διακόνου ὡς πρωρέως καὶ εἰς τὸν καθήκοντα αὐτῷ τόπον μεταγέσθω. 12. οὐ μόνον γὰρ νηΐ, ἀλλὰ καὶ μάνδρῃ ὡμοίωται ἡ ἐκκλησία. ὡς γὰρ οἱ ποιμένες ἕκαστον τῶν ἀλόγων, αἰγῶν φημι καὶ προβάτων, κατὰ συγγένειαν καὶ ἡλικίαν ἱστῶσιν, καὶ ἕκαστον αὐτῶν τὸ ὅμοιον τῷ ὁμοίῳ συντρέχει, οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ οἱ μὲν νεώτεροι ἰδίᾳ καθεζέσθωσαν, ἐὰν ᾖ τόπος, εἰ δὲ μή, στηκέτωσαν ὀρθοί· οἱ δὲ τῇ ἡλικίᾳ ἤδη προβεβηκότες καθεζέσθωσαν ἐν τάξει, τὰ δὲ παιδία ἑστῶτα προσλαμβανέσθωσαν αὐτῶν οἱ πατέρες καὶ αἱ μητέρες, αἱ δὲ νεώτεραι πάλιν ἰδίᾳ, ἐὰν ᾖ τόπος, εἰ δὲ μήγε, ὄπισθεν τῶν γυναικῶν ἱστάσθωσαν, αἱ δὲ ἤδη γεγαμηκυῖαι καὶ τὰ τέκνα ἔχουσαι ἰδίᾳ ἱστάσθωσαν, αἱ παρθένοι δὲ καὶ αἱ χῆραι καὶ αἱ πρεσβύτιδες πρῶται πασῶν στηκέτωσαν ἢ καθεζέσθωσαν. 13. ἔστω δὲ τῶν τόπων προνοῶν ὁ διάκονος, ἵν᾿ ἕκαστος τῶν εἰσερχομένων εἰς τὸν ἴδιον τόπον ὁρμᾷ καὶ μὴ παρὰ τὸ ἰντρόϊτον καθέζωνται. ὁμοίως ὁ διάκονος ἐπισκοπείτω τὸν λαόν, ὅπως μήτις ψιθυρίσῃ ἢ νυστάξῃ ἢ γελάσῃ ἢ νεύσῃ· χρὴ γὰρ ἐν ἐκκλησίᾳ ἐπιστημόνως καὶ νηφαλέως καὶ ἐγρηγορότως ἑστάναι, ἐκτεταμένην ἔχοντα τὴν ἀκοὴν εἰς τὸν τοῦ κυρίου λόγον. 14. καὶ μετὰ τοῦτο συμφώνως ἅπαντες ἐξαναστάντες καὶ ἐπ᾿ ἀνατολὰς κατανοήσαντες, μετὰ τὴν τῶν κατηχουμένων καὶ τὴν τῶν μετανοούντων ἔξοδον «προσευξάσθωσαν τῷ θεῷ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς[3]», ὑπομιμνησκόμενοι καὶ τῆς ἀρχαίας νομῆς τοῦ κατὰ ἀνατολὰς παραδείσου, ὅθεν ὁ πρῶτος ἄνθρωπος, ἀθετήσας τὴν ἐντολὴν ὄφεως συμβουλίᾳ πεισθείς, ἀπεβλήθη. 15. οἱ δὲ διάκονοι μετὰ τὴν προσευχὴν οἱ μὲν τῇ προσφορᾷ τῆς εὐχαριστίας σχολαζέτωσαν ὑπηρετούμενοι τῷ τοῦ κυρίου σώματι μετὰ φόβου, οἱ δὲ τοὺς ὄχλους διασκοπείτωσαν καὶ ἡσυχίαν αὐτοῖς ἐμποιείτωσαν. 16. λεγέτω δὲ ὁ παρεστὼς τῷ ἀρχιερεῖ διάκονος τῷ λαῷ· Μή τις κατά τινος, μή τις ἐν ὑποκρίσει. 17. εἶτα καὶ ἀσπαζέσθωσαν ἀλλήλους οἱ ἄνδρες καὶ ἀλλήλας αἱ γυναῖκες τὸ ἐν κυρίῳ φίλημα, ἀλλὰ μή τις δολίως, ὡς ὁ Ἰούδας τὸν κύριον φιλήματι παρέδωκεν. 18. καὶ μετὰ τοῦτο προσευχέσθω ὁ διάκονος ὑπὲρ

1. Δευτ. 27, 9 2. Δευτ. 5, 31. 3. Ψαλμ. 67, 34.

τῆς ἐκκλησίας πάσης καὶ παντὸς τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ μερῶν καὶ ἐκφορίων, ὑπὲρ τῶν ἱερέων καὶ τῶν ἀρχόντων, ὑπὲρ τοῦ ἀρχιερέως καὶ τοῦ βασιλέως καὶ τῆς καθόλου εἰρήνης. 19. καὶ μετὰ τοῦτο ὁ ἀρχιερεὺς ἐπευχόμενος τῷ λαῷ εἰρήνην εὐλογείτω τοῦτον, ὡς καὶ Μωσῆς ἐνετείλατο τοῖς ἱερεῦσιν εὐλογεῖν τὸν λαὸν τούτοις τοῖς ῥήμασιν· «Εὐλογῆσαι σε κύριος καὶ φυλάξαι σε, ἐπιφάναι κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ καὶ ἐλεῆσαι σε, ἐπάραι κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ καὶ δῴη σοι εἰρήνην.[1]» 20. ἐπευχέσθω οὖν καὶ ὁ ἐπίσκοπος καὶ λεγέτω· «Σῶσον τὸν λαόν σου, κύριε, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, ἣν ἐκτήσω καὶ περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου καὶ ἐκάλεσας βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον.[2]» 21. μετὰ δὲ ταῦτα γινέσθω ἡ θυσία, ἑστῶτος παντὸς τοῦ λαοῦ καὶ προσευχομένου ἡσύχως· καὶ ὅταν ἀνενεχθῇ, μεταλαμβανέτω ἑκάστη τάξις καθ' ἑαυτὴν τοῦ κυριακοῦ σώματος καὶ τοῦ τιμίου αἵματος, ἐν τάξει μετὰ αἰδοῦς καὶ εὐλαβείας ὡς βασιλέως προσερχόμενοι σώματι, καὶ αἱ γυναῖκες κατακεκαλυμμέναι τὴν κεφαλήν, ὡς ἁρμόζει γυναικῶν τάξει, προσερχέσθωσαν. φυλαττέσθωσαν δὲ αἱ θύραι, μή τις ἄπιστος εἰσέλθοι ἢ ἀμύητος.

LVIII. Εἰ δέ τις ἀπὸ παροικίας ἀδελφὸς ἢ ἀδελφὴ ἐπέλθοι σύστασιν ἐπικομιζόμενοι, ὁ διάκονος ἐπικρινέτω τὰ κατ' αὐτούς, ἀνακρίνων, εἰ πιστοί, εἰ ἐκκλησιαστικοί, εἰ μὴ ἀπὸ αἱρέσεώς εἰσι μεμολυσμένοι, καὶ πάλιν εἰ ὕπανδρος ἢ χήρα· καὶ οὕτω γνοὺς τὸ κατ' αὐτούς, ὡς εἰσὶν ἀληθῶς πιστοὶ καὶ ὁμογνώμονες ἐν τοῖς κυριακοῖς, ἀπαγέτω ἕκαστον εἰς τὸν προσήκοντα αὐτῷ τόπον. 2. εἰ δὲ καὶ πρεσβύτερος ἀπὸ παροικίας ἐπέλθοι, προσδεχέσθω ὑπὸ τῶν πρεσβυτέρων κοινωνικῶς· εἰ δὲ διάκονος, ὑπὸ τῶν διακόνων· εἰ δὲ καὶ ἐπίσκοπος, σὺν τῷ ἐπισκόπῳ καθεζέσθω τῆς αὐτῆς ἀξιούμενος ὑπ' αὐτοῦ τιμῆς. 3. καὶ ἐρωτήσεις αὐτόν, ὦ ἐπίσκοπε, προσλαλῆσαι τῷ λαῷ λόγους διδακτικούς, ἡ γὰρ τῶν ξένων παράκλησις καὶ νουθεσία ὠφελιμωτάτη σφόδρα· «Οὐδεὶς» γὰρ «προφήτης», φησίν, «δεκτὸς ἐν τῇ ἰδίᾳ πατρίδι.[3]» ἐπιτρέψεις δὲ αὐτῷ καὶ τὴν εὐχαριστίαν ἀνοῖσαι· ἐὰν δὲ δι' εὐλάβειαν ὡς σοφὸς τὴν τιμήν σοι τηρῶν μὴ θελήσῃ ἀνενέγκαι, κἂν τὴν εἰς τὸν λαὸν εὐλογίαν αὐτὸν ποιήσασθαι καταναγκάσεις. 4. εἰ δὲ ἐν τῷ καθέζεσθαι ἕτερός τις ἐπέλθοι εὐσχήμων καὶ ἔνδοξος ἐν τῷ βίῳ, ἢ ξένος ἢ ἐγχώριος, σὺ ὁ ἐπίσκοπος ὁ προσλαλῶν τὸν περὶ θεοῦ λόγον ἢ ὁ ἀκούων τοῦ ψάλλοντος ἢ τοῦ ἀναγινώσκοντος, μὴ προσωποληπτῶν καταλίπῃς τὴν διακονίαν τοῦ λόγου, ἵνα διατάξῃ αὐτῷ προσεδρίαν, ἀλλὰ μένε ἡσύχιος μὴ διακόπτων σου τὸν λόγον ἢ τὴν ἀκοήν, οἱ δὲ ἀδελφοὶ διὰ τῶν διακόνων παραδεχέσθωσαν αὐτόν. 5. εἰ δὲ τόπος οὐκ ἔστιν, ὁ διάκονος, τὸν μᾶλλον νεώτερον ἐγείρας

---

1. Ἀριθ. 6, 24-26. 2. Ψαλμ. 27, 9. Πράξ. 20, 28. Α' Πέτρ. 1, 19· 2, 9. 3. Λουκ. 4, 24.

μετὰ λόγου, ἀλλὰ μὴ μετ' ὀργῆς, ἐκεῖνον καθισάτω· δίκαιον δὲ τοῦτο καὶ ἀφ' ἑαυτοῦ τὸν φιλάδελφον ποιῆσαι· ἐὰν δὲ ἀνανεύῃ, ἐγείρας αὐτὸν ἀναγκαστῶς, ὀπίσω πάντων στῆσον, ἵνα παιδευθῶσιν καὶ οἱ λοιποὶ ἀντιπαραχωρεῖν τοῖς ἐντιμοτέροις. 6. εἰ δὲ πτωχὸς ἢ ἐγχώριος ἢ ξένος ἐπέλθοι πρεσβύτης ἢ νέος τὴν ἡλικίαν καὶ τόπος οὐχ ὑπάρχει, καὶ τούτοις τόπον ποιήσει ἐξ ὅλης τῆς καρδίας αὐτοῦ ὁ διάκονος, ἵνα μὴ πρὸς ἄνθρωπον αὐτοῦ γένηται ἡ προσωπόληψις, ἀλλὰ πρὸς θεὸν ἡ διακονία εὐάρεστος. τὸ δ' αὐτὸ ποιείτω καὶ ἡ διάκονος ταῖς ἐπερχομέναις γυναιξὶν πτωχαῖς ἤτοι πλουσίαις.

LIX. Διδάσκων δέ, ὦ ἐπίσκοπε, κέλευε καὶ παραίνει τῷ λαῷ εἰς τὴν ἐκκλησίαν ἐνδελεχίζειν ὄρθρου καὶ ἑσπέρας ἑκάστης ἡμέρας καὶ μὴ ἀπολείπεσθαι τὸ σύνολον, ἀλλὰ συνέρχεσθαι διηνεκῶς, καὶ μήτε τὴν ἐκκλησίαν κολοβοῦν ἑαυτὸν ὑφαιροῦντα καὶ παρὰ μέλος ποιεῖν τὸ σῶμα τοῦ Χριστοῦ· οὐ γὰρ μόνον περὶ ἱερέων ἐρρέθη, ἀλλὰ καὶ ἕκαστος τῶν λαϊκῶν περὶ ἑαυτοῦ ἀκουέτω λογιζόμενος, ὅτι εἴρηται ὑπὸ τοῦ κυρίου. «Ὁ μὴ ὢν μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστιν», καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ σκορπίζει.[1]» 2. μὴ οὖν ἑαυτοὺς μέλη ὄντες τοῦ Χριστοῦ σκορπίζετε, μὴ συναθροιζόμενοι· Χριστὸν κεφαλὴν ἔχοντες κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ συνόντα καὶ κοινωνοῦντα ὑμῖν, μὴ ἀμελεῖτε ἑαυτῶν μηδὲ ἀποστερεῖτε τὸν σωτῆρα τῶν οἰκείων μελῶν μηδὲ διαιρεῖτε τὸ σῶμα αὐτοῦ μηδὲ σκορπίζετε τὰ μέλη αὐτοῦ μηδὲ προκρίνετε τοῦ θείου λόγου τὰς βιωτικὰς χρείας, ἀλλ' ἑκάστης ἡμέρας συναθροίζεσθε ὄρθρου καὶ ἑσπέρας ψάλλοντες καὶ προσευχόμενοι ἐν τοῖς κυριακοῖς, ὄρθρου μὲν λέγοντες ψαλμὸν τὸν ξβ', ἑσπέρας δὲ τὸν ρμ'. 3. μάλιστα δὲ ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου καὶ ἐν τῇ τοῦ κυρίου ἀναστασίμῳ τῇ κυριακῇ σπουδαιοτέρως ἀπαντᾶτε, αἶνον ἀναπέμποντες τῷ θεῷ τῷ ποιήσαντι τὰ ὅλα διὰ Ἰησοῦ καὶ αὐτὸν εἰς ἡμᾶς ἐξαποστείλαντι καὶ συγχωρήσαντι παθεῖν καὶ ἐκ νεκρῶν ἀναστήσαντι. 4. ἐπεὶ τί ἀπολογήσεται τῷ θεῷ ὁ μὴ συνερχόμενος ἐν τῇδε τῇ ἡμέρᾳ ἀκούειν τοῦ σωτηρίου περὶ τῆς ἀναστάσεως λόγου; ἐν ᾗ καὶ τρεῖς εὐχὰς ἑστῶτες ἐπιτελοῦμεν μνήμης χάριν τοῦ διὰ τριῶν ἀναστάντος ἡμερῶν, ἐν ᾗ Προφητῶν ἀνάγνωσις καὶ Εὐαγγελίου κηρυκία καὶ θυσίας ἀναφορὰ καὶ τροφῆς ἱερᾶς δωρεά.

LX. Πῶς δὲ οὐ πολέμιος θεοῦ ὁ περὶ τὰ πρόσκαιρα μὲν νύκτα καὶ μεθ' ἡμέραν σπουδάζων, τῶν δὲ αἰωνίων ἀμελῶν; καὶ λουτρῶν μὲν καὶ προσκαίρου τροφῆς ἑκάστης μεταποιούμενος, τῶν δὲ ἀεὶ παραμόνων οὐκ ἐπιστρεφόμενος; πῶς δὲ οὐχὶ καὶ νῦν ἐρεῖ τῷ τοιούτῳ ὁ κύριος· «Ἐδικαιώθη τὰ ἔθνη ὑπὲρ ὑμᾶς», ὥσπερ καὶ τὴν Ἱερουσαλὴμ ὀνειδίζων ἔλεγεν· «Ἐδικαιώθη Σόδομα ἐκ σοῦ;[2]» 2. εἰ γὰρ τὰ ἔθνη ἐξ ὕπνου αὐτῶν καθ' ἡμέραν ἀναστάντα τρέχει ἐπὶ τὰ εἴδωλα τοῦ λατρεύειν αὐτοῖς, καὶ πρὸ παντὸς ἔργου καὶ πάσης πράξεως

1. Ματθ. 12, 30. 2. Πρβλ. Ἰεζ. 16, 51 ἑξ.

πρῶτον αὐτοῖς προσεύχονται, καὶ ἐν ταῖς ἑορταῖς καὶ ἐν ταῖς πανηγύρεσιν αὐτῶν οὐκ ἀφυστεροῦσιν, ἀλλὰ σχολάζουσιν, οὐχ οἱ τοπικοὶ μόνον, ἀλλὰ καὶ οἱ πόρρωθεν οἰκοῦντες, καὶ ἐν τοῖς θεάτροις αὐτῶν ὡς ἐν συναγωγῇ πάντες συνέρχονται· 3. ὁμοίως καὶ οἱ μάτην λεγόμενοι Ἰουδαῖοι καθ' ἓξ ἡμέρας ἀργοῦντες τῇ ἑβδόμῃ ἡμέρᾳ συνίασιν εἰς τὴν συναγωγὴν αὐτῶν, οὐδέποτε παραφίοντες ἢ παραμελοῦντες οὔτε τῆς ἀργίας αὐτῶν οὔτε τῆς συναγωγῆς αὐτῶν, οἱ τῆς δυνάμεως τοῦ λόγου ἐν τῇ ἀπιστίᾳ αὐτῶν κενωθέντες, προσέτι δὴ καὶ οὗ ὀνόματος ἑαυτοὺς καλοῦσιν Ἰούδα· Ἰούδας γὰρ ἐξομολόγησις ἑρμηνεύεται, οὗτοι δὲ οὐκ εἰσὶν ἐξομολογούμενοι θεῷ τὸ πάθημα τοῦ Χριστοῦ παρανόμως πεποιηκότες, ἵνα καὶ μεταγνόντες σωθῶσιν· 4. εἰ οὖν οἱ μὴ σωζόμενοι ἐν οἷς οὐκ ὠφελοῦνται πυκνάζουσιν, σὺ τί ἂν ἀπολογήσῃ κυρίῳ τῷ θεῷ ὁ τῆς ἐκκλησίας αὐτοῦ ἀποστρεφόμενος καὶ μηδὲ τὰ ἔθνη μιμούμενος, ἀλλὰ διὰ τοῦ ἀπολείπεσθαι ῥᾳθυμῶν ἢ ἀποστατῶν ἢ κακοποιῶν; 5. οἷς λέγει ὁ κύριος διὰ τοῦ Ἱερεμίου· «Τὰ δικαιώματά μου οὐκ ἐφυλάξατε, ἀλλ' οὐδὲ κατὰ τὰ δικαιώματα τῶν ἐθνῶν ἐπορεύθητε, παρ' ὀλίγον καὶ ὑπερβάλλετε αὐτούς[1]», καὶ πάλιν· «Ἐδικαίωσεν τὴν ψυχὴν αὐτοῦ Ἰσραὴλ ἀπὸ τῆς ἀσυνθέτου Ἰούδα[2]», καὶ ἑξῆς· «Εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν, καὶ οὗτοι οὐκ εἰσὶν θεοί· ὅτι διέλθετε νήσους Χετιεὶμ καὶ ἴδετε, καὶ εἰς Κηδὰρ ἀποστείλατε καὶ νοήσατε σφόδρα, εἰ γέγονεν τοιαῦτα· ὅτι ἐκεῖνα μὲν οὐκ ἀμείβουσιν τὰ ἑαυτῶν νόμιμα, ὁ δὲ λαός μου,» φησίν, «ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἐξ ἧς οὐκ ὠφεληθήσεται.[3]» πῶς οὖν ἀπολογήσεταί τις ὀλιγωρήσας ἢ ἐκστὰς τῆς ἐκκλησίας τοῦ θεοῦ; 6. εἰ δέ τις τὴν τοῦ ἔργου τοῦ ἰδίου πρόφασιν ἐπιφέρων ὀλιγωρεῖ «προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις[4]», γινωσκέτω ὁ τοιοῦτος, ὡς αἱ τέχναι τῶν πιστῶν ἐπέργιά εἰσιν, ἔργον δὲ ἡ θεοσέβεια. 7. τὰς οὖν τέχνας ὑμῶν ὡς ἐν παρέργῳ ποιεῖτε εἰς διατροφὴν ὑμῶν, ἔργῳ δὲ τὴν θεοσέβειαν ἀσκεῖτε, ὡς καὶ ὁ κύριος ἔλεγεν· «Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον[5]», καὶ πάλιν· «Τοῦτο δέ ἐστιν τὸ ἔργον τοῦ θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος.[6]»

LXI. Σπουδάζετε οὖν μηδέποτε τὴν ἐκκλησίαν τοῦ θεοῦ καταλιπεῖν· εἰ δέ τις ταύτην ὑπερίδοι, εἰς μιαρὸν δὲ ἐθνῶν εἰσέλθοι ἢ εἰς συναγωγὴν Ἰουδαίων ἢ αἱρετικῶν, ὁ τοιοῦτος τί ἀπολογήσεται τῷ θεῷ ἐν ἡμέρᾳ κρίσεως; λόγια θεοῦ ζῶντος καταλιπὼν ζῶντα καὶ ζωοποιοῦντα καὶ δυνάμενα ῥύσασθαι κολάσεως αἰωνίου, καὶ πορευθεὶς εἰς οἶκον δαιμόνων ἢ εἰς συναγωγὴν χριστοκτόνων ἢ ἐκκλησίαν πονηρευομένων, οὐκ ἀκούσας τοῦ εἰπόντος· «Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω· οὐκ ἐκάθισα

---

1. Ἰεζ. 5, 7. 2. Ἰερ. 3, 11. 3. Ἰερ. 2, 10-11. 4. Ψαλμ. 140, 4. 5. Ἰω. 6, 27. 6. Ἰω. 6, 29.

μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω[1]», καὶ πάλιν· «Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν, ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.[2]» 2. σὺ δέ, καταλιπὼν τῶν πιστῶν τὸ συνάθροισμα, τοῦ θεοῦ τὴν ἐκκλησίαν, τοὺς ἐκείνου νόμους, ἐπιβλέπεις ἐπὶ τὰ σπήλαια τῶν λῃστῶν, ἅγια ἡγούμενος, ἃ ἐκεῖνος βέβηλα ἀπεκάλεσεν, καὶ κοινοποιῶν, ἃ ἐκεῖνος ἐχώρισεν· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἤδη καὶ πομπαῖς Ἑλλήνων συντρέχεις καὶ ἐπὶ τὰ θέατρα ἐπείγῃ, ἐπιθυμήσας εἷς τῶν εἰσπορευομένων ἐκεῖ λογισθῆναι καὶ μετασχεῖν ἀκροαμάτων ἀπρεπῶν, ἵνα μὴ λέγωμεν μυσαρῶν, μὴ ἀκούσας τοῦ Ἱερεμίου λέγοντος· «Κύριε, οὐκ ἐκάθισα ἐν συνεδρίῳ αὐτῶν παιζόντων, ἀλλ' εὐλαβούμην ἀπὸ προσώπου χειρός σου[3]», καὶ τοῦ Ἰὼβ φάσκοντος τὰ ὅμοια· «Εἰ δὲ καὶ μετὰ γελοιαστῶν ἐπορεύθην ποτέ· ἵσταμαι γὰρ ἐν ζυγῷ δικαίῳ.[4]» 3. τί δὲ βούλει μετασχεῖν τῶν ἑλληνικῶν λογίων, ὄντων νεκρῶν ἀνθρώπων ἐξ ἐπιπνοίας διαβόλου ἀποφανθέντων νεκροποιὰ καὶ πίστεως ἀνατρεπτικὰ καὶ πρὸς πολυθεΐαν ἀπάγοντα τοὺς προσανέχοντας αὐτοῖς; 4. ὑμεῖς οὖν, σχολάζοντες τοῖς τοῦ θεοῦ νόμοις, καὶ τῶν βιωτικῶν χρειῶν τούτους ἡγεῖσθε τιμιωτέρους, καὶ πλείονα τιμὴν νέμοντες αὐτοῖς συντρέχετε εἰς τὴν ἐκκλησίαν τοῦ κυρίου, «ἣν περιεποιήσατο τῷ αἵματι[5]» τοῦ Χριστοῦ τοῦ ἠγαπημένου, τοῦ «πρωτοτόκου πάσης κτίσεως.[6]» 5. αὕτη γὰρ θυγάτηρ ἐστὶν τοῦ ὑψίστου ἡ ὠδινήσασα ὑμᾶς διὰ τοῦ λόγου τῆς χάριτος καὶ μορφώσασα ἐν ὑμῖν τὸν Χριστόν, οὗ μέτοχοι γενόμενοι ἱερὰ μέλη ἐστὲ καὶ ἐκλεκτά, «μὴ ἔχοντα σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' ὡς ἅγιοι καὶ ἄμωμοι[7]» ἐν πίστει τετελειωμένοι ἐστὲ ἐν αὐτῷ κατ' εἰκόνα τοῦ κτίσαντος ὑμᾶς.

LXII. Φυλάσσεσθε οὖν τοῦ μὴ συσχολάζειν τοῖς ἀπολλυμένοις, ὅ ἐστιν συναγωγὴ ἐθνῶν, εἰς ἀπάτην καὶ ἀπώλειαν· οὐδεμία γὰρ κοινωνία θεῷ πρὸς διάβολον· ὁ γὰρ συναθροιζόμενος μετὰ τῶν τὰ τοῦ διαβόλου φρονούντων εἷς ἐξ αὐτῶν λογισθήσεται καὶ τὸ οὐαὶ κληρονομήσει. 2. φεύγετε δὴ καὶ τὰ ἀπρεπῆ τῶν θεαμάτων, τὰ θέατρά φημι καὶ τὰς ἑλληνικὰς πομπάς, ἐπαοιδάς, κληδόνας, μαντείας, καθαρισμούς, οἰωνισμούς, ὀρνιθοσκοπίας, νεκρομαντείας, ἐπιφωνήσεις, ὅτι γέγραπται· «Οὐ γὰρ ἔστιν οἰωνισμὸς ἐν Ἰακώβ, οὐδὲ μαντεία ἐν Ἰσραήλ[8]», καὶ πάλιν· «Οἰώνισμα ἁμαρτία ἐστίν[9]», καὶ ἀλλαχοῦ· «Οὐκ οἰωνιεῖσθε, καὶ κληδόσι καὶ μαντείαις καὶ ἐγγαστριμύθοις οὐκ ἐπακολουθήσετε, φαρμακοὺς οὐ περιποιήσετε.[10]» διὸ παραινεῖ καὶ ὁ Ἱερεμίας λέγων· «Κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν μὴ πορεύεσθε,

---

1. Ψαλμ. 24, 4-5. 2. Ψαλμ. 1, 1-2. 3. Ἱερ. 15, 17. 4. Ἰὼβ 31, 5-6. 5. Πράξ. 20, 28. 6. Κολ. 1, 15. 7. Ἐφ. 5, 27. 8. Ἀριθ. 23, 23. 9. Α' Βασ. 15, 23. 10. Λευΐτ. 19, 26. Δευτ. 18, 10, 19.

καὶ ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ μὴ φοβεῖσθε.[1]» 3. διόπερ χρὴ τὸν πιστὸν φεύγειν τὰς συνόδους τῶν ἀσεβῶν Ἑλλήνων καὶ Ἰουδαίων καὶ τῶν λοιπῶν αἱρετικῶν, ἵνα μὴ τῷ συσχολάζειν αὐτοῖς παγίδας λάβωμεν ταῖς ἑαυτῶν ψυχαῖς, ὅπως μὴ συναναστρεφόμενοι ταῖς ἑορταῖς αὐτῶν, αἵτινες ἐπὶ τιμῇ τῶν δαιμόνων ἐπιτελοῦνται, κοινωνήσωμεν αὐτοῖς καὶ τῆς ἀσεβείας. 4. φευκτέαι δὲ αὐτῶν καὶ αἱ πανηγύρεις καὶ τὰ ἐν αὐταῖς ἐπιτελούμενα παίγνια· πιστὸν γὰρ ἐν πανηγύρει οὐ χρὴ παραβάλλειν πλεῖον τοῦ σωμάτιον πρίασθαι καὶ ψυχὴν περιποιήσασθαι καὶ ἕτερά τινα συνωνήσασθαι τῶν πρὸς σύστασιν ἁρμοζόντων. ἀπέχεσθε οὖν πάσης τῆς τῶν εἰδώλων πομπῆς, φαντασίας, πανηγύρεως, συμποσίων, μονομαχίας, καὶ πάσης θέας δαιμονικῆς.

LXIII. Οἱ δὲ νεώτεροι τῆς ἐκκλησίας, ἐν πάσαις ταῖς χρείαις ἀόκνως λειτουργεῖν σπουδάζετε, μετὰ πάσης σεμνότητος τοῖς ἔργοις ὑμῶν σχολάζετε, ὅπως ἐν παντὶ τῷ χρόνῳ ὑμῶν «ἦτε ἐπαρκοῦντες» καὶ «ἑαυτοῖς» καὶ τοῖς πενομένοις, «πρὸς τὸ μὴ ἐπιβαρεῖν τὴν» τοῦ θεοῦ «ἐκκλησίαν.[2]» καὶ γὰρ καὶ ἡμεῖς, σχολάζοντες τῷ λόγῳ τοῦ εὐαγγελίου, ὅμως καὶ τῶν ἐπεργίων οὐκ ἀμελοῦμεν· οἱ μὲν γάρ εἰσιν ἐξ ἡμῶν ἁλιεῖς, οἱ δὲ σκηνοποιοί, οἱ δὲ γῆς ἐργάται, πρὸς τὸ μηδέποτε ἡμᾶς ἀργοὺς εἶναι. 2. λέγει δέ που καὶ ὁ Σολομών· «Ἴσθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ, καὶ ζήλωσον εἰδὼς τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος· ἐκείνῳ γὰρ γεωργίου μὴ ὑπάρχοντος, οὐδὲ τὸν ἀναγκάζοντα ἔχων οὐδὲ ὑπὸ δεσπότην ὤν, ἑτοιμάζεται θέρους τὴν τροφὴν πολλήν τε ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράθεσιν. 3. ἢ πορεύθητι πρὸς τὴν μέλισσαν καὶ μάθε, ὡς ἐργάτης ἐστὶν τήν τε ἐργασίαν ὡς σεμνὴν ἐμπορεύεται· ἧς τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται, ποθεινὴ δέ ἐστι καὶ ἐπίδοξος, καίπερ οὖσα τῇ ῥώμῃ ἀσθενής.[3]» 4. καὶ ἑξῆς· «Ἕως πότε, ὦ ὀκνηρέ, κατάκεισαι, πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ; ὀλίγον μὲν ὑπνοῖς, ὀλίγον δὲ κάθησαι, μικρὸν δὲ νυστάζεις, ὀλίγον δὲ ἐναγκαλίζῃ χερσὶ στήθη· εἶτα παραγίνεταί σοι ὥσπερ κακὸς ὁδοιπόρος ἡ πενία, καὶ ἡ ἔνδεια ὥσπερ ἀγαθὸς δρομεύς. ἐὰν δὲ ἄοκνος ᾖς, ἥξει ὥσπερ πηγὴ ὁ ἀμητός σου, καὶ ἡ ἔνδεια ὥσπερ κακὸς ἀνὴρ ἀπαυτομολήσει.[4]» 5. καὶ πάλιν· «Ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν πλησθήσεται ἄρτων[5]», καὶ ἐν ἄλλοις φησίν· «Ὁ ἀργὸς περιέλαβεν τὰς χεῖρας αὐτοῦ καὶ ἔφαγεν τὰς σάρκας αὐτοῦ[6]», καὶ ἑξῆς· «Κρύψας ὁ ὀκνηρὸς τὴν χεῖρα αὐτοῦ οὐ δυνήσεται ἀπενεγκεῖν εἰς τὸ στόμα αὐτοῦ[7]», καὶ πάλιν· «Διὰ ἀργίαν χειρῶν ταπεινωθήσεται ἡ δόκωσις.[8]» 6. ἐργάζεσθε οὖν ἐνδελεχῶς· ἀθεράπευτος γάρ ἐστιν ἀργοῦ μῶμος. «εἰ δέ τις μὴ ἐργάζεται, οὗτος παρ' ὑμῖν μὴ ἐσθιέτω·[9]» ἀργοὺς γὰρ μισεῖ καὶ ὁ κύριος ὁ θεὸς ἡμῶν· ἀργὸς γὰρ εἶναι οὐκ ὀφείλει οὐδεὶς τῶν θεῷ προσανεχόντων.

---

1. Ἱερ. 10, 2. 2. Α' Τιμ. 5, 16. 3. Παρμ. 6, 6-8. 4. Παρμ. 6, 9-11. 5. Παρμ. 12, 11. 28, 19. 6. Ἐκκλ. 4, 5. 7. Παρμ. 19, 24. 8. Ἐκκλ. 10, 18. 9. Β' Θεσσ. 3, 10.

ΒΙΒΛΙΟΝ Γ'

ΠΕΡΙ ΧΗΡΩΝ

I. «Χήρας δὲ καθιστᾶτε μὴ ἔλαττον ἐτῶν ἑξήκοντα[1]», ἵνα τρόπῳ τινὶ τὸ τῆς διγαμίας αὐτῶν ἀνύποπτον βέβαιον ὑμῖν διὰ τῆς ἡλικίας ὑπάρχῃ. 2. εἰ δὲ νεωτέραν καταστήσητε εἰς τὸ χηρικὸν καὶ μὴ φέρουσα τὴν ἐν νεότητι χηρείαν γαμηθῇ, ἀπρέπειαν ἐμποιήσει τῇ δόξῃ τοῦ χηρικοῦ καὶ λόγον ὑφέξει τῷ θεῷ, οὐχ ὅτι δευτέρῳ γάμῳ συνήφθη, ἀλλ' ὅτι τὴν ἑαυτῆς ἐπαγγελίαν οὐκ ἐφύλαξεν, «καταστρηνιάσασα τοῦ Χριστοῦ.[2]» 3. διὸ χρὴ μὴ προπετῶς ποιεῖσθαι τὴν ἐπαγγελίαν, ἀλλὰ μετὰ ἀσφαλείας· «κρεῖσσον» γὰρ αὐτῇ «ἐστιν μὴ εὔξασθαι, ἢ εὔξασθαι καὶ μὴ ἀποδοῦναι.[3]» 4. εἰ δέ τις νεωτέρα ὀλίγον χρόνον σὺν τῷ ἀνδρὶ ποιήσασα καὶ ἀποβαλοῦσα αὐτὸν διὰ τελευτῆς ἢ δι' ἀφορμῆς τινος ἑτέρας, καὶ μείνῃ ἐφ' ἑαυτῆς δῶρον ἔχουσα χηρείας, μακαρία εὑρεθήσεται, ὁμοιωθεῖσα τῇ ἐν Σαρεφθοῖς Σιδωνίᾳ χήρᾳ, πρὸς ἣν ὁ ἅγιος τοῦ θεοῦ προφήτης Ἠλίας ἐπεξενώθη.[4] 5. ἡ τοιαύτη ἐξομοιωθήσεται Ἄννῃ «τῇ θυγατρὶ Φανουὴλ τῇ ἐκ φυλῆς Ἀσήρ, ἣ οὐκ ἀφίστατο τοῦ ἱεροῦ νύκτωρ καὶ μεθ' ἡμέραν προσμένουσα ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς, οὖσα μὲν ἐτῶν ὀγδοήκοντα, ζήσασα δὲ μετὰ ἀνδρὸς ἐκ τῆς παρθενίας αὐτῆς ἔτη ἑπτά,» καὶ τὴν τοῦ Χριστοῦ δοξάσασα παρουσίαν «ἀνθωμολογεῖτο τῷ κυρίῳ καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδοκῶσιν λύτρωσιν ἐν Ἰσραήλ·[5]» ἡ τοιαύτη μαρτύριον λαβοῦσα τιμηθήσεται, κλέος ἔχουσα καὶ παρὰ ἀνθρώποις ἐπὶ γῆς καὶ παρὰ θεῷ ἐν οὐρανοῖς τὸν αἰώνιον ἔπαινον.

II. Αἱ δὲ νεώτεραι χῆραι εἰς χηρικὸν μὲν μὴ ἐντασσέσθωσαν, μήποτε προφάσει τοῦ μὴ δύνασθαι κρατεῖν τῆς ἀκμῆς ἐπὶ δευτερογαμίαν ἐλθοῦσαι ἐν πράγματι γένωνται· ἐπικουρείσθωσαν δὲ καὶ βοηθείσθωσαν, ἵνα μὴ προφάσει τοῦ λείπεσθαι ἐπὶ δευτερογαμίαν ἐλθοῦσαι ἐν πράγματι ἀπρεπεῖ ἐνσχεθῶσιν. 2. καὶ τοῦτο γὰρ εἰδέναι ὀφείλετε, ὅτι μονογαμία μὲν κατὰ νόμον γινομένη δικαία, ὡς ἂν κατὰ γνώμην θεοῦ ὑπάρχουσα, διγαμία δὲ μετὰ ἐπαγγελίαν παράνομον, οὐ διὰ τὴν συνάφειαν, ἀλλὰ διὰ τὸ ψεῦδος, τριγαμία δὲ ἀκρασίας σημεῖον, τὸ δὲ ὑπὲρ τὴν τριγαμίαν προφανὴς πορνεία καὶ ἀσέλγεια ἀναμφίβολος. 3. ὁ γὰρ θεὸς μίαν γυναῖκα ἑνὶ ἀνδρὶ δέδωκεν ἐν τῇ δημιουργίᾳ. «ἔσονται» γὰρ «οἱ δύο εἰς σάρκα μίαν.[6]» νεωτέραις δὲ μετὰ τὴν τοῦ πρώτου τελευτὴν συγκεχωρήσθω καὶ ὁ δεύτερος, ἵνα μὴ «εἰς κρίμα τοῦ διαβόλου ἐμπέσωσιν καὶ παγίδας πολλὰς καὶ

---

1. Α' Τιμ. 5, 9. 2. Α' Τιμ. 5, 11. 3. Ἐκκλ. 5, 4. 4. Γ' Βασ. 17, 9-24. 5. Λουκ. 2, 36-38. 6. Γεν. 2, 24.

ἐπιθυμίας ἀνοήτους καὶ ἐπιζημίους[1]» ψυχαῖς, αἵτινες κόλασιν προξενοῦσιν μᾶλλον, ἢ ἄνεσιν.

III. Αἱ δὲ ἀληθιναὶ χῆραί εἰσιν αἱ μόνανδροι ὑπάρξασαι, «μαρτυρούμεναι» ὑπὸ πλειόνων «ἐν ἔργοις ἀγαθοῖς», χῆραι τῷ ὄντι, σώφρονες, ἁγναί, πισταί, εὐσεβεῖς, «τεκνοτροφήσασαι[2]» καλῶς καὶ «ξενοδοχήσασαι» ἀμέμπτως, ὧν καὶ ἀντιλαμβάνεσθαι χρὴ ὡς θεῷ ἀνακειμένων. 2. ἀλλὰ μὴν καὶ τῶν πενήτων, ὦ ἐπίσκοπε, μνημόνευε καὶ αὐτοῖς χεῖρα ὀρέγων ἐπικουρίας καὶ πρόνοιαν αὐτῶν ποιούμενος, «ὡς θεοῦ οἰκονόμος[3]» εὐκαίρως ἑκάστῳ διανέμων τὰ πρόσφορα, χήραις καὶ ὀρφανοῖς καὶ ἀπεριστάτοις καὶ τοῖς ἐν θλίψει ἐξεταζομένοις.

IV. Τί γὰρ εἴ τινες μή εἰσιν χῆραι, βοηθείας δὲ χρῄζουσιν διὰ πενίαν ἢ διὰ νόσον ἢ διὰ τεκνοτροφίαν; πάντας σε δεῖ ἐφορᾶν καὶ πάντων ἐπιμελεῖσθαι. 2. οἱ γὰρ τὰ δόματα διδόντες οὐκ αὐτοσχεδίως αὐτὰ διδόασιν ταῖς χήραις, ἀλλὰ συνεισφέρουσιν ἁπλῶς, ἑκούσια αὐτὰ ὀνομάζοντες, ὅπως σὺ ὁ ἐπιστάμενος τοὺς θλιβομένους ἀκριβῶς «ὡς ἀγαθὸς οἰκονόμος[4]» μερίζῃς αὐτοῖς ἐκ τοῦ δόματος· ὁ γὰρ θεὸς γινώσκει τὸν δεδωκότα, κἂν ἀπόντος αὐτοῦ ὑπὸ σοῦ τοῖς δεομένοις μερίζηται· καὶ ὃς μὲν ἔχει τὸν τῆς εὐποιΐας μισθόν, σὺ δὲ τὸν τῆς εὐσυνειδήτου οἰκονομίας μακαρισμόν. 3. λέγε δὲ αὐτοῖς καί, τίς ὁ δεδωκώς, ἵνα καὶ ἐξ ὀνόματος ὑπὲρ αὐτοῦ προσεύχωνται. 4. χρὴ γὰρ εὖ ποιεῖν πάντας ἀνθρώπους, μὴ φιλοκρινοῦντα τοῦτον ὅστις ᾖ ἢ ἐκεῖνον· ὁ γὰρ κύριός φησι· «Παντὶ τῷ αἰτοῦντί σε δίδου·[5]» δῆλον δὲ ὡς τῷ χρῄζοντι κατὰ ἀλήθειαν, κἂν φίλος ᾖ κἂν ἐχθρός, κἂν συγγενὴς κἂν ἀλλότριος, κἂν ἄγαμος κἂν γεγαμηκὼς ὑπάρχῃ. 5. ἐν πάσῃ γὰρ γραφῇ ὁ κύριος περὶ τῶν πενήτων παραινεῖ, λέγων διὰ μὲν Ἠσαΐου· «Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου· ἐὰν ἴδῃς γυμνόν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψῃ.[6]» 6. καὶ διὰ τοῦ Δανιὴλ λέγει τῷ δυνάστῃ· «Διό, βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων.[7]» 7. καὶ διὰ Σολομῶνός φησιν· «Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι.[8]» 8. καὶ διὰ τοῦ Δαυὶδ πάλιν λέγει· «Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος[9]», καὶ πάλιν· «Ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.[10]» 9. καὶ ὁ Σολομών φησιν· «Ὁ ἐλεῶν πτωχὸν κυρίῳ δανείζει, κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδοθήσεται αὐτῷ[11]», καὶ ἑξῆς· «Ὃς φράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι τοῦ δεομένου, καὶ αὐτὸς ἐπικαλέσεται καὶ οὐκ ἔσται ὁ εἰσακούων αὐτοῦ.[12]»

---

1. Α' Τιμ. 3, 6. 6, 9. 2. Α' Τιμ. 5, 10. 3. Τίτ. 1, 7. 4. Α' Πέτρ. 4, 10. 5. Λουκ. 6, 30. 6. Ἠσ. 58, 7. 7. Δαν. 4, 24. 8. Παρμ. 16, 6. 9. Ψαλμ. 40, 2. 10. Ψαλμ. 111, 9. 11. Παρμ. 19, 17. 12. Παρμ. 21, 13.

V. Ὑπαρχέτω δὲ πᾶσα χήρα πραεῖα, ἥσυχος, ἐπιεικής, ἄκακος, ἀόργητος, μὴ πολύλαλος, μὴ κραύγασος, μὴ πρόγλωσσος, μὴ κατάλαλος, μὴ λεξίθηρος, μὴ δισσόλογος, μὴ φιλοπράγμων· βλέπουσά τι σκολιὸν ἢ καὶ ἀκούουσα γινόμενον, ἔστω ὡς μὴ βλέπουσα καὶ ὡς μὴ ἀκούουσα ὑπαρχέτω. 2. καὶ μηδὲν ἕτερον τῇ χήρᾳ μελέτω, εἰ μὴ τὸ προσεύχεσθαι ὑπὲρ τῶν διδόντων καὶ ὑπὲρ ὅλης τῆς ἐκκλησίας. 3. ἐπερωτωμένη δέ τι ὑπό τινος, μὴ ῥαδίως ἀποκρινέσθω, πλὴν ὅσα περὶ πίστεως καὶ δικαιοσύνης καὶ τῆς εἰς θεὸν ἐλπίδος, ἀποστέλλουσα τοῖς ἡγουμένοις τοὺς θέλοντας κατηχεῖσθαι τὰ τῆς εὐσεβείας δόγματα. 4. μόνα δὲ ἀποκρινέσθω τὰ περὶ ἀνατροπῆς πολυθέου πλάνης, ἀποδεικνύουσα τὸν περὶ μοναρχίας θεοῦ λόγον· περὶ δὲ τῶν ἑξῆς προπετῶς τι μὴ ἀποκρινέσθω, ὅπως μή τι ἀμαθῶς φθεγξαμένη βλασφημίαν προστρίψῃ τῷ λόγῳ. 5. κόκκῳ γὰρ σινάπεως ἐοικέναι τὸν λόγον ὁ κύριος ἐδογμάτισεν.[1] τοῦτο δὲ ἐστὶ διάπυρον, ᾧ ἐάν τις ἀπείρως χρήσηται, πικρὸν αὐτὸ εὑρήσει. χρὴ γὰρ ἐν τοῖς μυστικοῖς μὴ προδότην εἶναι, ἀλλ' ἀσφαλῆ· παραινεῖ γὰρ ἡμῖν ὁ κύριος λέγων· «Μὴ βάλετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν καὶ στραφέντες ῥήξωσιν ὑμᾶς.[2]» 6. ἀκούσαντες γὰρ οἱ ἄπιστοι τὸν περὶ Χριστοῦ λόγον οὐ δεόντως, ἀλλ' ἐνδεῶς, καὶ μάλιστα τὸν περὶ ἐνσωματώσεως ἢ τοῦ πάθους αὐτοῦ, μυκτηρίσαντες χλευάσουσιν μᾶλλον ὡς ψευδῆ ἢ δοξάσουσιν, καὶ ἔνοχος ἔσται τῆς προπετείας ἡ πρεσβῦτις καὶ τῆς βλασφημίας καὶ τὸ «οὐαὶ» κληρονομήσει. «Οὐαὶ» δέ, φησίν, «δι' οὗ τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν.[3]»

VI. Οὐκ ἐπιτρέπομεν οὖν γυναῖκας διδάσκειν ἐν ἐκκλησίᾳ, ἀλλὰ μόνον προσεύχεσθαι καὶ τῶν διδασκάλων ἐπακούειν. 2. καὶ γὰρ καὶ αὐτὸς ὁ διδάσκαλος ἡμῶν καὶ κύριος Ἰησοῦς ὁ Χριστὸς ἡμᾶς τοὺς δώδεκα πέμψας μαθητεῦσαι τὸν λαὸν καὶ τὰ ἔθνη,[4] γυναῖκας οὐδαμοῦ ἐξαπέστειλεν εἰς τὸ κήρυγμα, καίτοι οὐκ ἀπορῶν· συνῆν γὰρ ἡμῖν ἥ τε μήτηρ τοῦ κυρίου «καὶ αἱ ἀδελφαὶ αὐτοῦ[5]», ἔτι δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ Ἰακώβου καὶ Μάρθα καὶ Μαρία αἱ ἀδελφαὶ Λαζάρου καὶ Σαλώμη καὶ ἕτεραί τινες.[6] εἰ γὰρ ἦν ἀναγκαῖον γυναιξὶν διδάσκειν, αὐτὸς ἂν ἐκέλευσε πρῶτος καὶ ταύταις σὺν ἡμῖν κατηχεῖν τὸν λαόν· εἰ γὰρ «κεφαλὴ γυναικὸς ὁ ἀνήρ[7]», οὐκ ἔστιν δίκαιον τὸ λοιπὸν σῶμα τῆς κεφαλῆς ἐξάρχειν. 3. γνωριζέτω οὖν ἡ χήρα, ὅτι θυσιαστήριόν ἐστι θεοῦ, καὶ καθήσθω ἐν τῇ οἰκίᾳ αὐτῆς, μὴ μετά τινος προφάσεως ἐν ταῖς τῶν πιστῶν οἰκίαις ἐπὶ τῷ λαμβάνειν εἰσπορευομένη· οὐδὲ γάρ ποτε τὸ θυσιαστήριον τοῦ θεοῦ περιτρέχει, ἀλλ' ἐν ἑνὶ τόπῳ ἵδρυται. 4. ὑπαρχέτω οὖν καὶ ἡ παρθένος καὶ ἡ χήρα μὴ περιτροχὰς ἢ ῥεμβομένη κατὰ τὰς τῶν ἀλλοτρίων

1. Πρβλ. Ματθ. 13, 31. 2. Ματθ. 7, 6. 3. Ἠσ. 52, 5. 4. Πρβλ. Ματθ. 28, 19. 5. Ματθ. 13, 56. 6. Πρβλ. Ματθ. 27, 56, 61. 7. Α' Κορ. 11, 3.

οἰκίας· ὅτι αἱ ῥεμβοὶ καὶ ἀναιδεῖς καὶ αἱ τοιαῦται οὐχ ἡσυχάζουσιν τοὺς πόδας ἐν ἑνὶ τόπῳ [1] διὰ τὸ μὴ χήρας, ἀλλὰ πήρας αὐτὰς ὑπάρχειν, ἑτοίμους εἰς τὸ λαμβάνειν, φλυάρους, καταλάλους, μαχοσυμβούλους, ἀναιδεῖς, ἀναισχύντους· αἵτινες τοιαῦται ὑπάρχουσαι οὐκ ἄξιαι τοῦ καλέσαντος τυγχάνουσιν. 5. οὐ γὰρ ἐπὶ τὸ κοινὸν τῆς συναγωγῆς ἀνάπαυμα ἐν τῇ κυριακῇ καταντῶσιν ὡς οἱ ἐγρηγορότες, ἀλλ' ἢ νυστάζουσιν ἢ φλυαροῦσιν ἢ αἰτοῦσιν ἢ ἑτέρους αἰχμαλωτίζουσιν προσάγοντες τῷ πονηρῷ, οὐκ ἐῶντες αὐτοὺς νήφειν ἐν κυρίῳ, ἀλλὰ παρασκευάζοντες τοιούτους αὐτοὺς ἐξιέναι, οἷοι καὶ εἰσίασιν, διάκενοι διὰ τὸ μὴ ἀκούειν τῶν διδασκόντων ἢ τῶν ἀναγινωσκόντων τὸν τοῦ κυρίου λόγον· περὶ γὰρ τῶν τοιούτων καὶ Ἡσαΐας ὁ προφήτης λέγει· «Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου.[2]»

VII. Τὸν αὐτὸν οὖν τρόπον καὶ τῶν τοιούτων χηρῶν ἐκλείσθη τὰ ὦτα τῆς καρδίας εἰς τὸ μὴ καθεζομένας ἔνδον ἐν ταῖς στέγαις αὐτῶν προσλαλεῖν τῷ κυρίῳ, ἀλλὰ περιτρεχούσας ἐν ἐπινοίᾳ πορισμοῦ διὰ τῶν φλυαριῶν τὰ τοῦ ἀντικειμένου ἐπιθυμήματα πράσσειν. 2. αἱ τοιαῦται οὖν χῆραι οὐ προσήρτηνται τῷ θυσιαστηρίῳ τοῦ Χριστοῦ. 3. εἰσὶ γὰρ ἔνιαι χῆραι ἐργασίαν ἡγούμεναι τὸ πρᾶγμα, καὶ ἐξ ὧν ἀναισχύντως αἰτοῦσιν καὶ ἀπλήστως λαμβάνουσιν, ἤδη καὶ ὀκνηροτέρους τοὺς πολλοὺς πρὸς τὸ διδόναι κατέστησαν· δέον γὰρ αὐτὰς ἀρκεῖσθαι τοῖς ἐκκλησιαστικοῖς διὰ μετριότητα γνώμης, ἐκ τῶν ἐναντίων ἐμπεριτρέχουσαι τοὺς τῶν πλουσίων οἴκους διασείουσιν εὐπορίαν χρημάτων ἑαυταῖς ἐπισωρεύουσαι, καὶ ἐπὶ πικροῖς τόκοις δανείζουσιν καὶ μόνου τοῦ μαμωνᾶ φροντίζουσιν, ὧν ὁ θεὸς τὸ βαλλάντιον, αἳ τὸ φαγεῖν καὶ τὸ πιεῖν προκρίνουσιν πάσης ἀρετῆς λέγουσαι· «Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν[3]», αἳ ὡς ἑστῶτα ταῦτα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα. 4. ἡ γὰρ ἠσκηκυῖα περὶ τὸ χρηματολογεῖν ἀντὶ τοῦ θεοῦ λατρεύει τῷ μαμωνᾷ, τοῦτ' ἔστιν δουλεύει τῷ κέρδει, τῷ δὲ θεῷ εὐάρεστος εἶναι οὐ δύναται οὐδὲ ταῖς λατρείαις αὐτοῦ ὑπήκοος, συνεχῶς οὐ δυναμένη ἐντυγχάνειν αὐτῷ, ἐπὶ τὸ ἀργυρολογεῖν τὸν νοῦν καὶ τὴν διάθεσιν ἔχουσα, ἐπείπερ «ὅπου ὁ θησαυρός, ἐκεῖ καὶ ἡ καρδία αὐτῆς.[4]» 5. ἐν νῷ γὰρ διαλαμβάνει, ποῦ πορευθῇ λήμματος χάριν, ἢ ὅτι ἡ δεῖνα ἡ φίλη αὐτῆς ἐπιλέλησται καὶ λόγον τινὰ ταύτῃ προσενεγκεῖν ὀφείλει· ἡ δὲ τοιαῦτα λογιζομένη οὐκέτι τῇ προσευχῇ προσέξει, ἀλλὰ τῇ ἐμπιπτούσῃ ἐννοίᾳ. διὸ κἂν ποτε θελήσῃ προσεύξασθαι ὑπέρ τινος, οὐκ εἰσακουσθήσεται· οὐ γὰρ ἐξ ὅλης καρδίας προσφέρει τὴν δέησιν κυρίῳ, ἀλλὰ μεμερισμένῃ διανοίᾳ 6. ἡ δὲ θεῷ βουλομένη προσανέχειν καθημένη ἔνδον φρονεῖ τὰ τοῦ κυρίου[5], νυκτὸς καὶ ἡμέρας ἀκαταπαύστῳ

---

1. Πρβλ. Παρμ. 7, 11. 2. Ἠσ. 6, 9-10. 3. Ἠσ. 22, 13. 4. Ματθ. 6, 21.
5. Πρβλ. Α' Κορ. 7, 32.

στόματι δέησιν προσφέρουσα εἰλικρινῆ. ὥσπερ οὖν καὶ ἡ σοφωτάτη Ἰουδίθ, μαρτυρουμένη ἐπὶ σωφροσύνῃ, νυκτὸς καὶ ἡμέρας ἐδεῖτο τοῦ θεοῦ ὑπὲρ τοῦ Ἰσραήλ,[1] οὕτως οὖν καὶ ἡ ὁμοία αὐτῇ χήρα ἔντευξιν ἀκατάπαυστον ὑπὲρ τῆς ἐκκλησίας προσοίσει τῷ θεῷ, καὶ εἰσακούσεται αὐτῆς διὰ τὸ τὴν διάνοιαν αὐτῆς πρὸς μόνῳ τούτῳ ἠρτῆσθαι καὶ μήτε πρὸς ἀπληστίαν μήτε πρὸς ἐπιθυμίαν πολυδάπανον ἐκκεῖσθαι· ὅ τε ὀφθαλμὸς αὐτῆς ἁγνὸς καὶ ἡ ἀκοὴ καθαρὰ καὶ αἱ χεῖρες ἀμόλυντοι καὶ οἱ πόδες ἥσυχοι καὶ τὸ στόμα οὔτε πρὸς λαιμαργίαν οὔτε πρὸς φλυαρίαν ἕτοιμον, ἀλλὰ λαλοῦν μὲν τὰ δέοντα, μεταλαμβάνον δὲ ὧν προσῆκεν διὰ μόνην τὴν σύστασιν· οὕτως οὖν σεμνὴ καὶ ἀτάραχος ὑπάρχουσα εὐάρεστος ἔσται τῷ θεῷ, καὶ ἅμα τῷ αἰτήσασθαι αὐτήν τι προφθάσει αὐτὴν ἡ δόσις· «Ἔτι» γάρ «σου», φησί, λαλοῦντος ἐρῶ· ἰδοὺ πάρειμι.[2]» 7. τοιαύτη δὲ οὖσα ὑπαρχέτω ἀφιλάργυρος, ἄτυφος, μὴ αἰσχροκερδής, μὴ ἄπληστος, μὴ λίχνος· ἀλλ' ἐγκρατής, πραεῖα, ἀτάραχος, εὐλαβής, αἰδήμων, καθημένη ἐν τῇ οἰκίᾳ αὐτῆς ψάλλουσα, προσευχομένη, ἀναγινώσκουσα, ἀγρυπνοῦσα, νηστεύουσα, θεῷ πάντοτε προσομιλοῦσα ᾠδαῖς καὶ ὕμνοις· 8. ἔριά τε ἐκλαμβάνουσα ἑτέροις μᾶλλον ἐπιχορηγείτω, ἤπερ αὐτή τινος δεέσθω, μιμνησκομένη τῆς ἐν τῷ Εὐαγγελίῳ μεμαρτυρημένης ὑπὸ τοῦ κυρίου χήρας, ἥτις, «ἐλθοῦσα» ἐν τῷ ἱερῷ «ἔβαλεν εἰς τὸ γαζοφυλάκιον τὰ δύο λεπτά, ὅπερ ἐστὶ κοδράντης·» καὶ θεασάμενος αὐτὴν ὁ καρδιογνώστης Χριστὸς ὁ κύριος ἡμῶν καὶ διδάσκαλος εἶπεν· «Ἀμὴν λέγω ὑμῖν, ὅτι αὕτη ἡ χήρα πλεῖον πάντων ἔβαλεν εἰς τὸ γαζοφυλάκιον, ὅτι οἱ πάντες ἐκ τοῦ περισσεύματος αὐτῶν ἔβαλον, αὕτη δὲ ὅλον τὸν βίον αὐτῆς, ὃν εἶχεν.[3]»

VIII. Σεμνὰς οὖν δεῖ εἶναι τὰς χήρας, πειθομένας τοῖς ἐπισκόποις καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις, ἔτι μὴν καὶ ταῖς διακόνοις, εὐλαβουμένας, ἐντρεπομένας, φοβουμένας, μὴ κατεξουσιαζούσας μηδὲ παρὰ τὴν διαταγήν τι ποιεῖν θελούσας δίχα γνώμης τοῦ διακόνου, οἷον τὸ πρός τινα ἀπελθεῖν θελούσας ἐπὶ τὸ φαγεῖν παρ' αὐτῷ ἢ πιεῖν ἢ λαβεῖν τι παρά τινος. εἰ δέ μὴ κελευσθεῖσα ποιήσει ἕν τι τούτων, ἐπιτιμάσθω νηστείᾳ ἢ ἀφορισμῷ ὡς προπετής. 2. τί γὰρ ἐπίσταται, ὁποία τίς ἐστιν, παρ' ἧς λαμβάνει, ἢ ἐκ ποταπῆς διακονίας παραβάλλει τὴν τροφήν; πότερον ἐξ ἁρπαγῆς ἢ ἑτέρας τινὸς οὐ καλῆς ἀγωγῆς; οὐκ ἐπισταμένη ἡ χήρα, ὅτι ὑπὲρ ἑνὸς ἑκάστου τούτων δώσει λόγον τῷ θεῷ δεχομένη ἀναξίως θεοῦ. οὔτε γὰρ οἱ ἱερεῖς τοιαύτης ἐκουσιασμὸν δέξονταί ποτε οἷον ἅρπαγος ἢ πόρνης· γέγραπται γάρ· «Οὐκ ἐπιθυμήσεις τὰ τοῦ πλησίον[4]», καί· «Οὐ προσοίσεις μίσθωμα πόρνης κυρίῳ τῷ θεῷ.[5]» οὐ δεῖ οὖν δέχεσθαι παρὰ τῶν τοιούτων οὔτε μὴν παρὰ ἀφωρισμένων. 3. γινέσθωσαν δὲ αἱ χῆραι ἕτοιμοι πρὸς ὑπακοὴν

1. Πρβλ. Ἰουδ. 9, 1 ἑξ. 2. Ἡσ. 58, 9. 3. Μάρκ. 12, 42-44. 4. Ἔξ. 20, 17. 5. Δευτ. 23, 18.

τῶν ἐντεταλμένων αὐταῖς ὑπὸ τῶν κρειττόνων, καὶ κατὰ τὴν διάταξιν τοῦ ἐπισκόπου ποιείτωσαν ὡς θεῷ ὑπακούουσαι. ὁ γὰρ ἀπὸ τοιούτου ἐπιρρήτου ἢ ἀποσυναγώγου δεχόμενος καὶ ὑπὲρ τούτου προσευχόμενος, ἐμμένειν τοῖς κακοῖς προαιρουμένου καὶ μὴ θέλοντος μεταμεληθῆναί ποτε, κοινωνεῖ τούτῳ τῇ προσευχῇ καὶ λυπεῖ Χριστὸν τὸν τοὺς ἀδίκους ἀποστρεφόμενον, καὶ οἰκοδομεῖ αὐτοὺς διὰ τῆς ἀναξίου δόσεως καὶ συμμολύνεται αὐτοῖς, μὴ ἀφίων αὐτοὺς εἰς μετάνοιαν ἐλθεῖν, ὥστε προσκλαῦσαι καὶ δεηθῆναι τοῦ θεοῦ.

IX. Περὶ δὲ τοῦ γυναῖκας βαπτίζειν γνωρίζομεν ὑμῖν, ὅτι κίνδυνος οὐ μικρὸς ταῖς τοῦτο ἐπιχειρούσαις· διὸ οὐ συμβουλεύομεν· ἐπισφαλὲς γάρ, μᾶλλον δὲ παράνομον καὶ ἀσεβές. 2. εἰ γὰρ «κεφαλὴ γυναικὸς ὁ ἀνήρ [1]», οὗτος δὲ προχειρίζεται εἰς ἱερωσύνην, οὐ δίκαιον ἀθετῆσαι τὴν δημιουργίαν καὶ καταλιπόντα τὴν ἀρχὴν ἐπὶ τὸ ἔσχατον ἐλθεῖν σῶμα· γυνὴ γὰρ σῶμα ἀνδρὸς ἐκ πλευρᾶς ὂν καὶ ὑποκείμενον ἐκείνῳ, ἐξ οὗπερ καὶ διῃρέθη εἰς παίδων γένεσιν. «Αὐτὸς» γάρ, «σου» φησίν, «κυριεύσει [2]» ἀρχὴ γὰρ γυναικὸς ὁ ἀνήρ, ἐπειδὴ καὶ κεφαλή. 3. εἰ δὲ ἐν τοῖς προλαβοῦσιν διδάσκειν αὐταῖς οὐκ ἐπιτρέπομεν, πῶς ἱερατεῦσαι ταύταις παρὰ φύσιν τις συγχωρήσει; τοῦτο γὰρ τῆς τῶν Ἑλλήνων ἀθεότητος τὸ ἀγνόημα θηλείαις θεαῖς ἱερείας χειροτονεῖν, ἀλλ' οὐ τῆς τοῦ Χριστοῦ διατάξεως. 4. εἰ δὲ καὶ ἔδει ὑπὸ γυναικῶν βαπτίζεσθαι, πάντως ἂν καὶ ὁ κύριος ὑπὸ τῆς ἰδίας μητρὸς ἐβαπτίζετο καὶ οὐχ ὑπὸ Ἰωάννου, ἢ καὶ ἡμᾶς ἀποστέλλων ἐπὶ τὸ βαπτίζειν συναπέστειλεν ἂν ἡμῖν καὶ γυναῖκας ἐπὶ τούτῳ· νῦν δὲ οὐδαμοῦ οὔτε προσέταξεν οὔτε ἐγγράφως παρέδωκεν, εἰδὼς καὶ τὴν ἀκολουθίαν τῆς φύσεως καὶ τὴν εὐπρέπειαν τοῦ πράγματος, ὡς καὶ τῆς φύσεως δημιουργὸς καὶ τῆς διατάξεως νομοθέτης.

X. Ἀλλ' οὔτε λαϊκοῖς ἐπιτρέπομεν ποιεῖν τι τῶν ἱερατικῶν ἔργων, οἷον θυσίαν ἢ βάπτισμα ἢ χειροθεσίαν ἢ εὐλογίαν μικρὰν ἢ μεγάλην. 2. «οὐχ ἑαυτῷ» γάρ «τις λαμβάνει τὴν τιμήν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ θεοῦ.[3]» διὰ γὰρ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦ ἐπισκόπου δίδοται ἡ τοιαύτη ἀξία. 3. ὁ δὲ μὴ ἐγχειρισθεὶς ταύτην, ἀλλ' ἁρπάσας αὐτὴν ἑαυτῷ, τὴν τιμωρίαν τοῦ Ὀζία ὑποστήσεται.[4]

XI. Ἀλλ' οὔτε τοῖς λοιποῖς κληρικοῖς ἐπιτρέπομεν βαπτίζειν, οἷον ἀναγνώσταις ἢ ψάλταις ἢ πυλωροῖς ἢ ὑπηρέταις, ἀλλ' ἢ μόνοις ἐπισκόποις καὶ πρεσβυτέροις, ἐξυπηρετουμένων αὐτοῖς τῶν διακόνων. 2. οἱ δὲ τολμῶντες τοῦτο τῶν Κορειτῶν ὑποίσουσι τὴν δίκην. 3. οὐκ ἐπιτρέπομεν δὲ πρεσβυτέροις χειροτονεῖν διακόνους ἢ διακονίσσας ἢ ἀναγνώστας ἢ ὑπηρέτας ἢ ᾠδοὺς ἢ πυλωρούς, ἀλλὰ μόνοις τοῖς ἐπισκόποις· αὕτη γάρ ἐστι τάξις ἐκκλησιαστικὴ καὶ ἁρμονία.

XII. Περὶ δὲ φθόνου ἢ ζήλου ἢ καταλαλιᾶς ἢ ἔριδος ἢ φιλονεικίας προείρηται ὑμῖν, ὅτι ταῦτα Χριστιανοῦ ἀλλότρια, καὶ μάλιστα ἐπὶ

---

1. Α' Κορ. 11, 3. 2. Γεν. 3, 16. 3. Ἑβρ. 5, 4. 4. Β' Παρλ. 26, 1 ἑξ.

χηρῶν. 2. ἐπειδὴ δὲ ὁ ἐνεργῶν διάβολος πολύτροπος καὶ ποικίλος ὑπάρχων εἰς τὰς μὴ χήρας ἐμπομπεύει, ὡς καί ποτε εἰς τὸν Καΐν· ἔνιαι γὰρ λέγουσιν εἶναι χῆραι, τὰ δὲ τῆς χηρείας ἄξια παραγγέλματα οὐ ποιοῦσιν, ὡς οὐδὲ ὁ Καΐν τὰ ἀδελφικὰ δικαιώματα· ἀγνοοῦσιν γάρ, ὡς οὐ τὸ ὄνομα τῆς χηρείας εἰς βασιλείαν αὐτὰς εἰσάξει, ἀλλ' ἡ ἀληθὴς πίστις καὶ τὰ ὅσια ἔργα· εἰ δέ τις τὸ μὲν ὄνομα τῆς χηρείας κέκτηται, ἐπιτελεῖ δὲ τὰ τοῦ ἀντικειμένου ἐπιτηδεύματα, ἡ μὲν χηρεία αὐτῆς οὐ λογισθήσεται, ἐξωσθεῖσα δὲ τῆς βασιλείας αἰωνίᾳ κολάσει παραδοθήσεται. 3. ἀκούομεν γάρ τινας χήρας ζηλοτύπους, φθονεράς, διαβόλους, βασκαινούσας ταῖς ἑτέρων ἀνέσεσιν· αἱ δὲ τοιαῦται οὐκ εἰσὶν τοῦ Χριστοῦ οὐδὲ τῆς ἐκείνου διδασκαλίας μαθήτριαι. 4. δέον γὰρ αὐτάς, ἐνδυθείσης αὐτῶν συγχήρας ὑπό τινος ἢ λαβούσης ἀργύρια ἢ τροφὴν ἢ πόμα ἢ ὑπόδεσιν, θεασαμένας τὴν ἀδελφὴν αὐτῶν ἀναψύξασαν εἰπεῖν·

XIII. Εὐλογητὸς ὁ θεὸς ὁ ἀναψύξας μου τὴν συγχήραν· εὐλόγησον, κύριε, καὶ δόξασον τὸν διακονήσαντα αὐτῇ, καὶ τὸ ἔργον αὐτοῦ ἀναβαίη ἐν ἀληθείᾳ πρὸς σέ, καὶ μνησθήσῃ αὐτοῦ εἰς ἀγαθὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς αὐτοῦ· καὶ τὸν ἐπίσκοπόν μου τὸν καλῶς σοι λειτουργήσαντα καὶ διδάξαντα εὔκαιρον ἐλεημοσύνην γυμνῇ οὔσῃ τῇ συγχήρῳ μου γενέσθαι, προσθείης αὐτῷ δόξαν καὶ δώῃς αὐτῷ στέφανον καυχήσεως ἐν ἡμέρᾳ ἀποκαλύψεως ἐπισκοπῆς σου. 2. ὁμοίως καὶ ἡ λαβοῦσα χήρα τὸ ἔλεος συμπροσευχέσθω τῷ διδόντι αὐτῇ τὴν διακονίαν.

XIV. Ἡ μέντοι εὖ ποιοῦσα ἀποκρυψάτω τὸ οἰκεῖον ὄνομα ὡς σοφή, «μὴ σαλπίζουσα ἔμπροσθεν [1]» αὐτῆς, ἵνα γένηται ἡ ἐλεημοσύνη ἐν κρυπτῷ πρὸς θεόν, καθὼς φησιν ὁ κύριος, ὅτι «σοῦ δὲ ποιοῦντος τὴν ἐλεημοσύνην μὴ γνώτω ἡ ἀριστερά σου, τί ποιεῖ ἡ δεξιά σου, ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ.[2]» καὶ ἡ χήρα προσευχέσθω ὑπὲρ τοῦ δεδωκότος, ὅστις ποτ' ἂν ᾖ, ἅγιον θυσιαστήριον θεοῦ ὑπάρχουσα, «καὶ ὁ πατὴρ ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει τῷ εὖ ποιήσαντι ἐν τῷ φανερῷ.[3]» 2. ἀλλ' αἱ μὴ κατ' ἐντολὴν θεοῦ ζῆν θέλουσαι χῆραι φροντίζουσιν πολυπευστεῖν, τίς ἡ διακονησαμένη καὶ τίνες αἱ λαβοῦσαι, καὶ μαθοῦσα ἐπιμέμφεται τῇ διακονησαμένῃ λέγουσα, ὅτι οὐκ ᾔδεις, ὅτι ἐγώ σοι μᾶλλον ἐγγυτέρα παρ' ἐκείνην ὑπῆρχον καὶ μᾶλλον παρ' ἐκείνην θλιβομένη; τί οὖν προετίμησας ἐκείνην ἐμοῦ; 3. ταῦτα δὲ λέγει ἄφρων ὑπάρχουσα, οὐ νοοῦσα, ὅτι οὐκ ἀνθρώπου τοῦτο θέλημα γέγονεν, ἀλλὰ θεοῦ πρόσταγμα. εἰ γὰρ μαρτυρεῖ αὕτη, ὅτι ἐγγυτέρω ὑπῆρχεν καὶ ἐν πλείονι ἐνδείᾳ ἐξητάζετο καὶ μᾶλλον αὐτὴ γυμνὴ ἢ ἐκείνη, ὀφείλει νοεῖν τὸν διαταξάμενον καὶ ἀποσιγήσασα καὶ μὴ μεμψαμένη τὴν διακονήσασαν, εἰσελθοῦσα εἰς οἶκον ἑαυτῆς καὶ ἐπὶ πρόσωπον ἑαυτὴν βαλοῦσα ἱκετεῦσαι τὸν θεὸν ἀφεθῆναι αὐτῇ τὸ πλημμέλημα. 4. ὁ γὰρ θεὸς ἐνετείλατο τῇ εὖ ποιούσῃ μὴ τραγῳδεῖν

1. Πρβλ. Ματθ. 6, 2. 2. Ματθ. 6, 3-4. 3. Ματθ. 6, 4.

τὴν εὐποιΐαν, ἡ δὲ ἐμέμφετο, ὅτι μὴ ἐκήρυξεν αὐτῆς τὸ ὄνομα, ἵνα καὶ αὐτὴ μαθοῦσα δράμῃ εἰς τὸ λαβεῖν· καὶ οὐ μόνον ἐμέμφετο, ἀλλά γε καὶ κατηρᾶτο αὐτῇ, ἐπιλαθομένη τοῦ εἰπόντος· «Ὁ εὐλογῶν σε εὐλόγηται, καὶ ὁ καταρώμενός σε κεκατήραται.[1]» 5. λέγει δὲ ὁ κύριος· «Ὅταν εἰσέρχησθε εἰς οἶκον, λέγετε· εἰρήνη τῷ οἴκῳ τούτῳ, καὶ ἐὰν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἡ εἰρήνη ὑμῶν ἐπαναπαύσεται ἐπ' αὐτόν· ἐὰν δὲ μὴ ᾖ ἄξιος, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστρέψει.[2]»

XV. Εἰ οὖν ἡ εἰρήνη ἐπὶ τοὺς πέμψαντας αὐτὴν ἐπ' ἐκείνους πάλιν ἐπιστρέφει ἐπὶ τοὺς προηκαμένους αὐτὴν διὰ τὸ μὴ εὑρεῖν ἀξίους αὐτῆς, πολλῷ μᾶλλον ἡ κατάρα ἐπιστρέψει εἰς κεφαλὴν τοῦ ἀδίκως αὐτὴν ἐκπέμψαντος, ὡς οὐκ ἀξίου ὄντος τοῦ λαβεῖν αὐτὴν ἐκείνου, πρὸς ὅνπερ ἐξαπεστάλη. 2. πᾶς γὰρ ὁ μάτην λοιδορῶν ἑαυτὸν ἀρᾶται, καθά φησιν ὁ Σολομών· «Ὥσπερ ὄρνεα πέτονται καὶ στρουθοί, οὕτως ἀρὰ ματαία οὐκ ἐπελεύσεται ἐπ' οὐδενί[3]», καὶ πάλιν λέγει· «Οἱ δὲ ἐκφέροντες λοιδορίας ἀφρονέστατοί εἰσιν.[4]» 3. ὥσπερ δὲ ἡ μέλισσα ἐν τῇ δυνάμει αὐτῆς ἀσθενὴς οὖσα, ἐπὰν πλήξῃ τινά, τὸ κέντρον ἀποβάλλει καὶ γίνεται στεῖρα, τὸν αὐτὸν τρόπον καὶ ὑμεῖς, ὃ ἐὰν ποιήσητε ἄδικον εἰς ἑτέρους, τοῦτο εἰς ἑαυτοὺς ἐνεργήσετε. «Λάκκον» γὰρ «ὤρυξεν καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο[5]», καὶ πάλιν· «Ὁ ὀρύσσων βόθρον τῷ πλησίον αὐτοῦ ἐμπεσεῖται εἰς αὐτόν.[6]» οὐκοῦν ὁ φεύγων κατάραν ἕτερον μὴ καταράσθω· «Ὃ» γὰρ «μισεῖς σοὶ γενέσθαι, οὐδὲ ἄλλῳ ποιήσεις.[7]» 4. διὸ νουθετεῖτε τὰς ἀπειθεῖς, ἐπιπλήσσετε ταῖς ἀναισχύντοις, παρακαλεῖτε τὰς ὀλιγοψύχους, ἰσχυροποιεῖτε τὰς ἀσθενούσας, ἐπαινεῖτε τὰς ἐν ὁσιότητι ὁδευούσας· εὐλογείτωσαν μᾶλλον καὶ μὴ λοιδορείτωσαν, εἰρηνοποιείτωσαν καὶ μὴ πόλεμον ἐμποιείτωσαν. 5. μήτε οὖν ἐπίσκοπος μήτε πρεσβύτερος μήτε διάκονος μήτε ἄλλος τις ἐκ τοῦ καταλόγου τοῦ ἱερατικοῦ λοιδορίᾳ τὴν γλῶσσαν μολυνέτω, ἵνα μὴ ἀντὶ εὐλογίας κατάραν κληρονομήσῃ. ἔστω δὲ σπουδὴ καὶ ἐπιμέλεια τῷ ἐπισκόπῳ, ὅπως μηδὲ λαϊκὸς κατάραν ἐκφέρῃ· περὶ πάντων γὰρ αὐτῷ μέλειν ὀφείλει, περὶ κληρικῶν, περὶ παρθένων, περὶ χηρῶν, περὶ λαϊκῶν.

XVI. Διὰ τοῦτο, ὦ ἐπίσκοπε, τοὺς συνεργούς σου τῆς ζωῆς καὶ τῆς δικαιοσύνης ἐργάτας διακόνους εὐαρέστους θεῷ προχειρίζου, οὓς ἐκ παντὸς τοῦ λαοῦ δοκιμάζεις εἶναι ἀξίους καὶ εἰς τὰς τῆς διακονίας χρείας εὐσκύλτους. προχείρισαι δὲ καὶ διάκονον πιστὴν καὶ ἁγίαν εἰς τὰς τῶν γυναικῶν ὑπηρεσίας. ἔστι γάρ, ὁπόταν ἔν τισιν οἰκίαις ἄνδρα διάκονον γυναιξὶν οὐ δύνασαι πέμπειν διὰ τοὺς ἀπίστους· ἀποστελεῖς οὖν γυναῖκα διάκονον διὰ τὰς τῶν φαύλων διανοίας. 2. καὶ γὰρ εἰς πολλὰς χρείας γυναικὸς χρήζομεν διακόνου. καὶ πρῶτον μὲν ἐν τῷ φωτίζεσθαι γυναῖκας ὁ διάκονος χρίσει μὲν μόνον τὸ μέτωπον

1. Γεν. 27, 29. 2. Λουκ. 10, 5-6. 3. Παρμ. 26, 2. 4. Παρμ. 10, 18. 5. Ψαλμ. 7, 16. 6. Παρμ. 26, 27. 7. Τωβ. 4, 15.

αὐτῶν τῷ ἁγίῳ ἐλαίῳ, καὶ μετ' αὐτὸν ἡ διάκονος ἀλείψει αὐτάς· οὐ γὰρ ἀνάγκη τὰς γυναῖκας ὑπὸ ἀνδρῶν κατοπτεύεσθαι. 3. ἀλλὰ μόνον ἐν τῇ χειροθεσίᾳ τὴν κεφαλὴν αὐτῆς χρίσει ὁ ἐπίσκοπος, ὃν τρόπον οἱ ἱερεῖς καὶ οἱ βασιλεῖς τὸ πρότερον ἐχρίοντο· οὐχ ὅτι καὶ οἱ νῦν βαπτιζόμενοι ἱερεῖς χειροτονοῦνται, ἀλλ' ὡς ἀπὸ τοῦ Χριστοῦ Χριστιανοί, «βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον, ἐκκλησία θεοῦ, στῦλος καὶ ἑδραίωμα[1]» τοῦ νυμφῶνος, οἵ ποτε οὐ λαός, νῦν δὲ ἠγαπημένοι καὶ ἐκλεκτοί. 4. σὺ οὖν, ὦ ἐπίσκοπε, ἐκείνῳ τῷ τύπῳ χρίσεις τὴν κεφαλὴν τῶν βαπτιζομένων, εἴτε ἀνδρῶν εἴτε γυναικῶν, τῷ ἁγίῳ ἐλαίῳ εἰς τύπον τοῦ πνευματικοῦ βαπτίσματος· ἔπειτα ἢ σὺ ὁ ἐπίσκοπος ἢ ὁ ὑπὸ σὲ πρεσβύτερος τὴν ἱερὰν ἐπ' αὐτοῖς εἰπὼν καὶ ἐπονομάσας ἐπίκλησιν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος βαπτίσεις αὐτοὺς ἐν τῷ ὕδατι· καὶ τὸν μὲν ἄνδρα ὑποδεχέσθω ὁ διάκονος, τὴν δὲ γυναῖκα ἡ διάκονος, ὅπως σεμνοπρεπῶς ἡ μετάδοσις τῆς ἀθραύστου σφραγῖδος γένηται· καὶ μετὰ τοῦτο ὁ ἐπίσκοπος χριέτω τοὺς βαπτισθέντας τῷ μύρῳ.

XVII. Ἔστι τοίνυν τὸ μὲν βάπτισμα εἰς τὸν θάνατον τοῦ Ἰησοῦ διδόμενον,[2] τὸ δὲ ὕδωρ ἀντὶ ταφῆς, τὸ ἔλαιον ἀντὶ πνεύματος ἁγίου, ἡ σφραγὶς ἀντὶ τοῦ σταυροῦ, τὸ μύρον βεβαίωσις τῆς ὁμολογίας· 2 τοῦ πατρὸς ἡ μνήμη ὡς αἰτίου καὶ ἀποστολέως, τοῦ πνεύματος ἡ συμπαράληψις ὡς μάρτυρος· 3. ἡ κατάδυσις τὸ συναποθανεῖν, ἡ ἀνάδυσις τὸ συναναστῆναι· 4. πατὴρ ὁ ἐπὶ πάντων θεός, Χριστὸς ὁ μονογενὴς θεός, ὁ ἀγαπητὸς υἱός, ὁ τῆς δόξης κύριος, πνεῦμα ἅγιον ὁ παράκλητος τὸ ὑπὸ Χριστοῦ πεμπόμενον καὶ ὑπ' ἐκείνου διδασκόμενον καὶ ἐκεῖνον κηρύττον.

XVIII. Ὁ δὲ βαπτιζόμενος ὑπαρχέτω ἀλλότριος ἀσεβείας πάσης, ἀνενέργητος πρὸς ἁμαρτίαν, φίλος θεοῦ, ἐχθρὸς διαβόλου, κληρονόμος πατρός, συγκληρονόμος δὲ τοῦ υἱοῦ αὐτοῦ, ἀποτεταγμένος τῷ σατανᾷ καὶ τοῖς δαίμοσιν καὶ ταῖς ἀπάταις αὐτοῦ, ἁγνός, καθαρός, ὅσιος, θεοφιλής, υἱὸς τοῦ θεοῦ, προσευχόμενος ὡς υἱὸς πατρὶ καὶ λέγων ὡς ἀπὸ κοινοῦ τοῦ τῶν πιστῶν συναθροίσματος οὕτως· 2. «Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.[3]»

XIX. Ἔστωσαν δὲ καὶ οἱ διάκονοι ἐν πᾶσιν ἄμωμοι ὡς καὶ ὁ ἐπίσκοπος, μόνον δὲ εὐσκυλτότεροι, ἀνάλογοι πρὸς τὸ πλῆθος τῆς ἐκκλησίας, ἵνα καὶ τοῖς ἀδυνάτοις ὑπηρετεῖσθαι δύνωνται ὡς «ἐργάται ἀνεπαίσχυντοι.[4]» καὶ ἡ μὲν γυνὴ τὰς γυναῖκας σπουδάζουσα θεραπεύειν,

1. Α' Πέτρ. 2, 9. Α' Τιμ. 3, 15. 2. Πρβλ. Ῥωμ. 6,3. 3. Ματθ. 6, 9-13. 4. Β' Τιμ. 2, 15.

ἀμφότεροι δὲ τὰ πρὸς ἀγγελίαν, ἐκδημίαν, ὑπηρεσίαν, δουλείαν, ὡς καὶ περὶ τοῦ κυρίου Ἡσαΐας ἔλεγεν φάσκων· «Δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς.[1]» 2. ἕκαστος οὖν τὸν ἴδιον γνωριζέτω τόπον καὶ ἐκτελείτω αὐτὸν σπουδαίως, ὁμοφρόνως, ὁμοψύχως, γινώσκοντες τὸν τῆς διακονίας μισθόν. 3. ἔστωσαν δὲ καὶ ἀνεπαίσχυντοι εἰς τὸ ὑπηρετεῖσθαι τοῖς δεομένοις, ὡς καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς «οὐκ ἦλθεν διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν·[2]» οὕτως οὖν καὶ αὐτοὺς δεῖ ποιεῖν. κἂν δέῃ ψυχὴν ὑπὲρ ἀδελφοῦ ἀποθέσθαι, μὴ διστάσωσιν· οὐδὲ γὰρ ὁ κύριος καὶ σωτὴρ ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐδίστασεν «τὴν ψυχὴν αὐτοῦ θείς», ὡς αὐτὸς ἔφη, «ὑπὲρ τῶν φίλων αὐτοῦ.[3]» 4. εἰ οὖν ὁ κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς πάντα ὑπέμεινεν δι' ἡμᾶς, πῶς ἂν ὑμεῖς διακονῆσαι τοῖς δεομένοις ἐνδοιάσητε, μιμηταὶ ὀφείλοντες αὐτοῦ εἶναι τοῦ καὶ δουλείαν καὶ ἔνδειαν καὶ πληγὰς καὶ σταυρὸν δι' ἡμᾶς ὑπομείναντος; χρὴ οὖν καὶ ὑμᾶς δουλεύειν τοῖς ἀδελφοῖς ὡς Χριστοῦ μιμητάς· «Ὁ θέλων» γάρ, φησίν, «ἐν ὑμῖν εἶναι μέγας ἔστω ὑμῶν διάκονος, καὶ ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος ἔστω ὑμῶν δοῦλος.[4]» 5. οὕτω γὰρ καὶ αὐτὸς ἔργῳ πεπλήρωκεν τὸ «εὖ δουλεύειν πολλοῖς[5]», καὶ οὐ λόγῳ. «λαβὼν» γὰρ «λέντιον διεζώσατο, εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα», καὶ ἡμῶν ἀνακειμένων ἐπελθὼν πάντων ἡμῶν «ἔνιψεν τοὺς πόδας καὶ τῷ λεντίῳ ἐξέμαξεν·[6]» τοῦτο δὲ ποιῶν ἐπεδείκνυεν ἡμῖν τὸ τῆς φιλαδελφίας ἀγαπητικόν, «ἵνα καὶ ἡμεῖς εἰς ἀλλήλους αὐτὸ ποιῶμεν.[7]» εἰ οὖν ὁ κύριος ἡμῶν καὶ διδάσκαλος οὕτως ἐταπείνωσεν ἑαυτόν, πῶς ἂν ὑμεῖς ἐπαισχυνθήσεσθε τοῦτο ποιῆσαι τοῖς ἀδυνάτοις καὶ ἀσθενέσιν τῶν ἀδελφῶν, ἐργάται ὄντες ἀληθείας καὶ τῆς εὐσεβείας προστάται; 6. ἐξυπηρετεῖτε οὖν ἀγαπητικῶς, μὴ ἐπιγογγύζοντες μηδὲ διαστασιάζοντες· οὐ γὰρ δι' ἄνθρωπον ποιεῖτε, ἀλλὰ διὰ τὸν θεόν, καὶ τὸν μισθὸν τῆς διακονίας παρ' ἐκείνου ἀπολήψεσθε ἐν ἡμέρᾳ ἐπισκοπῆς ὑμῶν. 7. χρὴ οὖν ὑμᾶς τοὺς διακόνους ἐπισκέπτεσθαι πάντας τοὺς δεομένους ἐπισκέψεως, καὶ περὶ τῶν θλιβομένων ἀναγγέλλετε τῷ ἐπισκόπῳ ὑμῶν· ψυχὴ γὰρ αὐτοῦ καὶ αἴσθησις εἶναι ὀφείλετε, εὔσκυλτοι καὶ εὐήκοοι εἰς πάντα ὄντες αὐτῷ ὡς ἐπισκόπῳ ὑμῶν καὶ πατρὶ καὶ διδασκάλῳ.

XX. Ἐπίσκοπον δὲ προστάσσομεν χειροτονεῖσθαι ὑπὸ τριῶν ἐπισκόπων ἢ τὸ γοῦν ἔλαττον ὑπὸ δύο, μὴ ἐξεῖναι δὲ ὑπὸ ἑνὸς ὑμῖν καθίστασθαι, «ἡ γὰρ τῶν δύο καὶ τριῶν μαρτυρία[8]» βεβαιοτέρα καὶ «ἀσφαλής·» πρεσβύτερον δὲ καὶ διάκονον ὑπὸ ἑνὸς ἐπισκόπου καὶ τὸν λοιπὸν κλῆρον· 2. μήτε δὲ πρεσβύτερον μήτε διάκονον χειροτονεῖν ἐκ λαϊκῶν κληρικούς, ἀλλὰ μόνον τὸν μὲν πρεσβύτερον διδάσκειν, ἀναφέρειν, βαπτίζειν, εὐλογεῖν τὸν λαόν, τὸν δὲ διάκονον ἐξυπηρετεῖσθαι τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις, τοῦτ' ἔστι διακονεῖν, οὐ μὴν καὶ τὰ λοιπὰ ἐνεργεῖν.

---

1. Ἠσ. 53, 11. 2. Ματθ. 20, 28. 3. Ἰω. 15, 13. 4. Ματθ. 20, 27. 5. Ἠσ. 53, 11. 6. Ἰω. 13, 4-5. 7. Ἰω. 13, 14. 8. Ἰω. 8, 17. Ματθ. 18, 16.

ΒΙΒΛΙΟΝ Δ'

ΠΕΡΙ ΟΡΦΑΝΩΝ

I. Ὀρφανοῦ δέ τινος γενομένου Χριστιανοῦ ἤτοι παιδὸς ἢ παρθένου, καλὸν μέν, ἐάν τις τῶν ἀδελφῶν οὐκ ἔχων τέκνον προσλαβόμενος τοῦτο ἔχῃ εἰς παιδὸς τόπον, τὴν δὲ παρθένον ὁ ἔχων υἱὸν δυνάμενον αὐτῇ ταῖς τοῦ γάμου ὥραις συγχρονίσαι συζεύξῃ· τοῦτο γὰρ οἱ ποιοῦντες ἔργον μέγα ἐπιτελοῦσιν, ὀρφανῶν πατέρες ὑπάρξαντες, καὶ παρὰ κυρίου τοῦ θεοῦ λήψονται τὸν μισθὸν τῆς διακονίας ταύτης. 2. εἰ δέ τινες οὐκ εἰσὶ τοιοῦτοι, ἀλλὰ κατὰ ἀνθρωπαρέσκειαν περιπατῶν ἐπαισχύνοιτο πλούσιος ὢν τὰ τῆς ὀρφανίας μέλη, τοῦ μὲν ὀρφανοῦ πρόνοιαν ποιήσεται «ὁ πατὴρ τῶν ὀρφανῶν καὶ κριτὴς τῶν χηρῶν [1]», αὐτῷ δὲ ἐμπεσεῖται τοιοῦτος, ὅστις αὐτοῦ δαπανήσει τὴν φειδώ, καὶ γενήσεται ἐπ' αὐτῷ τὸ εἰρημένον· «Ἃ οὐκ ἔφαγον ἅγιοι, ταῦτα φάγονται Ἀσσύριοι [2]», καθὼς καὶ Ἡσαΐας λέγει· «Τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν.[3]»

II. Ὑμεῖς οὖν, ὦ ἐπίσκοποι, μεριμνήσατε περὶ τῆς ἀνατροφῆς αὐτῶν, μηδὲν ἐλλείποντες αὐτοῖς, τοῖς μὲν ὀρφανοῖς παρέχοντες τὰ γονέων, ταῖς δὲ χήραις τὰ ἀνδρῶν, τοῖς ἀκμαίοις τοὺς γάμους, τεχνίτῃ ἔργον, ἀδρανεῖ ἔλεος, ξένοις στέγος, πεινῶσι ψωμόν, διψῶσι ποτόν, γυμνοῖς ἔνδυμα, νοσοῦσι θέαν, φυλακίταις βοήθειαν. 2. πρὸς τούτοις πλείων ὑμῖν ἔστω φροντὶς περὶ τῶν ἐν ὀρφανίᾳ, ὅπως αὐτοῖς μηδὲν ἐνδέῃ, τῇ μὲν παρθένῳ μέχρις ἂν ἔλθῃ εἰς ὥραν γάμου καὶ ἐκδῶτε αὐτὴν ἀδελφῷ, τῷ δὲ παιδὶ χορηγίαν πρὸς τὸ καὶ τέχνην ἐκμαθεῖν καὶ διατρέφεσθαι ἐκ τῆς ἐπιχορηγίας, ἵνα, ὅταν δεξιῶς τὴν τέχνην κατορθώσῃ, τὸ τηνικαῦτα δύνηται καὶ τὰ τῆς τέχνης ἐργαλεῖα ἑαυτῷ πρίασθαι, ὅπως μηκέτι βαρύνῃ τὴν τῶν ἀδελφῶν ἀνυπόκριτον εἰς αὐτὸν ἀγάπην, ἀλλ' ἑαυτῷ ἐπιχορηγῇ.

III. Καὶ γὰρ ἀληθῶς μακάριός ἐστιν, ὃς ἂν δυνάμενος βοηθεῖν ἑαυτῷ μὴ θλίβῃ τόπον ὀρφανοῦ ξένου τε καὶ χήρας, ἐπεὶ καὶ ὁ κύριος «μακάριον εἶπεν εἶναι τὸν διδόντα ἤπερ τὸν λαμβάνοντα.[4]» 2. καὶ γὰρ εἴρηται πάλιν ὑπ' αὐτοῦ· «Οὐαὶ τοῖς ἔχουσιν καὶ ἐν ὑποκρίσει λαμβάνουσιν, ἢ δυναμένοις βοηθεῖν ἑαυτοῖς καὶ λαμβάνειν παρ' ἑτέρων βουλομένοις· ἑκάτερος γὰρ ἀποδώσει λόγον κυρίῳ τῷ θεῷ ἐν ἡμέρᾳ κρίσεως.[5]» 3. ὁ μὲν γὰρ δι' ἡλικίαν ὀρφανίας ἢ γήρως ἀτονίαν ἢ νόσου πρόσπτωσιν ἢ τέκνων πολυτροφίαν λαμβάνων, ὁ τοιοῦτος οὐ μόνον οὐ μεμφθήσεται, ἀλλὰ καὶ ἐπαινεθήσεται· θυσιαστήριον γὰρ τῷ θεῷ

---

1. Ψαλμ. 67, 6. 2. Γραφικόν; 3. Ἡσ. 1, 7. 4. Πράξ. 20, 36. 5. Γραφικόν;

λελογισμένος ὑπὸ τοῦ θεοῦ τιμηθήσεται ἀόκνως ὑπὲρ τῶν διδόντων αὐτῷ διηνεκῶς προσευχόμενος, οὐκ ἀργῶς λαμβάνων, ἀλλὰ τῆς δόσεως αὐτοῦ, ὅση δύναμις, τὸν μισθὸν διδοὺς διὰ τῆς προσευχῆς· ὁ τοιοῦτος οὖν ἐν τῇ αἰωνίῳ ζωῇ ὑπὸ θεοῦ μακαρισθήσεται.

IV. Ὁ δὲ ἔχων καὶ ἐν ὑποκρίσει λαμβάνων ἢ δι' ἀργίαν, ἀντὶ τοῦ ἐργαζόμενον βοηθεῖν καὶ ἑτέροις, δίκην ὀφλήσει τῷ θεῷ, ὅτι «πενήτων ἥρπασε ψωμόν.[1]» 2. ὁ γὰρ ἔχων ἀργύρια καὶ μὴ μεταδιδοὺς ἑτέροις μήτε μὴν αὐτὸς χρώμενος τόπον ὄφεως κεκλήρωται, ὃν φασιν ἐπὶ τοῖς θησαυροῖς καθεύδειν, καὶ ἔστιν καὶ ἐπ' αὐτῷ ἀληθὴς ἡ γραφὴ ἡ φάσκουσα· «Συνήγαγεν πλοῦτον, ἐξ οὗ οὐ γεύσεται[2]», καὶ οὐδὲν αὐτῷ ὄφελος ὀλλυμένῳ παρὰ τῆς δίκης· «Οὐκ ὠφελήσει» γάρ, φησὶν «ὑπάρχοντα ἐν ἡμέρᾳ ὀργῆς.[3]» 3. ὁ γὰρ τοιοῦτος οὐ τῷ θεῷ πεπίστευκεν, ἀλλὰ τῷ ἑαυτοῦ χρυσίῳ, θεὸν τοῦτο ἡγούμενος καὶ ἐπ' αὐτῷ πεποιθώς· ὑποκριτὴς ἀληθείας ὁ τοιοῦτος, προσωπολήπτης, ἄπιστος, εἴρων, δειλός, ἄνανδρος, κοῦφος, εὐχερής, μεμψίμοιρος, ἐπώδυνος, ἑαυτοῦ ἐχθρὸς καὶ οὐδενὸς φίλος. 4. τούτου τὰ χρήματα ὀλεῖται καὶ «ἀνὴρ ξένος ἔδεται αὐτά[4]», ἢ ζῶντος ὑφελόμενος ἢ θανόντος καρπωσάμενος· «πλοῦτος» γὰρ «ἀδίκως συναγόμενος ἐξεμεθήσεται.[5]»

V. Παραινοῦμεν οὖν ταῖς χήραις καὶ τοῖς ὀρφανοῖς μετὰ παντὸς φόβου καὶ πάσης εὐλαβείας μεταλαμβάνειν τῶν αὐτοῖς χορηγουμένων, καὶ εὐχαριστεῖν τῷ θεῷ «τῷ διδόντι τοῖς πεινῶσι τροφὴν» καὶ ἐπ' αὐτῷ τοὺς ὀφθαλμοὺς ἐκτείνειν. 2. «Τίς» γάρ, φησίν, «ὑμῶν φάγεται ἢ τίς πίεται παρὲξ αὐτοῦ;[6]» αὐτὸς γὰρ «ἀνοίγει τὴν χεῖρα αὐτοῦ καὶ ἐμπιπλᾷ πᾶν ζῷον εὐδοκίας, σῖτον νεανίσκοις καὶ οἶνον παρθένοις καὶ ἔλαιον εἰς εὐφροσύνην τῶν ζώντων, χόρτον τοῖς κτήνεσιν καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων[7]», κρέα τοῖς θηρίοις, σπέρματα τοῖς ὀρνέοις καὶ πᾶσι τὴν πρόσφορον τροφήν. 3. διό φησιν καὶ ὁ κύριος· «Καταμάθετε τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; μὴ οὖν μεριμνήσητε λέγοντες· τί φάγομεν ἢ τί πίομεν; οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν, ὅτι χρῄζετε τούτων ἁπάντων.[8]» 4. τοσαύτης οὖν τῆς παρ' αὐτοῦ προνοίας ἀπολαύοντες καὶ τῶν παρ' αὐτοῦ μεταλαμβάνοντες ἀγαθῶν, αἶνον ἀναπέμπειν ὀφείλετε τῷ «ὀρφανὸν καὶ χήραν ἀναλαμβάνοντι[9]» παντοκράτορι θεῷ διὰ τοῦ ἠγαπημένου υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, δι' οὗ ἡ δόξα τῷ θεῷ ἐν πνεύματι καὶ ἀληθείᾳ εἰς τοὺς αἰῶνας ἀμήν.

VI. Χρὴ δὲ τὸν ἐπίσκοπον εἰδέναι, τίνων ὀφείλει δέχεσθαι καρποφορίας καὶ τίνων οὐκ ὀφείλει. 2. φυλακτέοι γὰρ αὐτῷ πρὸς δόσιν κάπηλοι· «οὐ δικαιωθήσεται» γὰρ «κάπηλος ἀπὸ ἁμαρτίας.[10]» περὶ

1. Ἰὼβ 22, 7. 2. Ἰὼβ 20, 18. 3. Παρμ. 11, 4. 4. Ἐκκλ. 6, 2. 5. Ἰὼβ 20, 15. 6. Ἐκκλ. 2. 25. 7. Ψαλμ. 144, 16. Ζαχ. 9, 17. Ψαλμ. 103, 14-15. 8. Ματθ. 6, 26, 31, 32. 9. Ψαλμ. 145, 9. 10. Σοφ. Σειρ. 26, 29.

αὐτῶν γάρ που καὶ Ἡσαΐας ὀνειδίζων τὸν Ἰσραὴλ ἔλεγεν· «Οἱ κάπηλοί σου μίσγουσιν τὸν οἶνον ὕδατι.[1]» 3. φευκτέοι δ' αὐτῷ καὶ πόρνοι, «οὐ προσοίσεις» γὰρ «τῷ κυρίῳ μίσθωμα πόρνης·[2]» καὶ ἅρπαγες καὶ τῶν ἀλλοτρίων ἐπιθυμηταὶ καὶ μοιχοί, βδελυκταὶ γὰρ αἱ τούτων θυσίαι τῷ θεῷ. 4. ἀλλὰ καὶ οἱ ἐκθλίβοντες χήραν καὶ ὀρφανὸν καταδυναστεύοντες καὶ τὰς φυλακὰς πληροῦντες ἀναιτίων ἢ καὶ τοῖς ἑαυτῶν οἰκέταις πονηρῶς χρώμενοι, πληγαῖς φημι καὶ λιμῷ καὶ κακοδουλίᾳ, ἢ καὶ πόλεις ὅλας λυμαινόμενοι φευκτέοι ἔστωσάν σοι, ὦ ἐπίσκοπε, καὶ αἱ τούτων προσφοραὶ μυσαραί. 5. παραιτήσῃ δὲ καὶ ῥᾳδιουργοὺς καὶ ῥήτορας ἀδικίᾳ συναγωνιζομένους καὶ εἰδωλοποιοὺς καὶ κλέπτας καὶ τελώνας ἀδίκους καὶ ζυγοκρούστας καὶ δολομέτρας, καὶ στρατιώτην συκοφάντην, μὴ «ἀρκούμενον τοῖς ὀψωνίοις, ἀλλὰ τοὺς πένητας διασείοντα[3]», φονέα τε καὶ δήμιον καὶ δικαστὴν παράνομον, πραγμάτων ἀνατροπέα, ἀνθρώπων ἐπίβουλον, μιαρῶν ἐργάτην, μέθυσον, βλάσφημον, κίναιδον, τοκογλύφον, καὶ παντὸς ἑτέρου πονηροῦ καὶ τῇ γνώμῃ τοῦ θεοῦ διαμαχομένου, ὅτι λέγει ἡ γραφὴ «βδελυκτοὺς εἶναι παρὰ θεῷ[4]» πάντας τοὺς τοιούτους. 6. οἱ γὰρ παρὰ τοιούτων δεχόμενοι καὶ τρέφοντες χήρας καὶ ὀρφανοὺς ὑπεύθυνοι τῷ κριτηρίῳ τοῦ θεοῦ γενήσονται, ὥσπερ καὶ Ἀδωνίας ὁ ἐν ταῖς Βασιλείοις προφήτης παρακούσας θεοῦ καὶ φαγὼν ἄρτον καὶ πιὼν ὕδωρ ἐν τῷ τόπῳ ᾧ ἀπεῖπεν αὐτῷ ὁ κύριος διὰ τὴν τοῦ Ἱεροβοὰμ ἀσέβειαν, καὶ ὑπὸ λέοντος ἀναιρεθείς.[5] 7. ὁ γὰρ ἐκ κόπου διακονούμενος ἄρτος χήραις δίκαιος μᾶλλον, κἂν ᾖ βραχὺς καὶ ὀλίγος, ἢ ὁ ἐξ ἀδικίας καὶ συκοφαντίας, κἂν ᾖ πολὺς καὶ ἐξησκημένος· λέγει γὰρ ἡ γραφή· «Κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν.[6]» 8. εἰ δὲ καὶ ἐξ ἀσεβῶν φαγοῦσα χήρα καὶ ἐμπλησθεῖσα προσεύξεται ὑπὲρ αὐτῶν, οὐκ εἰσακουσθήσεται, ὅτι ὁ καρδιογνώστης θεὸς μετὰ κρίσεως ἀπεφήνατο περὶ τῶν ἀσεβῶν λέγων· «Ἐὰν στῇ Μωσῆς καὶ Σαμουὴλ πρὸ προσώπου μου ὑπὲρ αὐτῶν, οὐκ εἰσακούσομαι αὐτῶν· καὶ σὺ μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου καὶ μὴ ἀξίου ἐλεηθῆναι αὐτοὺς καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν, ὅτι οὐκ εἰσακούσομαί σου.[7]» 9. οὐ μὴν δὲ ἀλλὰ καὶ οἱ ἐν ἁμαρτίαις γενόμενοι καὶ μὴ μεταγνόντες οὐ μόνον οὐκ εἰσακουσθήσονται προσευχόμενοι, ἀλλὰ καὶ τὸν θεὸν παροξυνοῦσιν ὑπομιμνήσκοντες αὐτὸν τῆς ἑαυτῶν μοχθηρίας.

VII. Περιΐστασθε οὖν τὰς τοιαύτας διακονίας ὡς «ἄλλαγμα κυνὸς καὶ μίσθωμα πόρνης·[8]» ἑκάτερα γὰρ τοῖς νόμοις ἀπηγόρευται. 2. οὔτε γὰρ Ἐλισσαῖος τὰ παρὰ τοῦ Ἀζαὴλ προσκομισθέντα ἐδέξατο,[9] οὔτε Ἀχίας τὰ παρὰ τοῦ Ἱεροβοάμ·[10] εἰ δὲ οἱ τοῦ θεοῦ προφῆται τὰ παρὰ τῶν ἀσεβῶν οὐ προσήκαντο ξένια, δίκαιον μήτε ὑμᾶς, ὦ ἐπίσκοποι. ἀλλὰ

---

1. Ἡσ. 1, 22. 2. Δευτ. 23, 18. 3. Λουκ. 3, 14. 4. Παρμ. 17, 15. 5. Πρβλ. Γ' Βασ. 13, 1 ἑξ. 6. Ψαλμ. 36, 16. 7. Ἱερ. 15, 1· 7, 16. 8. Δευτ. 23, 18. 9. Δ' Βασ. 8, 1 ἑξ. 10. Γ' Βασ. 14, 1 ἑξ.

καὶ «Σίμων» ὁ μάγος ἐμοὶ Πέτρῳ καὶ Ἰωάννῃ «χρήματα προσενεγκὼν ἐπειρᾶτο ὠνητὴν τὴν ἀτίμητον χάριν λήψεσθαι· ἅπερ μὴ προσηκάμενοι ἀραῖς αἰωνίοις αὐτὸν ἐδησάμεθα, «ὅτι τὴν δωρεὰν τοῦ θεοῦ» οὐκ εὐνοίᾳ τῇ πρὸς θεόν, ἀλλὰ «χρημάτων ἐναλλαγῇ ἐνόμισεν κτᾶσθαι.»[1] 3. φεύγετε οὖν τὰς δυσσυνειδήτους εἰς τὸ θυσιαστήριον τοῦ θεοῦ εἰσφοράς· «Ἀπέχου» γάρ, φησίν, «ἀπὸ ἀδίκου, καὶ οὐ φοβηθήσῃ καὶ τρόμος οὐκ ἐγγιεῖ σοι.[2]»

VIII. Ἀλλ' ἐὰν λέγητε, ὅτι οἱ διδόντες τὰς ἐλεημοσύνας οὗτοί εἰσιν, κἂν μὴ λάβωμεν παρ' αὐτῶν, πόθεν αἱ χῆραι ὑπηρετηθήσονται παρ' ἡμῶν καὶ οἱ ἐνδεεῖς τοῦ λαοῦ; ἀκούσεσθε παρ' ἡμῶν, ὅτι διὰ τοῦτο ἐλάβετε δόματα λευιτῶν, τὴν καρποφορίαν τοῦ ἐν ὑμῖν λαοῦ, ἵνα ἐπαρκῆτε καὶ ἑαυτοῖς καὶ τοῖς δεομένοις, καὶ μὴ ἐνδείᾳ συνεχόμενοι παρὰ πονηρῶν λαμβάνητε. 2. εἰ δὲ οὕτως ἀποροῦσιν αἱ ἐκκλησίαι, λυσιτελεῖ διαφθαρῆναι, ἢ παρ' ἐχθρῶν τοῦ θεοῦ λαβεῖν τι ἐφ' ὕβρει καὶ χλεύῃ τῶν αὐτοῦ φίλων· περὶ γὰρ τῶν τοιούτων καὶ ὁ προφήτης λέγει· «Ἔλαιον ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.[3]» 3. δοκιμασταὶ οὖν γίνεσθε τῶν τοιούτων· καὶ παρὰ μὲν τῶν ὁσίως περιπατούντων λαμβάνετε καὶ τοῖς θλιβομένοις χορηγεῖτε, παρὰ δὲ ἀποσυναγώγων μὴ λαμβάνετε, πρὶν ἂν τῆς ἐκκλησίας εἶναι μέλη καταξιωθῶσιν. 4. εἰ δὲ ἐπιλείποι δόμα, προσάγγελλε τοῖς ἀδελφοῖς, καὶ ἐξ αὐτῶν συλλογὴν ποιησάμενος διακόνει τοῖς ὀρφανοῖς καὶ ταῖς χήραις ἐν δικαιοσύνῃ.

IX. Λέγε δὲ τῷ ὑπὸ σὲ λαῷ ἃ καὶ Σολομὼν ὁ σοφός· «Τίμα τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης, ἵνα πιμπλᾶται τὰ ταμιεῖά σου πλησμονῆς σίτου, οἴνῳ δὲ αἱ ληνοί σου ἐκβλύζωσιν.[4]» 2. ἐκ τοῦ δικαίου οὖν κόπου τῶν πιστῶν τρέφετε καὶ ἀμφιέννυτε τοὺς ὑστερουμένους, καὶ τὰ ἐξ αὐτῶν, ὡς προειρήκαμεν, ἀθροιζόμενα χρήματα διατάσσετε διακονοῦντες εἰς τοὺς ἀγορασμοὺς τῶν ἁγίων, ῥυόμενοι δούλους, αἰχμαλώτους, δεσμίους, ἐπηρεαζομένους, ἥκοντας ἐκ καταδίκης διὰ τὸ ὄνομα τοῦ Χριστοῦ ὑπὸ τυράννων εἰς μονομαχίαν καὶ θάνατον· λέγει γὰρ ἡ γραφή· «Ῥῦσαι ἀγομένους εἰς θάνατον καὶ ἐκπρίου κτεινομένους, μὴ φείσῃ.[5]»

X. Ἐὰν δέ ποτε ἀνάγκη γένηται παρά τινος δέξασθαι ἀνοσίου ἄκοντας ἀργύριον, εἰς ξύλα καὶ ἀνθρακιὰν αὐτὸ δαπανήσατε, ἵνα μὴ λαβοῦσα ἡ χήρα ἐξ αὐτοῦ τι ἢ ὁ ὀρφανὸς ἀναγκασθῇ ὠνήσασθαι τροφὴν ἢ πόμα παρὰ τὸ προσῆκον· δίκαιον γὰρ τὰ παρὰ τῶν ἀσεβῶν ταῦτα πυρὸς εἶναι κατανάλωμα, οὐκ εὐσεβῶν βρῶμα. 2. ταῦτα δὲ καὶ ὁ νόμος διαγορεύει, θυσίαν ὀψισθεῖσαν ἄβρωτον ἀποκαλῶν καὶ πυρὶ ταύτην ἀναλίσκεσθαι κελεύων.[6] 3. οὐ γὰρ τῇ φύσει φαῦλα τὰ προσφερόμενα, ἀλλὰ τῇ γνώμῃ τῶν προσκομιζόντων αὐτά. 4. τοῦτο δὲ προσ-

---

1. Πράξ. 8, 18-20. 2. Ἡσ. 54, 14. 3. Ψαλμ. 140, 5. 4. Παρμ. 3, 9-10. 5. Παρμ. 24, 11. 6. Πρβλ. Λευϊτ. 19, 6.

τάσσομεν ἐπὶ τῷ μὴ ἀποστρέφειν τοὺς πλησιάζοντας ὑμῖν, εἰδότες καὶ τὴν συντυχίαν πολλάκις ἐπωφελῆ τοῖς ἀσεβέσιν γεγενῆσθαι τὴν πρὸς τοὺς εὐσεβεῖς, ἐπιβλαβῆ δὲ μόνην τὴν κατὰ τὴν θρησκείαν κοινωνίαν. 5. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον, ἀγαπητοί, εἰρήσθω ὑμῖν πρὸς ἀσφάλειαν ὑμῶν.

XI. «Οἱ μέντοι πατέρες παιδεύετε τὰ τέκνα ὑμῶν ἐν κυρίῳ, ἐκτρέφοντες αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου[1]», καὶ διδάσκετε αὐτὰ ἐπιτηδείους καὶ ἁρμοζούσας τῷ λόγῳ τέχνας, ἵνα μὴ διὰ τῆς εὐκαιρίας στρηνιάσαντα καὶ ἀνεπιτίμητα ὑπὸ τῶν γονέων μείναντα, πρὸ ὥρας ἀνέσεως τυχόντα, ἀφηνιάσωσιν τοῦ καλοῦ. 2. διὸ μὴ εὐλαβεῖσθε αὐτοῖς ἐπιπλήσσειν, σωφρονίζοντες αὐτὰ μετὰ ἐμβριθείας· οὐ γὰρ ἀποκτενεῖτε αὐτὰ παιδεύοντες, μᾶλλον δὲ σώσετε αὐτά, καθώς που καὶ ὁ Σολομὼν ἐν τῇ Σοφίᾳ φησίν· «Παίδευε υἱόν σου, καὶ ἀναπαύσει σε· οὕτως γὰρ ἔσται σοι εὔελπις· σὺ μὲν γὰρ ῥάβδῳ πατάξεις αὐτόν, τὴν δὲ ψυχὴν αὐτοῦ ῥύσῃ ἐκ θανάτου.[2]» 3. καὶ πάλιν λέγει ὁ αὐτὸς οὕτως· «Ὃς φείδεται τῆς ἑαυτοῦ βακτηρίας, μισεῖ τὸν ἑαυτοῦ υἱόν[3]», καὶ ἑξῆς· «Κλάσον τὰς πλευρὰς αὐτοῦ, ὡς ἐστὶν νήπιος, μήποτε σκληρυνθεὶς ἀπειθήσῃ σοι.[4]» ὃς φείδεται οὖν παραινεῖν καὶ σωφρονίζειν τὸν ἑαυτοῦ υἱόν, μισεῖ τὸν ἴδιον παῖδα. 4. ἐκδιδάσκετε οὖν ὑμῶν τὰ τέκνα τὸν λόγον κυρίου, στύφετε δὲ αὐτὰ καὶ δαρμοῖς καὶ ποιεῖτε ὑποτακτικά, «ἀπὸ βρέφους διδάσκοντες αὐτὰ ἱερὰ γράμματα[5]», ἡμέτερά τε καὶ θεῖα, καὶ πᾶσαν γραφὴν θείαν παραδιδόντες αὐτοῖς, ἄνεσιν αὐτοῖς μὴ διδόντες κατεξουσιάζειν ὑμῶν παρὰ τὴν ὑμετέραν γνώμην, μετὰ ὁμηλίκων εἰς συμπόσιον μὴ ἐῶντες αὐτὰ συμβάλλειν· οὕτω γὰρ εἰς ἀταξίαν ἐκτραπήσονται καὶ εἰς πορνείαν περιπεσοῦνται. 5. καὶ ἐὰν παρὰ τὴν τῶν γονέων ἀμέλειαν τοῦτο πάθωσιν, ἔνοχοι τῶν ψυχῶν αὐτῶν οἱ γεννήσαντες ὑπάρξουσιν· εἰ γὰρ τῇ τῶν γονέων ῥαθυμίᾳ σύνεισιν ἀκολάστοις, οἱ παῖδες ἁμαρτήσαντες οὐκ αὐτοὶ μόνοι κολασθήσονται, ἀλλὰ καὶ ὑπὲρ αὐτῶν οἱ γονεῖς αὐτῶν κριθήσονται. 6. διὰ τοῦτο σπουδάζετε ὥρᾳ γάμου ζευγνύναι καὶ συναλλάσσειν αὐτά, ἵνα μὴ τῆς ἡλικίας ἐν τῇ ἀκμῇ ζεούσης ἔθη πορνοκόπα ἀποβῇ, καὶ ὑμεῖς ἀπαιτηθήσεσθε τὸν λόγον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ὑπὸ κυρίου τοῦ θεοῦ.

XII. Περὶ δὲ οἰκετῶν τί ἂν εἴποιμεν πλεῖον, ἢ ὅτι καὶ ὁ δοῦλος εὔνοιαν εἰσφερέτω πρὸς τὸν δεσπότην μετὰ φόβου θεοῦ, κἂν ἀσεβὴς κἂν πονηρὸς ὑπάρχῃ, οὐκέτι μέντοι καὶ ὁμόνοιαν κατὰ τὴν θρησκείαν. 2. καὶ ὁ δεσπότης ἀγαπάτω τὸν οἰκέτην, κἂν διάφορος ᾖ, τὸ ἴσον κρινέτῳ ᾗ ἄνθρωπος ὑπάρχει. 3. ὁ δὲ πιστὸν ἔχων δεσπότην, σωζομένης αὐτῷ τῆς κυρίας, ἀγαπάτω καὶ ὡς δεσπότην καὶ ὡς ὁμόπιστον καὶ ὡς πατέρα, μὴ ὡς ὀφθαλμόδουλος, ἀλλ' ὡς φιλοδέσποτος, εἰδώς,

1. Ἐφ. 6, 4. 2. Παρμ. 29, 17· 19, 18· 23, 14. 3. Παρμ. 13, 24. 4. Σοφ. Σειρ. 30, 12. 5. Β' Τιμ. 3, 15.

ὅτι ὁ θεὸς αὐτῷ τὴν μισθαποδοσίαν ἀποτίσει τῆς ὑπηρεσίας. 4. ὡσαύτως καὶ ὁ κύριος ὁ πιστὸν ἔχων οἰκέτην, σωζομένης αὐτῷ τῆς θεραπείας, ἀγαπάτω ὡς υἱὸν ἢ ὡς ἀδελφὸν διὰ τὴν τῆς πίστεως κοινωνίαν.

XIII. Πάσῃ βασιλείᾳ καὶ ἀρχῇ ὑποτάγητε[1] ἐν οἷς ἀρέσκει θεῷ, ὡς «θεοῦ διακόνοις καὶ τῶν ἀσεβῶν τιμωροῖς·[2]» πάντα φόβον τὸν ὀφειλόμενον αὐτοῖς ἀποπληρώσατε, πᾶσαν εἰσφοράν, πᾶν τέλος, πᾶσαν τιμήν, δόσιν, κῆνσον. 2. θεοῦ γὰρ τοῦτο διάταγμα, «μηδενί τι χρεωστεῖν, εἰ μὴ τὸ τῆς φιλίας σύμβολον[3]», ὃ ὁ θεὸς διετάξατο διὰ Χριστοῦ.

XIV. Περὶ δὲ παρθενίας ἐντολὴν οὐκ ἐλάβομεν[4], τῇ δὲ τῶν βουλομένων ἐξουσίᾳ τοῦτο ἐπιτρέπομεν ὡς εὐχήν, ἐκεῖνο μόνον αὐτοῖς παραινοῦντες, μὴ προχείρως τι ἐπαγγείλασθαι, ἐπείπερ ὁ Σολομών φησιν· «Ἀγαθὸν τὸ μὴ εὔξασθαι, ἢ τὸ εὔξασθαι καὶ μὴ ἀποδοῦναι.[5]» 2. ἡ παρθένος οὖν αὕτη ἔστω ἁγία σώματι καὶ ψυχῇ, ὡς ναὸς θεοῦ, ὡς οἶκος Χριστοῦ, ὡς πνεύματος ἁγίου καταγώγιον. δεῖ γὰρ τὴν ἐπαγγειλαμένην, ἄξια τῆς ἐπαγγελίας ἔργα διαπρασσομένην, δεικνύειν τὸ ἐπάγγελμα αὐτῆς, ὅτι ἔστιν ἀληθὲς καὶ διὰ σχολὴν εὐσεβείας, οὐ κατὰ διαβολὴν γάμου γινόμενον. 3. ἔστω δὲ μὴ ῥεμβὰς μηδὲ ἀκαιροπεριπάτητος, μὴ δίγνωμος, ἀλλὰ σεμνή, ἐγκρατής, σώφρων, ἁγνή, φεύγουσα τὰς τῶν πολλῶν συντυχίας καὶ μάλιστα τὰς τῶν ἀσέμνων.

---

1. Πρβλ. Α' Πέτρ. 2, 13. Ῥωμ. 13, 1. 2. Ῥωμ. 13, 4. 3. Ῥωμ. 13, 8. 4. Πρβλ. Α' Κορ. 7, 25. 5. Ἐκκλ. 5, 4.

ΒΙΒΛΙΟΝ Ε΄

ΠΕΡΙ ΜΑΡΤΥΡΩΝ

I. Εἴ τις Χριστιανὸς διὰ τὸ ὄνομα τοῦ Χριστοῦ καὶ τὴν εἰς τὸν θεὸν πίστιν καὶ ἀγάπην κατακριθῇ ὑπὸ ἀσεβῶν εἰς λοῦδον ἢ θηρία ἢ μέταλλον, μὴ παρίδητε αὐτόν, ἀλλ' ἐκ τοῦ κόπου καὶ ἐκ τοῦ ἱδρῶτος ὑμῶν πέμψατε αὐτῷ εἰς διατροφὴν αὐτοῦ καὶ εἰς μισθαποδοσίαν τῶν στρατιωτῶν, ἵνα ἐλαφρυνθῇ καὶ ἐπιμελείας τύχῃ, ἵν' ὅσον τὸ ἐφ' ὑμῖν μὴ θλίβηται ὁ μακάριος ἀδελφὸς ὑμῶν. 2. ὁ γὰρ διὰ τὸ ὄνομα κυρίου τοῦ θεοῦ καταδικαζόμενος, οὗτος μάρτυς ἅγιος, ἀδελφὸς τοῦ κυρίου, «υἱὸς τοῦ ὑψίστου[1]», δοχεῖον τοῦ ἁγίου πνεύματος, δι' οὗ καὶ «τὸν φωτισμὸν τῆς δόξης τοῦ εὐαγγελίου[2]» ἔλαβεν ἕκαστος τῶν πιστῶν ἐν τῷ καταξιωθῆναι τοῦ ἀφθάρτου στεφάνου καὶ τῆς μαρτυρίας τῶν παθημάτων αὐτοῦ καὶ τῆς κοινωνίας τοῦ αἵματος αὐτοῦ, «συμμορφωθῆναι τῷ θανάτῳ τοῦ Χριστοῦ[3]» εἰς υἱοθεσίαν. 3. τούτου οὖν ἕνεκεν ἅπαντες οἱ πιστοὶ διὰ τοῦ ἐπισκόπου ὑμῶν «ἐκ τῶν ὑπαρχόντων ὑμῶν[4]» καὶ ἐκ τοῦ κόπου «διακονήσατε» τοῖς ἁγίοις· εἰ δὲ οὐκ ἔχει τις, νηστεύσας τὸ τῆς ἡμέρας καὶ μερίσας τοῦτο ἐκταξάτω τοῖς ἁγίοις· εἰ δέ τις ἐν περιουσίᾳ ὑπάρχει, καὶ πλεῖόν τι κατὰ ἀναλογίαν τῆς δυνάμεως αὐτοῦ διακονείτω αὐτοῖς. εἰ δὲ καὶ οἷός τέ ἐστιν ἅπαντα τὸν βίον ἑαυτοῦ ἀποδόμενος ῥύσασθαι αὐτοὺς ἐκ τοῦ δεσμωτηρίου, μακάριος ἔσται καὶ φίλος τοῦ Χριστοῦ. 4. εἰ γὰρ ὁ «τὰ ὑπάρχοντα πτωχοῖς δοὺς τέλειος[5]» μετὰ τὴν περὶ τῶν θείων γνῶσιν, πολλῷ μᾶλλον ὁ ὑπὲρ μαρτύρων· ὁ γὰρ τοιοῦτος, ἄξιος θεοῦ ὑπάρξας, πληρώσει τὸ θέλημα αὐτοῦ, χορηγήσας ἐκείνοις, οἵτινες αὐτὸν ὡμολόγησαν «ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν τε Ἰσραήλ[6]», περὶ ὧν ὁ κύριος ἀπεφήνατο λέγων· «Ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου.[7]» 5. καὶ εἰ τοιοῦτοί εἰσιν, ὡς καὶ ὑπὸ Χριστοῦ ἐπὶ τοῦ πατρὸς αὐτοὺς μαρτυρεῖσθαι, ὑμεῖς οὐκ ὀφείλετε ἐπαισχυνθῆναι ἀπιέναι πρὸς αὐτοὺς ἐν ταῖς φυλακαῖς· τοῦτο γὰρ ποιησάντων ὑμῶν, μαρτύριον ὑμῖν λογισθήσεται, ὅτι ἐκείνοις μὲν πείρᾳ τὸ μαρτύριον ὑπῆρξεν, ὑμῖν δὲ τέως προθυμίᾳ, ὡς κοινωνοῖς τῆς ἀθλήσεως αὐτῶν. 6. λέγει γάρ που ὁ κύριος πρὸς τοὺς τοιούτους φάσκων· «Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα καὶ ἐποτίσατέ με, ξένος ἤμην καὶ συνηγάγετέ με, γυμνὸς καὶ περιεβάλετέ με, ἀσθενὴς ἤμην καὶ ἐπεσκέ-

---

1. Λουκ. 6, 35. 2. Β΄ Κορ. 4, 4. 3. Φιλιππ. 3, 10. 4. Λουκ. 8, 3.
5. Πρβλ. Ματθ. 19, 21. 6. Πράξ. 9, 15. 7. Ματθ. 10, 32.

ψασθέ με, ἐν φυλακῇ ἤμην καὶ ἤλθετε πρὸς μέ. 7. τότε ἀποκριθήσονται οἱ δίκαιοι λέγοντες· κύριε, πότε σε εἴδομεν πεινῶντα καὶ ἐθρέψαμεν; ἢ διψῶντα καὶ ἐποτίσαμεν; ἢ γυμνὸν καὶ περιεβάλομεν; ἢ ἀσθενῆ καὶ ἐπεσκεψάμεθα; ἢ ξένον καὶ συνηγάγομεν; ἢ ἐν φυλακῇ καὶ ἤλθομεν πρός σέ; 8. καὶ ἀποκριθεὶς ἐρεῖ αὐτοῖς· ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. καὶ ἀπελεύσονται οὗτοι εἰς ζωὴν αἰώνιον.[1]»

II. Εἰ δέ τις, ἀδελφὸν λέγων ἑαυτὸν εἶναι, ἀπατηθεὶς ὑπὸ τοῦ πονηροῦ κακοποιήσῃ καὶ ἐλεγχθεὶς κατακριθῇ θανάτῳ ὡς μοιχὸς ἢ φονεύς, χωρίζεσθε ἀπ' αὐτοῦ, ἵνα ἦτε ἄσυλοι, καὶ μή τις ὑμῶν, ὡς κοινωνὸς τοῦ μύσους ὑποπτευθῇ καὶ καταχέηται βλασφημίαν, ὡς πάντων Χριστιανῶν χαιρόντων ἐπὶ τοῖς παρανόμοις ἔργοις· διὸ μακρὰν ἀπ' αὐτῶν χωρεῖτε. 2. τοῖς μέντοι διὰ Χριστὸν κατ' ἐπήρειαν παρὰ τῶν ἀσεβῶν συγκλειομένοις εἰς φυλακὴν ἢ πρὸς θάνατον ἐκδιδομένοις ἢ πρὸς δεσμὰ καὶ ἐξορίαν πάσῃ σπουδῇ βοηθεῖτε, τὰ μέλη ὑμῶν ῥυόμενοι ἐκ χειρῶν ἀθέσμων. 3. καὶ ἐάν τις αὐτοῖς συγκείμενος κρατηθῇ καὶ αἰκίαις ὑποπέσῃ, μακάριός ἐστιν, ὅτι κοινωνὸς μαρτύρων ἐγένετο καὶ μιμητὴς τῶν τοῦ Χριστοῦ παθημάτων. 4. καὶ γὰρ καὶ ἡμεῖς ὑπὲρ Χριστοῦ πολλάκις ὑπὸ Καϊάφα καὶ Ἀλεξάνδρου καὶ Ἄννα πληγὰς λαβόντες[2], χαίροντες ἐξῄειμεν, ὅτι κατηξιώθημεν ὑπὲρ τοῦ σωτῆρος ἡμῶν τοιαῦτα παθεῖν·[3] καὶ ὑμεῖς χαίρετε ταῦτα πάσχοντες, ὅτι μακάριοι γενήσεσθε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.[4]

III. Καὶ τοὺς διωκομένους δὲ διὰ τὴν πίστιν καὶ πόλιν ἐκ πόλεως φεύγοντας διὰ τὴν ἐντολὴν τοῦ κυρίου, προσλαμβάνεσθε αὐτούς, ἀντιλαμβανόμενοι αὐτῶν καὶ προσδεχόμενοι αὐτοὺς ὡς μάρτυρας, χαίροντες, ὅτι κοινωνοὶ αὐτῶν τοῦ διωγμοῦ γεγένησθε, γινώσκοντες αὐτοὺς ὑπὸ τοῦ κυρίου μεμακαρίσθαι. 2. φησὶν γὰρ αὐτός· «Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν καὶ εἴπωσιν πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτως γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν.[5]» 3. καὶ πάλιν· «Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν[6]», καὶ ἑξῆς· «Ἐὰν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην[7]», ὅτι «ἐν τῷ κόσμῳ τούτῳ θλῖψιν ἔχετε·[8] παραδώσουσιν γὰρ ὑμᾶς εἰς συναγωγάς, καὶ ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς· καὶ ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.[9]» 4. ὁ γὰρ διωχθεὶς ἕνεκεν τῆς πίστεως καὶ μαρτυρήσας περὶ αὐτοῦ καὶ ὑπομείνας, οὗτος ἀληθῶς «ἄνθρωπος θεοῦ.[10]»

IV. Ὁ δὲ ἀρνησάμενος ἑαυτὸν Χριστοῦ εἶναι διὰ τὸ μὴ μισεῖσθαι ὑπὸ ἀνθρώπων, «φιλήσας τὴν ἑαυτοῦ ψυχὴν μᾶλλον[11]» ἢ τὸν κύριον,

---

1. Ματθ. 25, 34-40. 2. Πρβλ. Πράξ. 4, 6. 3. Πράξ. 5, 41. 4. Πρβλ. Λουκ. 6, 22. 5. Ματθ. 5, 11-12. 6. Ἰω. 15, 20. 7. Ματθ. 10, 20. 8. Ἰω.16, 33. 9. Ματθ. 10, 17. 18, 22. 10. Α' Τιμ. 6, 11. 11. Ἰω. 12, 25.

«οὗ ἡ πνοὴ αὐτοῦ ἐν χειρὶ αὐτοῦ [1]», οὗτος ἐλεεινός, ἄθλιος, ὡς ἐναγὴς καὶ βδελυκτός, φίλος μὲν ἀνθρώπων θελήσας εἶναι, ἐχθρὸς δὲ τοῦ θεοῦ, μερίδα λαβὼν οὐκέτι μετὰ τῶν ἁγίων, ἀλλὰ μετὰ τῶν κατηραμένων, ἀντὶ «βασιλείας εὐλογημένων» ποθήσας «τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ·[2]» οὐχ ὑπ' ἀνθρώπων ἔτι μισούμενος, ἀλλ' ὑπὸ τοῦ θεοῦ ἀπωσμένος καὶ ἀπὸ τοῦ προσώπου αὐτοῦ ἐκβεβλημένος. 2. περὶ γὰρ τούτου ἀπεφήνατο ὁ κύριος λέγων· «Ὅστις ἀρνήσεταί με ἔμπροσθεν τῶν ἀνθρώπων καὶ ἐπαισχυνθῇ τὸ ὄνομά μου, ἀρνήσομαι αὐτὸν κἀγὼ καὶ ἐπαισχυνθήσομαι ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.[3]» 3. καὶ πάλιν λέγει τοῖς μαθηταῖς αὐτοῦ, ἡμῖν αὐτοῖς, οὕτως· «Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος, καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος, καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστιν μου ἄξιος· ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν. τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;[4]» 4. καὶ ἑξῆς· «Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.[5]»

V. Πᾶς οὖν ὁ μανθάνων τέχνην τινά, βλέπων τὸν διδάσκαλον αὐτοῦ διὰ τῆς ἐνεργείας καὶ ἐμπειρίας ἀπαρτίζοντα τὴν τέχνην αὐτοῦ, καὶ αὐτὸς ζηλοῖ ὅμοιον αὐτῷ ποιήσασθαι τὸ ἐγχειρισθέν· ἐὰν δὲ μὴ ἐξισχύσῃ, οὐκ ἔστιν τετελειωμένος ἐν τῷ ἔργῳ. 2. καὶ ἡμεῖς οὖν, ἔχοντες διδάσκαλον τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν, διὰ τί οὐ μιμούμεθα τὴν αὐτοῦ διδαχήν; 3. ὅτι ἐκεῖνος μὲν ἀπετάξατο ἀνέσει, τρυφῇ, δόξῃ, πλούτῳ, τύφῳ, δυνάμει ἀμυντικῇ, μητρὶ καὶ ἀδελφοῖς, ἤδη δὲ καὶ τῇ οἰκείᾳ ζωῇ διὰ τὴν πρὸς τὸν πατέρα εὐσέβειαν καὶ τὴν εἰς ἡμᾶς φιλανθρωπίαν, ὑπομείνας οὐ μόνον διωγμὸν καὶ μάστιγας, ὀνειδισμὸν καὶ ἐμπαιγμόν, ἀλλ' ἤδη καὶ τὴν πρὸς τὸ ξύλον πρόσπηξιν, ὅπως Ἰουδαίους καὶ Ἕλληνας μετανοήσαντας σώσῃ. 4. εἰ οὖν αὐτὸς δι' ἡμᾶς ἀπετάξατο ἀναπαύσει, μὴ ἐπαισχυνθεὶς σταυρόν, μηδὲ ἀδοξήσας τὸν θάνατον· τίνος ἕνεκεν ἡμεῖς οὐ μιμούμεθα αὐτοῦ τὰ πάθη καὶ ἀποτασσόμεθα ὑπὲρ αὐτοῦ καὶ αὐτῇ τῇ ζωῇ ἡμῶν, διδόντος αὐτοῦ ἡμῖν τὴν ὑπομονήν; 5. ἐκεῖνος μὲν γὰρ δι' ἡμᾶς, ἡμεῖς δὲ δι' ἑαυτούς, οὐ γὰρ χρῄζει ἡμῶν αὐτός, ἡμεῖς δὲ τοῦ ἐλέους αὐτοῦ· μόνον δὲ τὸ τῆς πίστεως ἡμῶν γνήσιον ἐπιζητεῖ καὶ αὐθαίρετον, ὥς φησιν ἡ γραφή· «Εἰ δίκαιος εἶ, τί δώσεις αὐτῷ ἢ τί ἐκ χειρός σου λήψεται; ἀνδρὶ τῷ ὁμοίῳ σου ἡ ἀσέβειά σου, καὶ υἱῷ ἀνθρώπου ἡ δικαιοσύνη σου.[6]»

VI. Ἀποταξώμεθα οὖν καὶ γονεῦσιν καὶ συγγενέσιν καὶ φίλοις

---

1. Δαν. 5, 23. 2. Πρβλ. Ματθ. 25, 41. 3. Ματθ. 10, 33. Λουκ. 9, 26.
4. Ματθ. 10, 37-39· 16, 26. 5. Ματθ. 10, 28. 6. Ἰὼβ 35, 7-8.

καὶ γυναιξὶ καὶ τέκνοις καὶ κτήμασιν καὶ σύμπαντι τῷ βίῳ, ὅταν ᾖ τι τούτων κώλυμα πρὸς εὐσέβειαν. 2. δεῖ γὰρ «προσεύχεσθαι» μὲν ἡμᾶς, «ἵνα μὴ εἰσέλθωμεν εἰς πειρασμόν·[1]» ἐὰν δὲ κληθῶμεν εἰς μαρτύριον, μετὰ ἐνστάσεως ὁμολογεῖν τὸ τίμιον ὄνομα· καὶ ἐὰν τούτου χάριν κολασθῶμεν, χαίρωμεν ὡς ἐπὶ ἀθανασίαν σπεύδοντες. 3. διωκόμενοι μὴ ξενιζώμεθα, «μὴ ἀγαπήσωμεν τὸν νῦν αἰῶνα[2]» μηδὲ τοὺς παρὰ ἀνθρώπων ἐπαίνους μηδὲ τὴν τῶν ἀρχόντων δόξαν καὶ τιμήν, καθάπερ καί τινες τῶν Ἰουδαίων, θαυμάζοντες τοῦ κυρίου τὰς ἐνεργείας, οὐκ ἐπίστευον εἰς αὐτὸν φόβῳ τῷ πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς λοιποὺς τῶν ἀρχόντων· «ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ θεοῦ.[3]» 4. «ὁμολογήσαντες» δὲ «τὴν καλὴν ὁμολογίαν[4]», οὐ μόνον ἑαυτοὺς σώζομεν, ἀλλὰ καὶ τοὺς νεοφωτίστους βεβαιοῦμεν καὶ τοὺς κατηχουμένους πιστοποιούμεθα. 5. εἰ δὲ καθυφῶμέν τι τῆς ὁμολογίας, ἐξαρνησάμενοι τὴν εὐσέβειαν διὰ γνώμης χαυνότητα καὶ φόβον βραχυτάτης τιμωρίας, οὐ μόνον ἑαυτοὺς ἀποστεροῦμεν τῆς αἰωνίου δόξης, ἀλλ' ἤδη καὶ ἑτέροις αἴτιοι ἀπωλείας γενησόμεθα καὶ διπλοτέραν ὑποίσομεν τὴν τίσιν, ὡς ὑποψίαν δόντες διὰ τῆς ἀρνήσεως, πλάνης διδαχὴν εἶναι τήν ποτε ὑφ' ἡμῶν δοξαζομένην ἀλήθειαν. 6 διὸ μήτε πρόχειροι ὦμεν καὶ ῥιψοκίνδυνοι· λέγει γὰρ ὁ κύριος· «Προσεύχεσθε μὴ ἐμπεσεῖν εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.[5]» μήτε μὴν ἐμπεσόντες δειλίᾳ καταισχύνωμεν τὴν ὁμολογίαν. 7. εἰ γὰρ ἀρνησάμενός τις τὴν ἑαυτοῦ ἐλπίδα, ὅς ἐστιν Ἰησοῦς ὁ τοῦ θεοῦ υἱός, ἀπολυθῇ τοῦ προσκαίρου θανάτου, αὔριον δὲ ἐπὶ κλίνης νόσῳ περιπέσῃ ὀξυτάτῃ κοιλίας ἢ στομάχου ἢ κεφαλῆς ἤ τινι πάθει τῶν ἀνιάτων, σήψεως ἢ γαγγραίνης ἢ ἀποστάσεως ἢ ἰλεοῦ ἢ ὑδέρου ἢ κόλου, ταχεῖαν ποιήσηται τὴν καταστροφὴν καὶ τοῦ ζῆν ὑπεξέλθοι· οὐχὶ καὶ τῶν ἐνταῦθα ἐστερήθη καὶ τῶν αἰωνίων ἐκπέπτωκεν, μᾶλλον δὲ τῆς ἀϊδίου κολάσεως ἐντὸς κατέστη, «πορευθεὶς εἰς τὸ σκότος τὸ ἐξώτερον, οὗ ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων;[6]» 8. ὁ δὲ ἀξιωθεὶς μαρτυρίου χαιρέτω τὴν ἐν κυρίῳ χαράν, ὡς τηλικούτου ἐπιτυχὼν στεφάνου καὶ δι' ὁμολογίας ποιούμενος τὴν ἔξοδον τοῦ βίου. καὶ ἐὰν κατηχούμενος ᾖ, ἄλυπος ἀπίτω· τὸ γὰρ πάθος τὸ ὑπὲρ Χριστοῦ ἔσται αὐτῷ γνησιώτερον βάπτισμα, ὅτι αὐτὸς μὲν πείρᾳ συναποθνήσκει τῷ κυρίῳ, οἱ δὲ λοιποὶ τύπῳ. 9. χαιρέτω οὖν μιμούμενος τὸν διδάσκαλον, ἐπειδὴ καὶ προστέτακται· «Κατηρτισμένος ἔστω πᾶς ὡς ὁ διδάσκαλος αὐτοῦ.[7]» ὁ δὲ διδάσκαλος ἡμῶν Ἰησοῦς ὁ κύριος δι' ἡμᾶς ἐπλήγη, βλασφημίας ὑπέμεινεν καὶ ὀνειδισμοὺς μακροθύμως, ἐνεπτύσθη, ἐκολαφίσθη, ἐρραπίσθη, σταυρῷ μετὰ τὸ μαστιχθῆναι προσηλώθη, ὄξος καὶ χολὴν ἐποτίσθη, τελειώσας πάντα τὰ γεγραμμένα

1. Ματθ. 26, 41. 2. Πρβλ. Α' Ἰω. 2, 15. Β' Τιμ. 4, 10. 3. Ἰω. 12, 43. 4. Α' Τιμ. 6, 12. 5. Λουκ. 22, 40. Ματθ. 26, 41. 6. Ματθ. 8, 12. 7. Λουκ. 6, 40.

εἶπεν τῷ θεῷ καὶ πατρί· «Εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου.[1]» 10. διὸ καὶ ὁ εὐχόμενος ἐκείνου μαθητὴς εἶναι ζηλούτω τοὺς αὐτοῦ ἀγῶνας, μιμείσθω τὴν ὑπομονήν, γινώσκων, ὅτι κἂν ἐν πυρὶ ὑπὸ ἀνθρώπων καῇ, οὐθὲν πείσεται, ὡς οἱ τρεῖς παῖδες, ἢ εἰ καὶ πάθοι τι, μισθὸν παρὰ κυρίου λήψεται· πιστεύων τῷ ἑνὶ καὶ μόνῳ ἀληθινῷ θεῷ καὶ πατρὶ διὰ Ἰησοῦ Χριστοῦ τοῦ μεγάλου ἀρχιερέως καὶ λυτρωτοῦ τῶν ψυχῶν καὶ μισθαποδότου τῶν ἄθλων, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

VII. Αὐτὸς γὰρ ἡμᾶς ἐγερεῖ ὁ παντοκράτωρ θεὸς διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ τὴν ἀψευδῆ, καὶ ἀναστήσει ἡμᾶς σὺν πᾶσι τοῖς ἀπ᾽ αἰῶνος κοιμηθεῖσιν τοιούτους, ὁποῖοι ὑπάρχομεν ἐν τῇ νῦν μορφῇ, μηθὲν ἐλλειπὲς ἔχοντας ἢ τὴν φθοράν, ἐπείπερ ἄφθαρτοι ἀναστησόμεθα. 2. κἄν τε γὰρ ἐν πελάγει τελευτήσωμεν, κἂν ἐν γῇ διασπαρῶμεν, κἂν ὑπὸ θηρίων ἢ ὀρνέων διασπασθῶμεν, ἀναστήσει ἡμᾶς τῇ ἑαυτοῦ δυνάμει, ὅτι ὁ πᾶς κόσμος τῇ τοῦ θεοῦ συνέχεται χειρί· «Θρὶξ δέ», φησίν, «ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται.[2]» διὸ παραινεῖ λέγων· «Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.[3]» 3. περὶ δὲ τῆς τῶν νεκρῶν ἀναστάσεως καὶ τῆς τῶν μαρτύρων μισθαποδοσίας λέγει Γαβριὴλ τῷ Δανιήλ· «Καὶ πολλοὶ τῶν κεκοιμημένων ἐκ γῆς χώματος ἀναστήσονται, οἱ μὲν εἰς ζωὴν αἰώνιον, οἱ δὲ εἰς αἰσχύνην καὶ ὀνειδισμὸν αἰώνιον· καὶ οἱ συνιέντες ἐκλάμψουσιν ὡς ὁ ἥλιος καὶ ὡς τὸ στερέωμα καὶ οἱ ἀστέρες.[4]» 4. ὡς φωστῆρας τοίνυν ἐκλάμψειν τοὺς ἁγίους προεῖπεν ὁ ἅγιος Γαβριήλ· αὐτοῖς γὰρ τὸ συνιέναι τὴν ἀλήθειαν ἐμαρτύρησεν καὶ τὸ ἱερὸν αὐτοῦ ὄνομα. οὐ μόνον δὲ τοῖς μάρτυσιν ἐπήγγελται τὴν ἀνάστασιν, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις, δικαίοις τε καὶ ἀδίκοις, εὐσεβέσιν τε καὶ δυσσεβέσιν, ἵνα ἕκαστος τὰ πρὸς ἀξίαν τίσῃ. «Ἄξει» γάρ, φησίν, «ὁ θεὸς σύμπαν τὸ ποίημα εἰς κρίσιν ἐν παντὶ παρεωραμένῳ, ἐὰν ἀγαθὸν καὶ ἐὰν πονηρόν.[5]» 5. ταύτην δὲ τὴν ἀνάστασιν μὴ πιστεύοντες Ἰουδαῖοι τὸ παλαιὸν ἔλεγον· «Ξηρὰ γέγονεν τὰ ὀστᾶ ἡμῶν, διαπεφωνήκαμεν·[6] οἷς ὁ θεὸς ἀποκριθεὶς ἔφη· Ἰδοὺ ἐγὼ ἀνοίγω τοὺς τάφους ὑμῶν καὶ ἀνάξω ὑμᾶς ἐξ αὐτῶν καὶ δώσω τὸ πνεῦμά μου ἐν ὑμῖν, καὶ ζήσεσθε, καὶ γνώσεσθε, ὅτι ἐγὼ κύριος λελάληκα καὶ ποιήσω.[7]» 6. καὶ διὰ Ἠσαΐου φησίν· «Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἡσυχάζοντες ἐν τῇ γῇ, ὅτι ἡ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν.[8]» 7. πολλὰ μὲν οὖν καὶ ἕτερα περὶ τῆς ἀναστάσεως εἴρηται καὶ περὶ τῆς τῶν δικαίων ἐν δόξῃ διαμονῆς καὶ περὶ τῆς τῶν ἀσεβῶν τιμωρίας, πτώσεως, ἀποστροφῆς, καταδίκης, ἀδοξίας, πυρὸς αἰωνίου καὶ σκώληκος ἀτελευτήτου.[9] 8. καὶ ὅτι, εἰ ἐβούλετο πάντας ἀνθρώπους εἶναι ἀθανάτους, ἠδύνατο, ἔδειξεν τὸν Ἐνὼχ καὶ τὸν Ἠλίαν

---

1. Λουκ. 23, 46. 2. Λουκ. 21, 18. 3. Λουκ. 21, 19. 4. Δαν. 12, 2-3.
5. Ἐκκλ. 12, 14. 6. Ἰεζ. 37, 11. 7. Ἰεζ. 37, 12, 14. 8. Ἡσ. 26, 19.
9. Πρβλ. Ἡσ. 66, 24.

μὴ ἐάσας θανάτου πεῖραν λαβεῖν.[1] εἰ δὲ καὶ κατὰ γενεὰν τοὺς τελευτῶντας ἀνιστᾶν ἤθελεν, καὶ δι' ἑαυτοῦ καὶ δι' ἑτέρων ἔπεισεν, τὸν μὲν υἱὸν τῆς χήρας διὰ Ἠλίου ἀναστήσας καὶ τὸν τῆς Σωμανίτιδος διὰ Ἐλισσαίου.[2] 9. πειθόμεθα δὲ μὴ μισθὸν τιμωρίας εἶναι τὸν θάνατον, ἐξ ὧν αὐτὸν καὶ ἅγιοι ὑπέστησαν ἢ καὶ αὐτὸς ὁ τῶν ἁγίων κύριος Ἰησοῦς ὁ Χριστός, «ἡ ζωὴ τῶν πιστῶν καὶ ἡ ἀνάστασις τῶν νεκρῶν.[3]» 10. διὰ τοῦτο οὖν τέως ὡς ἂν ἐν μεγαλοπόλει πολιτευομένοις μετὰ τοὺς ἄθλους ἐπάγει πρὸς ὀλίγον τὴν διάλυσιν, ἵνα ἀναστήσας ἕκαστον ἢ ἀποκηρύξῃ ἢ στεφανώσῃ. 11. ὁ γὰρ τοῦ Ἀδὰμ τὸ σῶμα ἐκ γῆς καὶ τῶν λοιπῶν κατασκευάσας, οὗτος καὶ τῶν λοιπῶν καὶ τοῦ πρώτου μετὰ διάλυσιν τὸ σῶμα ἀναστήσει. «Ἀκούσονται» γάρ, φησί, «πάντες οἱ ἐν τοῖς μνημείοις τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται.[4]» 12. πρὸς δὲ τούτοις πιστεύομεν γίνεσθαι τὴν ἀνάστασιν καὶ ἐκ τῆς τοῦ κυρίου ἀναστάσεως· αὐτὸς γάρ ἐστιν ὁ καὶ Λάζαρον ἀναστήσας τετραήμερον καὶ τὴν θυγατέρα Ἰαείρου καὶ τὸν υἱὸν τῆς χήρας, καὶ ἑαυτὸν προστάγματι τοῦ πατρὸς διὰ τριῶν ἡμερῶν ἀνεγείρας, ὁ ἀρραβὼν τῆς ἀναστάσεως ἡμῶν, ὁ τὸν Ἰωνᾶν διὰ τριῶν ἡμερῶν ζῶντα καὶ ἀπαθῆ ἐξαγαγὼν ἐκ τῆς κοιλίας τοῦ κήτους καὶ τοὺς τρεῖς παῖδας ἐκ καμίνου Βαβυλωνίας καὶ τὸν Δανιὴλ ἐκ στόματος λεόντων, οὐκ ἀπορήσει δυνάμεως καὶ ἡμᾶς ἀνεγεῖραι. 13. εἰ δὲ χλευάζουσιν Ἕλληνες ἀπιστοῦντες ταῖς ἡμετέραις γραφαῖς, πιστωσάτω αὐτοὺς κἂν ἡ αὐτῶν προφῆτις Σίβυλλα, οὕτω πως αὐτοῖς λέγουσα κατὰ λέξιν·

Ἀλλ' ὁπότ' ἤδη πάντα τέφρα σποδόεσσα γένηται,
Καὶ πῦρ κοιμίσῃ θεὸς ἄφθιτος, ὥσπερ ἀνῆψεν,
Ὀστέα καὶ σποδιὴν αὐτὸς θεὸς ἔμπαλιν ἀνδρῶν
Μορφώσει, στήσει δὲ βροτοὺς πάλιν, ὡς πάρος ἦσαν·
Καὶ τότε δὴ κρίσις ἔσται, ἐφ' ᾗ δικάσει θεὸς αὐτός,
Κρίνων ἔμπαλι κόσμον. ὅσοι δ' ὑπὸ δυσσεβίῃσιν
Ἥμαρτον, τούςδ' αὖ πάλι γαῖα καλύψει·
Ὅσσοι δ' εὐσεβέουσι, πάλιν ζήσοντ' ἐνὶ κόσμῳ,
Πνεῦμα θεοῦ δόντος ζωήν θ' ἅμα καὶ χάριν αὐτοῖς
Εὐσεβέσιν· πάντες δὲ τότ' εἰσόψονται ἑαυτούς.

14. εἰ τοίνυν καὶ αὐτὴ τὴν ἀνάστασιν ὁμολογεῖ καὶ τὴν παλιγγενεσίαν οὐκ ἀρνεῖται, διακρίνει δὲ τοὺς εὐσεβεῖς ἐκ τῶν ἀσεβῶν, μάτην ἄρα τοῖς ἡμετέροις ἀπιστοῦσιν. 15. καίτοι φασὶν καὶ ἰδικὴν δεικνύειν τὴν ἀνάστασιν, μὴ πιστεύοντες οἷς αὐτοὶ διηγοῦνται. φασὶ γὰρ ὄρνεόν τι μονογενὲς ὑπάρχειν, πλουσίαν τῆς ἀναστάσεως παρέχον τὴν ἀπόδειξιν, ὃ λέγουσιν ἄζυγον ὑπάρχειν καὶ μόνον ἐν δημιουργίᾳ· φοίνικα δὲ

---

1. Πρβλ. Γεν. 5, 24. Δ' Βασ. 2, 11. 2. Πρβλ. Γ' Βασ. 17, 1 ἑξ. Δ' Βασ. 4, 1 ἑξ. 3. Ἰω. 11, 25. 4. Ἰω. 5, 25.

αὐτὸ προσαγορεύουσιν, ὃ καὶ ἱστοροῦσιν κατὰ πεντακόσια ἔτη ἔρχεσθαι εἰς Αἴγυπτον ἐπὶ τὸν λεγόμενον ἡλίου βωμόν, φέρον πλῆθος κινναμώμου κασσίας τε καὶ ξυλοβαλσάμου καὶ στὰν πρὸς ἀνατολάς, ὡς αὐτοί φασιν, τῷ ἡλίῳ προσευξάμενον αὐτομάτως φλεχθῆναι καὶ γενέσθαι κόνιν, ἐκ δὲ τῆς σποδοῦ σκώληκα ἀναφυῆναι, καὶ τοῦτον θερμανθέντα μορφωθῆναι εἰς ἀρτιγενῆ φοίνικα καὶ πτηνὸν γενόμενον ἐπ' Ἀραβίαν στείλασθαι, ἥπερ ἐστὶν περαιτέρω τοῦ αἰγυπτιακοῦ νομοῦ. 16. εἰ τοίνυν, ὡς καὶ αὐτοί φασιν, διὰ τοῦ ἀλόγου ὀρνέου δείκνυται ἡ ἀνάστασις, τί μάτην τὰ ἡμέτερα διαβάλλουσιν, ὅταν ὁμολογῶμεν, ὅτι ὁ δυνάμει τὸ μὴ ὂν εἰς τὸ εἶναι παραγαγών, οὗτος ἰσχύει τοῦτο καὶ μετὰ τὴν διάλυσιν εἰς ἀνέγερσιν παραστῆσαι; 17. διὰ γὰρ ταύτην τὴν πληροφορίαν καὶ μάστιγας καὶ διωγμοὺς καὶ θανάτους ὑπομένομεν, ἐπεὶ μάτην τὰ τοιαῦτα κατεδεξάμεθα μὴ τούτων ἔχοντες τὴν πληροφορίαν, ὧν κήρυκες ἐπαγγελλόμεθα εἶναι. 18. ὥσπερ οὖν ἐπείσθημεν Μωσῇ εἰπόντι, ὅτι «ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν [1]», καὶ γινώσκομεν, ὅτι οὐχ ὕλης ἦν ἐνδεής, ἀλλὰ βουλήσει μόνῃ, ἃ προσετάγη Χριστός, ταῦτα καὶ παρήγαγεν, λέγομεν δὴ οὐρανόν, γῆν, θάλασσαν, φῶς, νύκτα, ἡμέραν, φωστῆρας, ἄστρα, πετεινά, νηκτά, τετράποδα, ἑρπετά, φυτά, βοτάνας· τὸν αὐτὸν τρόπον καὶ πάντας ἀναστήσει θελήματι, συνεργείας μὴ δεόμενος. 19. τῆς γὰρ αὐτῆς δυνάμεώς ἐστιν ἔργον τὸ δημιουργῆσαι κόσμον καὶ τὸ νεκροὺς ἀναστῆσαι· καὶ τότε μὲν μὴ ὄντα τὸν ἄνθρωπον ἐκ διαφόρων ἐποίησεν, δοὺς αὐτῷ τὴν ψυχὴν ἐκ τοῦ μὴ ὄντος, νῦν δὲ ταῖς οὔσαις ψυχαῖς τὰ διαλυθέντα σώματα ἀποτίσει. κειμένων γάρ ἐστιν ἡ ἀνάστασις, οὐχὶ δὲ μὴ ὑπαρχόντων. 20. ὁ οὖν τὰ πρῶτα σώματα ἐκ μὴ ὄντων ποιήσας καὶ ἐξ αὐτῶν διάφορα δημιουργήσας, οὗτος καὶ τοὺς θανόντας ζωοποιήσας ἀναστήσει. ὁ γὰρ ἐν τῇ κοιλίᾳ τὸν ἄνθρωπον ἐκ μικροῦ σπέρματος μορφῶν καὶ ψυχὴν αὐτῷ οὐκ οὖσαν ἐνδημιουργῶν, καθὼς αὐτός πού φησιν τῷ Ἱερεμίᾳ· «Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε [2]», καὶ ἀλλαχοῦ· «Ἐγὼ κύριος στερεῶν οὐρανὸν καὶ θεμελιῶν τὴν γῆν καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ [3]», αὐτὸς καὶ πάντας ἀνθρώπους ἀναστήσει αὐτοῦ ὄντας ποιήματα, καθὼς καὶ ἡ θεία γραφὴ μαρτυρεῖ λέγοντα τὸν θεὸν τῷ μονογενεῖ Χριστῷ· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν· καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. [4]» 21. καὶ ὁ θειότατος καὶ καρτερικὸς Ἰώβ, περὶ οὗ φησιν ἡ γραφή, ὅτι «γέγραπται αὐτὸν ἀναστήσεσθαι μεθ' ὧν ὁ κύριος ἀνίστησιν [5]», οὗτός φησι πρὸς τὸν θεόν· «Ἦ οὐχ ὥσπερ γάλα με ἤμελξας, ἔπηξας δέ με ἴσα τυρῷ; δέρμα καὶ κρέας με ἐνέδυσας, ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας, ζωὴν δὲ καὶ ἔλεος ἔθου παρ' ἐμοί, ἡ δὲ ἐπισκοπή σου ἐφύλα-

1. Γεν. 1, 1. 2. Ἱερ. 1, 5. 3. Ζαχ. 12, 1. 4. Γεν. 1, 26-27.
5. Ἰὼβ 42, 18.

ξέν μου τὸ πνεῦμα· ταῦτα ἔχων ἐν ἐμαυτῷ, οἶδα, ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν.[1]» 22. λέγει δὲ καὶ ὁ θεοφιλὴς Δαυὶδ τῷ θεῷ· «Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με[2]», καὶ πάλιν· «Σὺ ἔγνως τὸ πλάσμα ἡμῶν[3]», καὶ ἑξῆς· «Σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου· ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν· τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται.[4]» ἀλλὰ καὶ ὁ Ἡσαΐας λέγει προσευχόμενος αὐτῷ, ὅτι «ἡμεῖς ὁ πηλὸς καὶ σὺ ὁ πλάστης ἡμῶν.[5]» 23. εἰ τοίνυν αὐτοῦ δημιούργημα ὁ ἄνθρωπος διὰ Χριστοῦ γενόμενος, πάντως ὅτι καὶ θανὼν δι' αὐτοῦ ἀναστήσεται ἐπὶ τῷ ἢ στεφανωθῆναι ἐπὶ τοῖς κατορθώμασιν ἢ κολασθῆναι ἐπὶ τοῖς πλημμελήμασιν. εἰ δὲ δικαιοσύνῃ κρίνει ὡς νομοθέτης, ὥσπερ κολάζει τοὺς ἀσεβεῖς, οὕτως εὐεργετῶν σώζει τοὺς πιστοὺς καὶ τοὺς δι' αὐτὸν ὑπ' ἀνθρώπων σφαγέντας ἁγίους, τοὺς μὲν ὡς ἄστρα φαιδρύνων, τοὺς δὲ ὡς φωστῆρας λαμπρύνων, καθὼς ὁ Γαβριὴλ τῷ Δανιὴλ ἔλεγεν.[6] 24. μαθηταὶ οὖν Χριστοῦ πάντες ὑπάρχοντες οἱ πιστοί, πιστεύωμεν αὐτοῦ ταῖς ἐπαγγελίαις· ἀψευδὴς γὰρ ὁ ἐπαγγειλάμενος. λέγει δὲ ὁ μακάριος προφήτης Δαυίδ, ὅτι «πιστὸς κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.[7]» 25. ὁ γὰρ ἐκ παρθένου ἑαυτῷ κατασκευάσας σῶμα, οὗτος καὶ τῶν ἄλλων ἀνθρώπων δημιουργός ἐστιν, καὶ ὁ ἑαυτὸν ἀναστήσας ἐκ τῶν νεκρῶν, αὐτὸς καὶ πάντας τοὺς κειμένους ἀναστήσει. 26. ὁ τὸν πυρὸν ἐξ ἑνὸς κόκκου πολύχουν ἐκ γῆς ἀνιστῶν, ὁ τὸ ἐκκοπὲν δένδρον εἰς ῥάδαμνον ἀναθάλλων, ὁ τὴν Ἀαρὼν ῥάβδον ξηρὰν οὖσαν ἐκφύσας εἰς βλαστόν, αὐτὸς καὶ ἡμᾶς ἐγερεῖ ἐν δόξῃ. 27. ὁ τὸν παραλυτικὸν σῶον ἀνεγείρας καὶ τὸν ἐξηραμμένην ἔχοντα τὴν χεῖρα ἰασάμενος καὶ τὸ λεῖπον μέρος ἐν τῷ ἐκ γενετῆς πηρῷ ἐκ γῆς καὶ σιέλου ἀποδούς, ὁ αὐτὸς καὶ ἡμᾶς ἀνεγερεῖ. 28. ὁ ἐκ πέντε ἄρτων καὶ δύο ἰχθύων πεντακισχιλίους κορέσας καὶ περισσεύσας δώδεκα κοφίνους, καὶ ἐξ ὕδατος οἶνον μεταποιήσας καὶ ἐκ στόματος ἰχθύος στατῆρα δι' ἐμοῦ Πέτρου τοῖς ἀπαιτοῦσι κῆνσον ἀποστείλας, οὗτος καὶ τοὺς νεκροὺς ἀνεγερεῖ. 29. ταῦτα γὰρ ἅπαντα ἡμεῖς περὶ αὐτοῦ μαρτυροῦμεν, τὰ δὲ ἄλλα οἱ προφῆται. 30. ἡμεῖς οἱ συμφαγόντες αὐτῷ καὶ συμπιόντες, καὶ θεαταὶ γενόμενοι τῶν αὐτοῦ τεραστίων καὶ τῆς ζωῆς καὶ τῆς πολιτείας καὶ τῶν λόγων καὶ τῶν παθημάτων καὶ τοῦ θανάτου καὶ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως, καὶ συναναστραφέντες αὐτῷ ἡμέρας τεσσαράκοντα μετὰ τὴν ἔγερσιν αὐτοῦ, καὶ λαβόντες ἐντολὴν παρ' αὐτοῦ «κηρῦξαι τὸ εὐαγγέλιον εἰς ὅλον τὸν κόσμον καὶ μαθητεῦσαι πάντα τὰ ἔθνη καὶ βαπτίσαι εἰς τὸν αὐτοῦ θάνατον[8]» ἐπὶ αὐθεντίᾳ τοῦ θεοῦ τῶν ὅλων, ὅς ἐστιν αὐτοῦ πατήρ, καὶ μαρτυρίᾳ

---

1. Ἰὼβ 10, 10-13. 2. Ψαλμ. 118, 73. 3. Ψαλμ. 102, 14. 4. Ψαλμ. 138, 5· 6, 16. 5. Ἠσ. 64, 8. 6. Δαν. 12, 3. 7. Ψαλμ. 144, 17. 8. Μάρκ. 16, 15. Ματθ. 28, 19. Ῥωμ. 6, 3.

πνεύματος, ὅς ἐστι παράκλητος· διδάσκομεν ὑμᾶς ταῦτα πάντα, ἃ διαταξάμενος ἡμῖν ἀνελήφθη ἐπ' ὄψει ἡμῶν εἰς τὸν οὐρανὸν πρὸς τὸν ἀποστείλαντα αὐτόν. 31. καὶ ἐὰν μὲν πιστεύσητε, μακάριοι γενήσεσθε· εἰ δὲ μὴ πιστεύσητε, ἀθῷοι ἡμεῖς εὑρεθησόμεθα καὶ καθαροὶ τῆς ὑμετέρας δυσπιστίας.

VIII. Περὶ δὲ τῶν μαρτύρων λέγομεν ὑμῖν, ὅπως πάσῃ τιμῇ ὦσιν παρ' ὑμῖν, ὡς καὶ παρ' ἡμῖν τετίμηνται ὁ μακάριος Ἰάκωβος ὁ ἐπίσκοπος καὶ ὁ ἅγιος ἡμῶν συνδιάκονος Στέφανος. 2. οὗτοι γάρ εἰσιν καὶ ὑπὸ θεοῦ μεμακαρισμένοι καὶ ὑπὸ ὁσίων ἀνδρῶν τετιμημένοι, καθαροὶ πάσης πλημμελείας, ἄτρεπτοι πρὸς ἁμαρτίαν, ἀμετάπειστοι τῶν καλῶν, ἀνενδοίαστοι πρὸς ἐγκώμια, περὶ ὧν καὶ ὁ Δαυὶδ ἔλεγεν· «Τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ[1]», καὶ ὁ Σολομών· «Μνήμη δικαίου μετ' ἐγκωμίου[2]», περὶ ὧν καὶ ὁ προφήτης ἔλεγεν· «Ἄνδρες δίκαιοι αἴρονται.[3]»

IX. Ταῦτα δὲ περὶ τῶν κατὰ ἀλήθειαν ὑπὲρ Χριστοῦ μαρτυρησάντων εἴρηται, ἀλλ' οὐ περὶ τῶν ψευδομαρτύρων, περὶ ὧν τὸ λόγιόν φησιν· «Ὄνομα δὲ ἀσεβῶν σβέννυται·» «μάρτυς» γὰρ «πιστὸς οὐ ψεύδεται, ἐκκαίει δὲ ψευδῆ μάρτυς ἄδικος.[4]» 2. ὁ γὰρ ἐν μαρτυρίῳ ἐξελθὼν ἀψευδῶς ὑπὲρ τῆς ἀληθείας, οὗτος ἀληθινὸς μάρτυς, ἀξιόπιστος ἐν οἷς συνηγωνίσατο τῷ λόγῳ τῆς εὐσεβείας διὰ τοῦ οἰκείου αἵματος.

X. Παραινοῦμεν δὲ ὑμῖν, ἀδελφοὶ καὶ σύνδουλοι, φεύγειν τὰς ματαιολογίας καὶ τὰς αἰσχρολογίας καὶ τὰς εὐτραπελίας, μέθας, λαγνείας, θρύψεις καὶ τὰς ἀμέτρους ὀργὰς σὺν ταῖς μωρολογίαις, ὅτι οὐδὲ ἐν ταῖς κυριακαῖς ἡμέραις τῶν εὐφροσυνῶν ὑμῶν ἐπιτρέπομεν ὑμῖν ἄσεμνόν τι ἢ φθέγγεσθαι ἢ πράττειν· λέγει γάρ που καὶ ἡ γραφή· «Δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.[5]» 2. καὶ τὰς ἀγαλλιάσεις οὖν ὑμῶν μετὰ φόβου καὶ τρόμου γίνεσθαι χρή. ὁ γάρ τοι Χριστιανὸς ὁ πιστὸς οὐδὲ ᾠδὴν ἐθνικὴν ὀφείλει λέγειν οὔτε ᾆσμα πορνικόν, ἐπεὶ συμβήσεται αὐτῷ διὰ τῆς ᾠδῆς εἰδώλων μνημονεύειν ὀνόματα δαιμονικά, καὶ ἀντὶ τοῦ ἁγίου πνεύματος εἰσφρήσει ἐν αὐτῷ τὸ πονηρόν.

XI. Ἀπείρηται δὲ καὶ τὸ ὀμνύειν ἐν αὐτοῖς καὶ τὸ διὰ στόματος αὐτῶν προφέρειν τὰ βδελυκτὰ ὀνόματα ἢ προσκυνεῖν αὐτοῖς ἢ φοβεῖσθαι αὐτοὺς ὡς θεούς· οὐ γάρ εἰσιν θεοί, ἀλλ' ἢ πονηροὶ δαίμονες ἢ μεμωκημένα ἔργα. 2. λέγει γάρ που ὁ θεὸς περὶ τῶν Ἰσραηλιτῶν· «Ἐγκατέλιπόν με καὶ ὤμνυον ἐν τοῖς οὐκ οὖσι θεοῖς[6]», καὶ ἑξῆς· «Ἐξαρῶ τὰ ὀνόματα τῶν εἰδώλων ἐκ τοῦ στόματος αὐτῶν[7]», καὶ ἀλλαχοῦ· «Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεοῖς, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν.[8]» καὶ ἐν πάσαις δὲ ταῖς γραφαῖς ἀπηγόρευται ταῦτα ὑπὸ κυρίου τοῦ θεοῦ.

1. Ψαλμ. 115, 6. 2. Παρμ. 10, 7. 3. Ἡσ. 57, 1. 4. Παρμ. 10, 7· 14, 5. 5. Ψαλμ. 2, 11. 6. Ἱερ. 5, 7. 7. Ζαχ. 13, 2. 8. Δευτ. 32, 21.

XII Οὐ μόνον δὲ περὶ εἰδώλων ἀπαγορεύουσιν, ἀλλὰ καὶ περὶ φωστήρων νομοθετοῦντες παραινοῦσιν μήτε ὀμνύειν ταῦτα μήτε μὴν λατρεύειν αὐτοῖς· φασὶ γάρ· «Μὴ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας πλανηθεὶς προσκυνήσῃς αὐτοῖς [1]», καὶ ἀλλαχοῦ· «Κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν μὴ μανθάνετε, καὶ ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ μὴ φοβεῖσθε.[2]» 2. τὰ γὰρ ἄστρα καὶ οἱ φωστῆρες εἰς φαῦσιν ἀνθρώποις, ἀλλ' οὐκ εἰς προσκύνησιν ἐδόθησαν, εἰ καὶ οἱ Ἰσραηλῖται μοχθηρίᾳ τρόπου «προσεκύνουν ἀντὶ τοῦ κτίστου τὴν κτίσιν [3]», καὶ τὸν μὲν δημιουργὸν καθυβρίσαντες, τὴν δὲ κτίσιν πλεῖον ἢ δεῖ θαυμάσαντες, καί ποτε μὲν μοσχοποιοῦντες ὡς ἐν ἐρήμῳ, ποτὲ δὲ τὸν Βεελφεγὼρ προσκυνοῦντες, ἄλλοτε δὲ τὸν Βαὰλ καὶ τὸν Θαμμοὺς καὶ τὴν σιδωνίαν Ἀστάρτην, καὶ πάλιν τὸν Μολὸχ καὶ τὸν Χαμώς, καὶ ἄλλοτε τὸν ἥλιον, ὡς παρὰ τῷ Ἰεζεκιὴλ γέγραπται[4], ἤδη δὲ καὶ ἄλογα ζῷα, ὡς παρ' Αἰγυπτίοις τὸν Ἄπιν καὶ τὸ μενδήσιον τράγον, καὶ θεοὺς ἀργυροῦς καὶ χρυσοῦς, ὡς ἐν Ἰουδαίᾳ. 3. δι' ἅπερ ἅπαντα ἀπειλῶν αὐτοῖς ἔλεγεν διὰ τοῦ προφήτου· «Μὴ μικρὸν τοῦτο τῷ οἴκῳ Ἰούδα, τοῦ ποιεῖν τὰ βδελύγματα ταῦτα, ἃ ἐποίησαν, ὅτι ἔπλησαν τὴν γῆν ἀνομίας τοῦ παροργίσαι με; καὶ ἰδού, αὐτοί εἰσιν ὡς μυκτηρίζοντες, καὶ ἐγὼ ποιήσω μετὰ θυμοῦ, οὐ φείσεται ὁ ὀφθαλμός μου οὐδ' οὐ μὴ ἐλεήσω, καὶ κεκράξονται ἐν τοῖς ὠσίν μου φωνῇ μεγάλῃ καὶ οὐκ εἰσακούσομαι αὐτῶν.[5]» 4. ὁρᾶτε, ἀγαπητοί, ὅσα κατὰ τῶν εἰδωλολατρῶν καὶ τῶν σεβομένων ἥλιον καὶ σελήνην ἀποφαίνεται ὁ κύριος. 5. διὸ χρὴ τὸν «τοῦ θεοῦ ἄνθρωπον [6]» ὡς Χριστιανὸν μήτε ἥλιον ὀμνῦναι μήτε σελήνην μήτε ἄστρα. μήτε μὴν οὐρανὸν ἢ γῆν ἤ τι τῶν στοιχείων μικρὸν ἢ μέγα. 6. εἰ γὰρ ὁ διδάσκαλος περὶ τοῦ ὄντος θεοῦ παρήγγειλεν ἡμῖν «μὴ ὀμνύειν [7]», ὅπως ὁ λόγος ἡμῶν πιστότερος ᾖ τοῦ ὅρκου, «μήτε μὴν τὸν οὐρανὸν αὐτόν [8]», ἑλληνικὸν γὰρ τὸ δυσσέβημα, «μήτε μὴν Ἱερουσαλὴμ ἢ τὰ τοῦ θεοῦ ἅγια ἢ τὸ θυσιαστήριον καὶ τὸ δῶρον ἢ τὴν τοῦ ναοῦ χρύσωσιν ἢ τὴν οἰκείαν κεφαλήν [9]», ἰουδαϊκῆς γὰρ παραφθορᾶς ἡ συνήθεια, διὸ καὶ ἀπαγορευτέα, εἶναι δὲ τὸ «ναὶ ναὶ» καὶ τὸ «οὒ οὔ [10]» τοῖς πιστοῖς παρεγγυᾷ, καὶ «τὸ τούτων περισσὸν τοῦ πονηροῦ εἶναι» λέγει· πόσῳ μᾶλλον ὑπόδικοι οἱ τὰ ψευδώνυμα ὡς ὅρκια ἐπομνύμενοι καὶ τὰ νομιζόμενα ἀντὶ τῶν ἀληθῶν δοξάζοντες; οὓς ὁ θεὸς διὰ μοχθηρίαν παρέδωκεν εἰς ἀβουλίαν, ἐνεργεῖν τὰ μὴ δέοντα.

XIII. Τὰς ἡμέρας τῶν ἑορτῶν φυλάσσετε, ἀδελφοί, καὶ πρώτην γε τὴν γενέθλιον, ἥτις ὑμῖν ἐπιτελείσθω εἰκοστῇ πέμπτῃ τοῦ ἐνάτου μηνός. 2. μεθ' ἣν ἡ ἐπιφάνιος ὑμῖν ἔστω τιμιωτάτη, καθ' ἣν ὁ κύριος ἀνάδειξιν ὑμῖν τῆς οἰκείας θεότητος ἐποιήσατο· γινέσθω δὲ καὶ αὕτη

---

1. Δευτ. 4, 19. 2. Ἱερ. 10, 2. 3. Ῥωμ. 1, 25. 4. Ἰεζ. 8, 16. 5. Ἰεζ. 8, 17-18. 6. Α' Τιμ. 6, 11. 7. Ματθ. 5, 34. 8. Ματθ. 5, 34. 9. Ματθ. 5, 34-36. 23, 16-22. 10. Ματθ. 5, 37.

ἕκτῃ τοῦ δεκάτου μηνός. 3. μεθ' ἃς ὑμῖν φυλακτέα ἡ νηστεία τῆς τεσσαρακοστῆς, μνήμην περιέχουσα τῆς τοῦ κυρίου πολιτείας τε καὶ νομοθεσίας. ἐπιτελείσθω δὲ ἡ νηστεία αὕτη πρὸ τῆς νηστείας τοῦ πάσχα, ἀρχομένη μὲν ἀπὸ δευτέρας, πληρουμένη δὲ εἰς παρασκευήν. 4. μεθ' ἃς ἀπονηστεύσαντες ἄρξασθε τῆς ἁγίας τοῦ πάσχα ἑβδομάδος, νηστεύοντες αὐτὴν πάντες μετὰ φόβου καὶ τρόμου, προσευχόμενοι ἐν αὐταῖς περὶ τῶν ἀπολλυμένων.

XIV. Ἤρξαντο γὰρ τὴν κατὰ τοῦ κυρίου βουλὴν ποιεῖσθαι δευτέρᾳ σαββάτων μηνὶ πρώτῳ, ὅς ἐστι Ξανθικός· καὶ τῇ τρίτῃ τοῦ σαββάτου παρέτεινεν ἡ σκέψις, τῇ δὲ τετράδι ὡρίσαντο σταυρῷ ἀνελεῖν αὐτόν. 2. καὶ Ἰούδας γνοὺς τοῦτο, ἐκ πολλοῦ μὲν διαστραφείς, τότε δὲ καὶ ὑπ' αὐτοῦ τοῦ διαβόλου βληθεὶς φιλαργυρίᾳ, καίτοι πάλαι τὸ γλωσσόκομον ἐγκεχειρισμένος καὶ κλέπτων τὰ τῶν πενήτων, οὐκ ἀπεβλήθη ὑπὸ τοῦ κυρίου διὰ μακροθυμίαν· ἀλλὰ καί ποτε μὲν ἑστιωμένων ἡμῶν σὺν αὐτῷ, βουλόμενος καὶ αὐτὸν σωφρονίσαι καὶ ἡμᾶς παιδεῦσαι τὴν πρόγνωσιν αὐτοῦ, λέγει· «'Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.'[1]» 3. καὶ ἑκάστου ἡμῶν λέγοντος· «μήτι ἐγώ;[2]» καὶ τοῦ κυρίου σιωπῶντος, ἀναστὰς ἐγώ, εἷς ἐκ τῶν δώδεκα, φιλούμενος πλεῖον τῶν ἄλλων ὑπ' αὐτοῦ, ἐνστερνισάμενος αὐτὸν ἱκέτευον εἰπεῖν, τίς ἂν εἴη ὁ παραδώσων αὐτόν· καὶ οὐδ' οὕτως ἡμῖν εἴρηκεν αὐτοῦ τὸ ὄνομα ὁ ἀγαθὸς κύριος, ἀλλὰ δύο σημεῖα τοῦ προδότου ἔδωκεν, ἓν μὲν εἰπών· «'Ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ[3]», δεύτερον δέ· «'Ὧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω.'[4]» 4. καίτοι κἀκείνου λέγοντος· «Μήτι ἐγώ εἰμι, ῥαββί;[5]» οὐκ εἶπεν ὁ κύριος, ὅτι ναί, ἀλλ' ὅτι «σὺ εἶπας», καὶ φοβῆσαι αὐτὸν ἐπὶ τούτῳ βουληθείς, φησίν· «Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη.[6]» 5. καὶ ταῦτα ἀκούσας, ἀπελθὼν εἶπεν τοῖς ἱερεῦσιν· «Τί θέλετέ μοι δοῦναι, καὶ ἐγὼ ὑμῖν αὐτὸν παραδώσω; οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια.'[7]» 6. καὶ τῇ πέμπτῃ φαγόντες παρ' αὐτῷ τὸ πάσχα, βάψαντος ἐκείνου τὴν χεῖρα εἰς τὸ τρυβλίον καὶ τὸ ψωμίον λαβόντος καὶ ἐξελθόντος νυκτός, ἡμῖν εἶπεν ὁ κύριος· «'Ἐλήλυθεν ἡ ὥρα, ἵνα σκορπισθῆτε καὶ ἐμὲ μόνον ἀφῆτε[8]», καὶ ἑκάστου διϊσχυριζομένου μὴ ἐγκαταλεῖψαι αὐτόν, ἐμοῦ Πέτρου ἐπαγγελλομένου καὶ συναποθανεῖν, εἶπεν· «'Ἀμὴν λέγω σοι, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με.[9]» 7. παραδοὺς δὲ ἡμῖν τὰ ἀντίτυπα μυστήρια τοῦ τιμίου σώματος αὐτοῦ καὶ αἵματος, Ἰούδα μὴ συμπαρόντος ἡμῖν, «ἐξῆλθεν εἰς τὸ ὄρος τῶν ἐλαιῶν πλησίον τοῦ χειμάρρου τῶν κέδρων, ὅπου ἦν κῆπος·[10]» συνῆμεν δὲ καὶ ἡμεῖς καὶ ὑμνήσαμεν κατὰ τὸ ἔθος. 8. καὶ χωρισθεὶς ἡμῶν οὐ πολύ, προσηύ-

1. Ἰω. 13, 21. 2. Ματθ. 26, 22. 3. Μάρκ. 14, 20. 4. Ἰω. 13, 26. 5. Ματθ. 26, 25. 6. Ματθ. 26, 24. 7. Ματθ. 26, 15. 8. Ἰω. 16, 32. 9. Ματθ. 26, 34. 10. Ἰω. 18, 1.

χετο τῷ πατρὶ λέγων· «Πάτερ, παρένεγκε ἀπ' ἐμοῦ τὸ ποτήριον· πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σόν.[1]» καὶ τοῦτο ποιήσας τρίτον, ἡμῶν ἀπὸ τῆς ἀθυμίας εἰς ὕπνον καταπεσόντων. ἐλθὼν λέγει· «Ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν.[2]» 9. καὶ ἰδοὺ Ἰούδας καὶ μετ' αὐτοῦ ὄχλος ἀσεβῶν· καὶ σημεῖον προδοσίας αὐτοῖς δείκνυσιν δόλιον φίλημα, οἱ δὲ δεξάμενοι τὸ σύνθημα, ἐκράτησαν τὸν κύριον καὶ δέσμιον ποιησάμενοι ἤγαγον εἰς τὴν οἰκίαν Καϊάφα τοῦ ἀρχιερέως, ἐν ᾗ πολὺς συγκεκρότητο οὐ λαός, ἀλλ' ὄχλος, οὐδὲ πρεσβυτέριον ἱερόν, ἀλλὰ συνέδριον παρανόμων καὶ βουλευτήριον ἀσεβῶν· οἱ καὶ πολλὰ ποιησάμενοι κατ' αὐτοῦ πᾶν εἶδος ὕβρεως οὐ παρέλιπον, ἐμπτύοντες, κερτομοῦντες, τύπτοντες, ῥαπίζοντες, λοιδορούμενοι, πειράζοντες, μαντείας ἐπιζητοῦντες ἀντὶ προφητείας, εἴρωνα, βλάσφημον, Μωσέως παραβάτην, ἱεροῦ καθαιρέτην, θυσιῶν ἀναιρέτην, Ῥωμαίων πολέμιον, καίσαρος ἐναντίον ἀποκαλοῦντες. 10. καὶ ταῦτα μέχρις ὄρθρου βαθέος ἐμπαροινήσαντες αὐτῷ «οἱ ταῦροι καὶ οἱ κύνες[3]» ἀπάγουσιν αὐτὸν πρὸς Ἄνναν, ὃς ἦν πενθερὸς τοῦ Καϊάφα· κἀκεῖ τὰ ὅμοια δράσαντες παρασκευῆς οὔσης, τῷ ἄρχοντι τῶν Ῥωμαίων παρέδωκαν αὐτὸν Πιλάτῳ, κατηγοροῦντες αὐτοῦ πολλὰ καὶ βαρέα, ὧν οὐδὲν ἴσχυον ἀπελέγξαι· ἐφ' οἷς ὁ ἄρχων δυσανασχετήσας ἔλεγεν· «Οὐδεμίαν αἰτίαν κατ' αὐτοῦ εὑρίσκω.[4]» 11. οἱ δὲ μάρτυρας δύο ψευδεῖς ἀγαγόντες ἐβούλοντο συκοφαντεῖν τὸν κύριον· ἀσυμφώνων δὲ αὐτῶν εὑρεθέντων εἰς καθοσίωσιν ἀνῆγον τὸ πρᾶγμα λέγοντες· «Οὗτος ἑαυτὸν λέγει βασιλέα εἶναι, καὶ φόρους καίσαρι διδόναι κωλύει.[5]» 12. καὶ γίνονται αὐτοὶ κατήγοροι καὶ μάρτυρες καὶ κριταὶ καὶ τῆς ἀποφάσεως ἐξουσιασταὶ λέγοντες· «Σταύρωσον, σταύρωσον αὐτόν[6]», ἵνα πληρωθῇ ὅ, τι γέγραπται περὶ αὐτοῦ ἐν τοῖς Προφήταις· «Συνήχθησαν ἐπ' ἐμὲ μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτήν[7]», καὶ πάλιν· «Περιεκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχόν με[8]», καὶ ἐν ἑτέροις· «Ἐγένετο ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς.[9]» 13. ὁ οὖν Πιλᾶτος ἀνανδρίᾳ καταισχύνας τὴν ἀρχὴν αὐτὸς ἑαυτὸν ἐξελέγχει κακίας, πρὸ τοῦ δικαίου τὰ πλήθη θεραπεύσας, καὶ μαρτυρῶν μὲν αὐτῷ ὡς ἀναιτίῳ, ὡς αἴτιον δὲ κολάσει τοῦτον παραδιδοὺς σταυρῷ, καίτοι Ῥωμαίων νόμους τιθεμένων μηδένα ἀνεξέλεγκτον θνήσκειν. 14. δήμιοι δὲ παραλαβόντες τὸν τῆς δόξης κύριον ξύλῳ προσήλωσαν, ἕκτῃ μὲν ὥρᾳ σταυρώσαντες αὐτόν, τρίτῃ δὲ ὥρᾳ τὴν ἀπόφασιν δεξάμενοι τὴν περὶ αὐτοῦ. 15. ἔπειτα, «ἔδωκαν αὐτῷ ὄξος πιεῖν μετὰ χολῆς[10]», εἶτα «τὰ ἱμάτια αὐτοῦ κλήρῳ διεμερίσαντο[11]», ἔπειτα δύο κακούργους ἐσταύρωσαν σὺν αὐτῷ

1. Λουκ. 22, 42. 2. Ματθ. 26, 45. 3. Ψαλμ. 21, 13. 4. Ἰω. 18, 38. 5. Λουκ. 23, 2. 6. Λουκ. 23, 21. 7. Ψαλμ. 26, 12. 8. Ψαλμ. 21, 17. 9. Ἱερ. 12, 8. 10. Ματθ. 27, 34. 11. Λουκ. 23, 34.

ἐξ ἑκατέρου μέρους, ἵνα πληρωθῇ τὸ γεγραμμένον· «Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος[1]», καὶ πάλιν· «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον[2]», καὶ ἐν ἄλλοις· «Καὶ μετὰ ἀνόμων ἐλογίσθην[3].» 16. ἔπειτα ἐγένετο τρεῖς ὥρας σκότος, «ἀπὸ ἕκτης ἕως ἐνάτης», καὶ πάλιν φῶς πρὸς δείλην, καθὼς γέγραπται· «Καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς.[4]» 17. καὶ περὶ τὴν ἐνάτην ὥραν ἀναβοήσας εἶπεν τῷ πατρί· «Θεέ μου, θεέ μου, ἱνατί με ἐγκατέλιπες;[5]» καὶ μετ' ὀλίγον κράξας φωνῇ μεγάλῃ· «Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασιν ὃ ποιοῦσιν[6]», καὶ ἐπαγαγών· «Εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου[7]», ἀπέπνευσεν, καὶ θάπτεται πρὸ ἡλίου δύσεως ἐν μνημείῳ καινῷ. 18. ἐπιφωσκούσης δὲ τῆς μιᾶς σαββάτων, ἀναστὰς ἐκ νεκρῶν ἐπλήρωσεν ἐκεῖνα, ἃ καὶ πρὸ τοῦ πάθους ἡμῖν προέλεγεν φάσκων, ὅτι «δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου ποιῆσαι ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.[8]» 19. καὶ «ἀναστὰς» ἐκ νεκρῶν «πρώτῃ» μὲν φανεροῦται Μαρίᾳ τῇ Μαγδαληνῇ καὶ Μαρίᾳ τῇ τοῦ Ἰακώβου[9]», εἶτα Κλεόπᾳ ἐν ὁδῷ[10], καὶ μετὰ τοῦτο ἡμῖν τοῖς μαθηταῖς αὐτοῦ, φεύγουσιν μὲν διὰ τὸν φόβον τῶν Ἰουδαίων[11], λαθραίως δὲ περιεργαζομένοις τὰ κατ' αὐτόν. ταῦτα δὲ καὶ ἐν τῷ Εὐαγγελίῳ ἐγράφη. 20. παρήγγειλεν οὖν ἡμῖν αὐτὸς νηστεύειν τὰς ἓξ ἡμέρας ταύτας διὰ τὴν τῶν Ἰουδαίων δυσσέβειαν καὶ παρανομίαν, πενθεῖν αὐτοὺς καὶ ὀδύρεσθαι παρακελευσάμενος ἐπὶ τῇ ἀπωλείᾳ αὐτῶν· καὶ γὰρ καὶ αὐτὸς «αὐτοῖς ἐπεδάκρυσεν, ἀγνοήσασι τὸν καιρὸν τῆς ἐπισκοπῆς αὐτῶν·[12]» τετράδα δὲ καὶ παρασκευὴν προσέταξεν ἡμῖν νηστεύειν, τὴν μὲν διὰ τὴν προδοσίαν, τὴν δὲ διὰ τὸ πάθος· ἀπονηστεῦσαι δὲ προσέταξεν τῇ ἑβδόμῃ ἡμέρᾳ ἀλέκτορος φωνήσαντος, αὐτὸ δὲ νηστεῦσαι τὸ σάββατον, οὐχ ὅτι δεῖ τὸ σάββατον νηστεύειν, κατάπαυσιν δημιουργίας ὑπάρχον, ἀλλ' ὅτι ἐκεῖνο μόνον χρὴ νηστεύειν, τοῦ δημιουργοῦ ἐν αὐτῷ ἔτι ὑπὸ γῆν ὄντος. 21. ἐν αὐτῇ γὰρ αὐτῶν τῇ ἑορτῇ κατέσχον τὸν κύριον, ὅπως πληρωθῇ ἐκεῖνο τὸ φάσκον λόγιον· «Ἔθεντο τὰ σημεῖα αὐτῶν ἐν μέσῳ τῆς ἑορτῆς αὐτῶν, καὶ οὐκ ἔγνωσαν.[13]» δεῖ οὖν πενθεῖν ὑπὲρ αὐτῶν, ὅτι ἐλθόντος τοῦ κυρίου οὐκ ἐπίστευσαν αὐτῷ, ἀλλ' ἀπεσείσαντο τὴν διδασκαλίαν αὐτοῦ, ἀναξίους κρίναντες ἑαυτοὺς σωτηρίας.

XV. Ὑμεῖς οὖν μακάριοι, «οἵ ποτε οὐ λαός, νῦν δὲ ἔθνος ἅγιον[14]» ῥυσθὲν ἀπὸ πλάνης εἰδώλων, ἀπὸ ἀγνοίας, ἀπὸ δυσσεβείας· «οἱ οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες[15]» διὰ τὴν ὑπακοὴν τῆς καρδίας ὑμῶν. 2. ὑμῖν γὰρ ἠνοίγη ἡ πύλη τῆς ζωῆς τοῖς ἐξ ἐθνῶν, οἵτινές ποτε οὐκ ἠγαπημένοι, νῦν δὲ πεφιλημένοι, «λαὸς εἰς περιποίησιν[16]» θεοῦ τε-

1. Ψαλμ. 68, 22. 2. Ψαλμ. 21, 19. 3. Ἡσ. 53, 12. 4. Ζαχ. 14, 7. 5. Ματθ. 27, 46. 6. Λουκ. 23, 34. 7. Λουκ. 23, 46. 8. Πρβλ. Ματθ. 12, 40. 9. Μάρκ. 16, 1, 9. 10. Λουκ. 24, 18. 11. Μάρκ. 16, 14. 12. Λουκ. 19, 41, 44. 13. Ψαλμ. 73, 4-5. 14. Α΄ Πέτρ. 2-10. 15. Α΄ Πέτρ. 2, 10. 16. Α΄ Πέτρ. 2, 9.

ταγμένος τῷ τὰς ἀρετὰς αὐτοῦ ἐξαγγέλλειν, περὶ ὧν εἶπεν ὁ σωτήρ· «Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν, εἶπα· ἰδού εἰμι, τῷ ἔθνει, οἳ οὐκ ἐκάλεσαν τὸ ὄνομά μου.[1]» 3. μὴ ζητήσαντες γὰρ αὐτόν ποτε ἐπεζητήθητε παρ' αὐτοῦ, καὶ ὑμεῖς πιστεύσαντες εἰς αὐτὸν ὑπηκούσατε τῇ κλήσει αὐτοῦ, καταλείψαντες τὴν πολύθεον μανίαν καὶ τῇ ἀληθεῖ μοναρχίᾳ προσφυγόντες, τῷ παντοκράτορι θεῷ διὰ Ἰησοῦ Χριστοῦ, πλήρωμα τοῦ ἀριθμοῦ τῶν σωζομένων γενόμενοι, «μύριαι μυριάδες καὶ χίλιαι χιλιάδες[2]», ὡς ἐν τῷ Δαυὶδ γέγραπται. 4. πρὸς δὲ τὸν Ἰσραὴλ τὸν ἄπιστον λέγει· «Ὅλην τὴν ἡμέραν τὰς χεῖράς μου ἐξεπέτασα πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα, τοῖς πορευομένοις ἐν ὁδῷ οὐ καλῇ, ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν, λαὸν παροξύνοντά με ἐνώπιον ἐμοῦ.[3]»

XVI. Βλέπετε οὖν, ὅπως παρώξυνεν ὁ λαὸς τὸν κύριον, μὴ πιστεύσας αὐτῷ. διὸ λέγει· «Παρώξυναν τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν.[4]» 2. ἀβλεψία γὰρ αὐτοῖς κατεχύθη διὰ τὴν κακόνοιαν αὐτῶν, ὅτι βλέποντες τὸν Ἰησοῦν οὐκ ἐπίστευον αὐτὸν εἶναι τὸν Χριστὸν τοῦ θεοῦ, τὸν πρὸ πάντων αἰώνων ὑπ' αὐτοῦ γεγεννημένον, υἱὸν μονογενῆ, λόγον θεόν, ὃν οὐκ ἐπέγνωσαν δι' ἀπιστίαν, οὔτε διὰ τῶν ἐνεργειῶν αὐτοῦ, οὔτε μὴν διὰ τῶν περὶ αὐτοῦ γεγραμμένων προφητειῶν. 3. ὅτι γὰρ ἐκ παρθένου γενήσεται, ἀνεγίνωσκον τὸ «ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅτι παιδίον ἐγεννήθη, υἱὸς καὶ ἐδόθη, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, θεὸς ἰσχυρὸς ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος.[5]» 4. ὅτι δὲ διὰ κακίαν ὑπερβάλλουσαν ἀπειθήσουσιν αὐτῷ, λέγει· «Κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη;[6]» καὶ ἑξῆς· «Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου.[7]» 5. διὸ ἤρθη ἀπ' αὐτῶν ἡ γνῶσις, ὅτι ἰδόντες παρεῖδον καὶ ἀκούσαντες οὐκ ἤκουσαν, ὑμῖν δὲ τοῖς ἐξ ἐθνῶν ἐδόθη ἡ βασιλεία, ὅτι μὴ γινώσκοντες θεὸν διὰ τοῦ κηρύγματος πιστεύσαντες «ἔγνωτε αὐτόν, μᾶλλον δὲ ἐγνώσθητε ὑπ' αὐτοῦ[8]» διὰ Ἰησοῦ τοῦ σωτῆρος καὶ λυτρωτοῦ τῶν ἐλπιζόντων ἐπ' αὐτόν. 6. μεταβάντες γὰρ ἀπὸ τῆς προτέρας ματαιοπόνου συνηθείας καὶ τῶν ἀψύχων εἰδώλων ὑπεριδόντες καὶ τῶν ἐν σκότει δαιμόνων καταφρονήσαντες, προσδραμόντες τε «τῷ φωτὶ τῷ ἀληθινῷ» καὶ «ἐπιγνόντες» δι' αὐτοῦ «τὸν ἕνα καὶ μόνον ἀληθινὸν θεὸν[9]» καὶ πατέρα, κληρονόμοι τῆς αὐτοῦ βασιλείας ἀνεφάνητε. 7. «βαπτισθέντες» γὰρ «εἰς τὸν τοῦ κυρίου θάνατον[10]» καὶ εἰς τὴν ἀνάστασιν αὐτοῦ, «ὡς

---

1. Ἡσ. 65, 1. 2. Ψαλμ. 67, 18. Δαν. 7, 10. 3. Ἡσ. 65, 2-3. 4. Ἡσ. 63, 10. 5. Ἡσ. 7, 14· 9, 6. 6. Ἡσ. 53, 1. 7. Ἡσ. 6, 9-10. 8. Γαλ. 4, 9. 9. Ἰω. 17, 3. 10. Ῥωμ. 6, 3.

ἀρτιγενῆ βρέφη[1]» ἀνενέργητοι πρὸς πᾶσαν ἁμαρτίαν ὀφείλετε εἶναι· «οὐ» γὰρ «ἐστὲ ἑαυτῶν, ἀλλὰ τοῦ ἀγοράσαντος ὑμᾶς[2]» τῷ ἑαυτοῦ αἵματι. 8. περὶ γὰρ τοῦ ποτε Ἰσραὴλ εἶπεν ὁ κύριος διὰ τὴν ἀπιστίαν αὐτῶν, ὅτι «ἀρθήσεται ἀπ' αὐτῶν ἡ βασιλεία τοῦ θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς[3]», δηλαδὴ ὅτι ὑμῖν τοῖς ποτε οὖσιν ἀπεξενωμένοις αὐτοῦ μακρὰν δοὺς τὴν βασιλείαν, ἐκδέχεται τοὺς τῆς εὐγνωμοσύνης καρπούς. 9. ὑμεῖς γάρ ἐστε οἵ ποτε ἀποσταλέντες εἰς τὸν ἀμπελῶνα καὶ μὴ ὑπακούσαντες, ἐκεῖνοι δὲ οἱ ὑπακούσαντες·[4] ἀλλὰ ὑμεῖς μὲν μεταμεληθέντες ἐπὶ τῇ ἀντιλογίᾳ ἐργάζεσθε ἐν αὐτῷ νῦν, οἱ δὲ δυσχεράναντες ἐπὶ ταῖς ἑαυτῶν συνθήκαις οὐ μόνον ἀνέργαστον κατέλειψαν τὸν ἀμπελῶνα, ἀλλὰ καὶ τοὺς ἐπιτρόπους τοῦ κυρίου τοῦ ἀμπελῶνος ἀπέκτειναν, ὃν μὲν λίθοις, ὃν δὲ ξίφει[5], καὶ τὸν μὲν ἔπρισαν, τὸν δὲ ἔνδον ἐν τῷ ἱερῷ ἀνεῖλον «μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου·[6]» ὕστερον δὲ καὶ αὐτὸν «τὸν κληρονόμον ἔξω τοῦ ἀμπελῶνος ἐκβαλόντες ἀπέκτειναν.[7]» 10. καὶ παρ' αὐτοῖς ὡς λίθος ἀχρεῖος ἀπεβλήθη, παρ' ὑμῶν δὲ ὡς ἀκρογωνιαῖος ἐδέχθη· διὸ λέγει περὶ ὑμῶν· «Λαός, ὃν οὐκ ἔγνων, ἐδούλευσέν μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέν μου.[8]»

XVII. Δεῖ οὖν ὑμᾶς, ἀδελφοί, τοὺς τῷ τοῦ Χριστοῦ ἐξηγορασμένους τιμίῳ αἵματι, τὰς ἡμέρας τοῦ πάσχα ἀκριβῶς ποιεῖσθαι μετὰ πάσης ἐπιμελείας μετὰ τροπὴν ἰσημερινήν, ὅπως μὴ δὶς τοῦ ἐνιαυτοῦ ἑνὸς παθήματος μνείαν ποιῆσθε, ἀλλὰ ἅπαξ τοῦ ἔτους τοῦ ἅπαξ ἀποθανόντος, μηκέτι παρατηρούμενοι μετὰ Ἰουδαίων ἑορτάζειν. 2. οὐδεμία γὰρ κοινωνία ἡμῖν νῦν πρὸς αὐτούς· πεπλάνηνται γὰρ καὶ αὐτὴν τὴν ψῆφον, ἣν νομίζουσιν ἐπιτελεῖν, ὅπως πανταχόθεν ὦσιν πεπλανημένοι καὶ τῆς ἀληθείας ἀπεσχοινισμένοι. 3. ὑμεῖς δὲ φυλάσσεσθε ἀκριβῶς τὴν ἰσημέριον τροπὴν τῆς ἐαρινῆς ὥρας, ἥτις γίνεται εἰκάδι δευτέρᾳ τοῦ δωδεκάτου μηνός, ὅς ἐστι Δύστρος· ἐπιτηροῦντες ἕως εἰκάδος πρώτης σελήνης, ὅπως μὴ ἐν ἑτέρᾳ ἑβδομάδι ἐμπέσοι ἡ τεσσαρεσκαιδεκάτη τῆς σελήνης, καὶ πλάνης γενομένης ἀγνοίᾳ δὶς τοῦ ἐνιαυτοῦ ἐπιτελέσωμεν τὸ πάσχα, ἢ ἐν ἄλλῃ ἡμέρᾳ ἑορτάσωμεν τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀναστάσιμον ἡμέραν, ἀλλ' ἐν κυριακῇ μόνῃ.

XVIII. Ἐν ταῖς ἡμέραις οὖν τοῦ πάσχα νηστεύετε, ἀρχόμενοι ἀπὸ δευτέρας μέχρι τῆς παρασκευῆς καὶ σαββάτου, ἓξ ἡμέρας, μόνῳ χρώμενοι ἄρτῳ καὶ ἁλὶ καὶ λαχάνοις καὶ ποτῷ ὕδατι, οἴνου δὲ καὶ κρεῶν ἀπέχεσθε ἐν ταύταις· ἡμέραι γάρ εἰσι πένθους, ἀλλ' οὐχ ἑορτῆς. 2. τὴν μέντοι παρασκευὴν καὶ τὸ σάββατον ὁλόκληρον νηστεύσατε, οἷς δύναμις πρόσεστιν τοιαύτη, μηδενὸς γευόμενοι μέχρις ἀλεκτορο-

---

1. Α' Πέτρ. 2, 2. 2. Α' Κορ. 6, 19, 20. 3. Ματθ. 21, 43. 4. Πρβλ. Ματθ. 21, 28-29. 5. Ματθ. 21, 35. 6. Ματθ. 23, 35. 7. Ματθ. 21, 39. 8. Ψαλμ. 17, 44-45.

φωνίας νυκτός· εἰ δέ τις ἀδυνατεῖ τὰς δύο συνάπτειν ὁμοῦ, φυλασσέσθω κἂν τὸ σάββατον. λέγει γάρ που αὐτὸς ὁ κύριος περὶ ἑαυτοῦ φάσκων· «Ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος, νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.[1]»

XIX. Ἐν ταύταις οὖν ἤρθη ἀφ᾽ ἡμῶν ὑπὸ τῶν ψευδωνύμων Ἰουδαίων καὶ σταυρῷ προσεπάγη «καὶ μετὰ ἀνόμων ἐλογίσθη.[2]» 2. διὸ παραινοῦμεν καὶ ὑμῖν νηστεύειν ταύτας, ὡς καὶ ἡμεῖς ἐνηστεύσαμεν ἐν τῷ ληφθῆναι αὐτὸν ἀφ᾽ ἡμῶν, ἄχρις ἑσπέρας· ἐν δὲ ταῖς λοιπαῖς ταῖς πρὸ τῆς παρασκευῆς ἐνάτην ὥραν ἢ ἑσπέραν ἕκαστος ἐσθιέτω, ἢ ὅπως ἄν τις δύνηται, ἀπὸ δὲ ἑσπέρας πέμπτης μέχρις ἀλεκτοροφωνίας ἀπονηστιζόμενοι. 3. ἐπιφωσκούσης μιᾶς σαββάτων, ἥτις ἐστὶ κυριακή, ἀπὸ ἑσπέρας ἕως ἀλεκτοροφωνίας ἀγρυπνοῦντες καὶ ἐπὶ τὸ αὐτὸ ἐν τῇ ἐκκλησίᾳ συναθροιζόμενοι γρηγορεῖτε, προσευχόμενοι καὶ δεόμενοι τοῦ θεοῦ ἐν τῇ διανυκτερεύσει ὑμῶν, ἀναγινώσκοντες τὸν Νόμον, τοὺς Προφήτας, τοὺς Ψαλμοὺς μέχρις ἀλεκτρυόνων κραυγῆς· καὶ βαπτίσαντες ὑμῶν τοὺς κατηχουμένους καὶ ἀναγνόντες τὸ Εὐαγγέλιον ἐν φόβῳ καὶ ἐν τρόμῳ καὶ προσλαλήσαντες τῷ λαῷ τὰ πρὸς σωτηρίαν, παύσασθε τοῦ πένθους ὑμῶν καὶ δεήθητε τοῦ θεοῦ ἐπιστραφῆναι τὸν Ἰσραὴλ καὶ λαβεῖν αὐτὸν τόπον μετανοίας καὶ τῆς ἀσεβείας ἄφεσιν· 4. ὅτι ὁ μὲν ἀλλόφυλος κριτὴς νιψάμενος τὰς χεῖρας εἶπεν· «Ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου, ὑμεῖς ὄψεσθε[3]», ὁ δὲ Ἰσραὴλ ἐπεβόησεν· «Τὸ αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν[4]», καὶ Πιλάτου εἰπόντος· «Τὸν βασιλέα ὑμῶν σταυρώσω;[5]» αὐτοὶ ἐπεβόων· «Οὐκ ἔχομεν βασιλέα εἰ μὴ καίσαρα· σταύρωσον, σταύρωσον αὐτόν· πᾶς γὰρ ὁ ποιῶν ἑαυτὸν βασιλέα ἀντιλέγει τῷ καίσαρι, καὶ ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ καίσαρος.[6]» 5. καὶ Πιλᾶτος ὁ ἡγεμὼν καὶ Ἡρώδης ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν σταυρωθῆναι, καὶ πληροῦται τὸ φάσκον λόγιον· «Ἱνατί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ[7]», καὶ «ἀπέρριψαν» τὸν ἀγαπητὸν «ὡσεὶ νεκρὸν ἐβδελυγμένον.[8]» 6. καὶ αὐτοῦ σταυρωθέντος τῇ παρασκευῇ καὶ ἀναστάντος ἐπιφωσκούσης κυριακῆς, ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· «Ἀνάστα, ὁ θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσιν τοῖς ἔθνεσιν[9]», καὶ πάλιν· «Νῦν ἀναστήσομαι, λέγει κύριος, θήσομαι ἐν σωτηρίῳ καὶ παρρησιάσομαι ἐν αὐτῷ[10]», καί· «Σὺ δέ, κύριε, ἐλέησόν με καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.[11]» 7. διὰ τοῦτο οὖν καὶ ὑμεῖς, ἀναστάντος τοῦ κυρίου, προσενέγκατε τὴν θυσίαν ὑμῶν, περὶ ἧς ὑμῖν διετάξατο δι᾽ ἡμῶν λέγων·

---

1. Μάρκ. 2, 20. Λουκ. 5, 35. 2. Ἠσ. 53, 12. 3. Ματθ. 27, 24. 4. Ματθ. 27, 25. 5. Ἰω. 19, 15. 6. Ἰω. 19, 15· 6, 12. 7. Ψαλμ. 2, 1, 2. 8. Ἠσ. 14, 19. 9. Ψαλμ. 81, 8. 10. Ψαλμ. 11, 6. 11. Ψαλμ. 40, 11.

«Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν [1]», καὶ λοιπὸν ἀπονηστεύετε, εὐφραινόμενοι καὶ ἑορτάζοντες, ὅτι ἀρραβὼν τῆς ἀναστάσεως ὑμῶν Ἰησοῦς ὁ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, «καὶ τοῦτο ὑμῖν ἔστω νόμιμον αἰώνιον ἕως τῆς συντελείας τοῦ αἰῶνος, μέχρις ἂν ἔλθῃ ὁ κύριος.[2]» 8. Ἰουδαίοις γὰρ ὁ κύριος ἔτι τέθνηκεν, Χριστιανοῖς δὲ ἐγήγερται, τοῖς μὲν δι' ἀπιστίαν, τοῖς δὲ διὰ πληροφορίαν, ὅτι ἡ εἰς αὐτὸν ἐλπὶς ἀθάνατος ζωὴ καὶ αἰώνιος.

XX. Μετὰ δὲ ὀκτὼ ἡμέρας ἔστω ὑμῖν πάλιν ἑορτὴ τιμία αὐτὴ ἡ ὀγδόη, ἐν ᾗ δυσπιστοῦντα ἐμὲ Θωμᾶν ἐπὶ τῇ ἀναστάσει ἐπληροφόρησεν, δείξας μοι τοὺς τύπους τῶν ἥλων καὶ τῆς λόγχης ἐν τῇ πλευρᾷ τὴν τρῶσιν.[3] 2. καὶ πάλιν ἀπὸ τῆς πρώτης κυριακῆς ἀριθμήσαντες τεσσαράκοντα ἡμέρας, ἀπὸ κυριακῆς μέχρι πέμπτης ἑορτάσατε τὴν ἑορτὴν τῆς ἀναλήψεως τοῦ κυρίου [4], καθ' ἣν πληρώσας πᾶσαν οἰκονομίαν καὶ διάταξιν ἀνῆλθεν πρὸς τὸν ἀποστείλαντα αὐτὸν θεὸν καὶ πατέρα, καθίσας ἐκ δεξιῶν τῆς δυνάμεως καὶ περιμένων, ἕως ἂν τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. ὃς καὶ ἐλεύσεται ἐπὶ συντελείᾳ τοῦ αἰῶνος μετὰ δυνάμεως καὶ δόξης πολλῆς, κρῖναι ζῶντας καὶ νεκρούς [5] καὶ «ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· [6]» καὶ τότε «ὄψονται [7]» τὸν ἀγαπητὸν υἱὸν τοῦ θεοῦ, «ὃν ἐξεκέντησαν», καὶ ἐπιγνόντες αὐτὸν «κόψονται ἐφ' ἑαυτοῖς φυλὴ κατὰ φυλήν, καὶ αἱ γυναῖκες αὐτῶν κατ' ἰδίαν.[8]» 3. καὶ γὰρ καὶ νῦν δεκάτῃ τοῦ μηνὸς Γορπιαίου συναθροιζόμενοι τοὺς Θρήνους Ἱερεμίου ἀναγινώσκουσιν, ἐν οἷς εἴρηται· «Πνεῦμα πρὸ προσώπου ἡμῶν Χριστὸς κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν [9]», καὶ τὸν Βαρούχ, ἐν ᾧ γέγραπται· «Οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδειξεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη.[10]» καὶ ὅταν ἀναγνῶσιν, κόπτονται καὶ θρηνοῦσιν, ὡς μὲν αὐτοὶ νομίζουσιν, τὴν ἐρημίαν τὴν ὑπὸ Ναβουχοδονόσορ γενομένην, ὡς δὲ ἡ ἀλήθεια ἔχει, προοίμια ποιοῦνται ἄκοντες τοῦ μέλλοντος αὐτοὺς καταλαμβάνειν πένθους. 4. μετὰ δὲ δέκα ἡμέρας τῆς ἀναλήψεως, ἥτις ἀπὸ τῆς πρώτης κυριακῆς πεντηκοστὴ γίνεται, ἑορτὴ μεγάλη ὑμῖν ἔστω· [11] ἐν αὐτῇ γὰρ ὥρᾳ τρίτῃ ἀπέστειλεν εἰς ἡμᾶς ὁ κύριος Ἰησοῦς τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος, καὶ ἐπλήσθημεν αὐτοῦ τῆς ἐνεργείας καὶ γλώσσαις καιναῖς ἐλαλήσαμεν, καθὼς ἐκεῖνο ὑπήγει ἐν ἡμῖν, καὶ ἐκηρύξαμεν Ἰουδαίοις τε καὶ ἔθνεσιν, αὐτὸν εἶναι τὸν Χριστὸν τοῦ θεοῦ τὸν ὡρισμένον ὑπ' αὐτοῦ κριτὴν ζώντων καὶ νεκρῶν. 5. τοῦτον Μωσῆς μαρτυρῶν ἔλεγεν· «Ἔλαβεν κύριος παρὰ κυρίου πῦρ καὶ ἔβρεξεν.[12]» τοῦτον εἶδεν Ἰακὼβ ὡς ἄν-

1. Λουκ. 22, 19. 2. Ἔξ. 12, 14. 3. Πρβλ. Ἰω. 20, 24 ἑξ. 4. Πρβλ. Πράξ. 1, 3 ἑξ. 5. Β' Τιμ. 4, 1. 6. Ῥωμ. 2, 6. 7. Ἰω. 19, 37. 8. Ζαχ. 12, 10, 12. 9. Θρ. 4, 20. 10. Βαρ. 3, 35-37. 11. Πρβλ. Πράξ. 2, 1. 12. Γεν. 19, 24.

θρωπον καὶ εἶπεν· «Εἶδον θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή.[1]» τοῦτον Ἀβραὰμ ξενοδοχήσας κριτὴν ὡμολόγει καὶ ἑαυτοῦ κύριον.[2] 6. τοῦτον Μωσῆς ἐπὶ τῆς βάτου τεθέαται· περὶ τούτου ἐν Δευτερονομίῳ ἔλεγεν· «Προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς· ἔσται δὲ πᾶσα ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς.[3]» 7. τοῦτον εἶδεν Ἰησοῦς ὁ τοῦ Ναυῆ «στρατάρχην τῆς δυνάμεως κυρίου[4]» καθωπλισμένον, σύμμαχον εἰς Ἱεριχώ, ᾧ καὶ πεσὼν προσεκύνησεν, ὡς δοῦλος δεσπότῃ. τοῦτον Σαμουὴλ εἰδὼς «Χριστὸν θεοῦ» τοὺς ἱερεῖς καὶ τοὺς βασιλεῖς χριστοὺς ὠνόμαζεν.[5] 8. τοῦτον Δαυὶδ εἰδὼς ἔψαλλεν τὴν ὑπὲρ αὐτοῦ ᾠδὴν λέγων· «Ὠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ[6]», καὶ ἐπιφέρων εἰς πρόσωπον αὐτοῦ ἔφασκεν· «Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, καὶ ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης, καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου· τὰ βέλη σου ἠκονημένα, δυνατέ, λαοὶ ὑποκάτω σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως· διὰ τοῦτο ἔχρισέν σε, ὁ θεός, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.[7]» 9. περὶ αὐτοῦ καὶ ὁ Σολομὼν ἔλεγεν ὡς ἐκ προσώπου αὐτοῦ· «Κύριος ἔκτισέν με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέν με, ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με[8]», καὶ πάλιν· «Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον.[9]» 10. περὶ αὐτοῦ καὶ Ἡσαΐας ἔλεγεν· «Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν[10]», Ζαχαρίας δέ· «Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται δίκαιος καὶ σώζων, αὐτὸς πρᾶος καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου.[11]» 11. τοῦτον Δανιὴλ «υἱὸν ἀνθρώπου[12]» λέγει εἶναι «ἐρχόμενον» πρὸς τὸν πατέρα, καὶ πᾶσαν τὴν κρίσιν καὶ τὴν τιμὴν παρ' ἐκείνου ὑποδεχόμενον, καὶ «λίθον ἀπὸ ὄρους ἄνευ χειρῶν τμηθέντα[13]» καὶ γενόμενον εἰς ὄρος μέγα καὶ πληρώσαντα πᾶσαν τὴν γῆν, συντρίβοντα πολυαρχίαν τοπαρχιῶν καὶ πολυθεΐαν ἀθέων, κηρύσσοντα δὲ τὸν ἕνα θεὸν καὶ χειροτονοῦντα τὴν Ῥωμαίων μοναρχίαν. 12. περὶ τούτου καὶ Ἱερεμίας προφητεύων ἔλεγεν· «Πνεῦμα πρὸ προσώπου ἡμῶν Χριστὸς κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν, οὗ εἴπομεν· ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσιν.[14]» καὶ Ἰεζεκιὴλ δὲ καὶ οἱ καθεξῆς προφῆται πανταχοῦ,

1. Γεν. 32, 30. 2. Πρβλ. Γεν. 18, 1 ἑξ. 3. Δευτ. 18, 15, 19. 4. Ἰησ. Ν. 5, 14. 5. Α΄ Βασ. 12, 3. 6. Ψαλμ. 44, 1. 7. Ψαλμ. 44, 4-8. 8. Παρμ. 8, 22-25. 9. Παρμ. 9, 1. 10. Ἡσ. 11, 1, 10. 11. Ζαχ. 9, 9. 12. Δαν. 7, 13. 13. Δαν. 2, 34. 14. Θρ. 4, 20.

τοῦτον εἶναι Χριστὸν κύριον, βασιλέα, κριτήν, νομοθέτην, ἄγγελον τοῦ πατρός, μονογενῆ θεόν. 13. τοῦτον οὖν καὶ ἡμεῖς κηρύσσομεν ὑμῖν καὶ εὐαγγελιζόμεθα θεὸν λόγον, ὑπηρετούμενον τῷ θεῷ αὐτοῦ καὶ πατρὶ εἰς τὴν τῶν ὅλων δημιουργίαν· τούτῳ πιστεύοντες ζήσεσθε, ἀπιστοῦντες δὲ κολασθήσεσθε. «ὁ» γὰρ «ἀπειθῶν τῷ υἱῷ οὐκ ὄψεται τὴν ζωήν, ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ' αὐτόν.[1]» 14. μετὰ οὖν τὸ ἑορτάσαι ὑμᾶς τὴν πεντηκοστὴν ἑορτάσατε μίαν ἑβδομάδα, καὶ μετ' ἐκείνην νηστεύσατε μίαν· δίκαιον γὰρ καὶ εὐφρανθῆναι ἐπὶ τῇ ἐκ θεοῦ δωρεᾷ καὶ νηστεῦσαι μετὰ τὴν ἄνεσιν. 15. καὶ γὰρ καὶ Μωσῆς καὶ Ἠλίας ἐνήστευσαν τεσσαράκοντα ἡμέρας[2], καὶ «Δανιὴλ τρεῖς ἑβδομάδας ἡμερῶν ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγεν, καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα αὐτοῦ.[3]» καὶ ἡ μακαρία Ἄννα αἰτουμένη τὸν Σαμουὴλ λέγει· «Οἶνον καὶ μέθυσμα οὐ πέπωκα, καὶ ἐκχεῶ τὴν ψυχήν μου ἐνώπιον κυρίου.[4]» 16. καὶ Νινευῖται, νηστεύσαντες τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, τῆς ὀργῆς τὴν πεῖραν ἀπέφυγον[5], καὶ Ἐσθὴρ καὶ Μαρδοχαῖος[6] καὶ Ἰουδὶθ[7] τὴν τῶν ἀσεβῶν ἐπανάστασιν νηστεύσαντες ἀπέφυγον Ὀλοφέρνου καὶ Ἀμάν, καὶ Δαυὶδ λέγει· «Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον.[8]» 17. καὶ ὑμεῖς οὖν νηστεύοντες αἰτεῖσθε παρὰ τοῦ θεοῦ τὰ αἰτήματα ὑμῶν. 18. μετὰ δὲ τὴν ἑβδομάδα τῆς νηστείας πᾶσαν τετράδα καὶ πᾶσαν παρασκευὴν προστάσσομεν ὑμῖν νηστεύειν, καὶ τὴν περισσείαν ὑμῶν τῆς νηστείας πένησιν ἐπιχορηγεῖν. 19. πᾶν μέντοι σάββατον ἄνευ τοῦ ἑνὸς καὶ πᾶσαν κυριακὴν ἐπιτελοῦντες συνόδους εὐφραίνεσθε· ἔνοχος γὰρ ἁμαρτίας ἔσται ὁ τὴν κυριακὴν νηστεύων, ἡμέραν ἀναστάσεως οὖσαν, ἢ τὴν πεντηκοστὴν ἢ ὅλως ἡμέραν ἑορτῆς κυρίου κατηφῶν· εὐφρανθῆναι γὰρ δεῖ ἐν αὐταῖς, ἀλλ' οὐ πενθῆσαι.

---

1. Ἰω. 3, 36. 2. Ἔξ. 34, 28. Γ' Βασ. 19, 18. 3. Δαν. 10, 2-3. 4. Α' Βασ. 1, 15. 5. Ἰων. 3, 4-5. 6. Ἐσθ. 4, 16. 7. Ἰουδ. 8, 6. 8. Ψαλμ. 108, 24.

ΒΙΒΛΙΟΝ ΣΤ'

ΠΕΡΙ ΣΧΙΣΜΑΤΩΝ

I. Πρὸ πάντων φυλάσσεσθε, ὦ ἐπίσκοποι, τὰς δεινὰς καὶ χαλεπὰς καὶ ἀθεμίτους αἱρέσεις, φεύγοντες αὐτὰς ὥσπερ πῦρ φλέγον τοὺς αὐτῷ πλησιάζοντας. φεύγετε δὲ καὶ τὰ σχίσματα. οὔτε γὰρ πρὸς ἀνοσίους αἱρέσεις θεμιτὸν ἐκκλῖναι τὸν νοῦν, οὔτε τῶν ὁμογνωμόνων χωρίζεσθαι θεμιτὸν διὰ φιλαρχίαν. 2. ταῦτα γὰρ καὶ τὸ παλαιόν τινες τολμήσαντες ἐπιχειρῆσαι οὐ διέφυγον τὴν τιμωρίαν. Δαθὰν γὰρ καὶ 'Αβειρὼν ἀντιπρόσωποι γενόμενοι Μωσεῖ κατεπόθησαν εἰς γῆν [1], Κορὲ δὲ καὶ οἱ μετ' αὐτοῦ διακόσιοι πεντήκοντα, τῷ 'Ααρὼν διαστασιάσαντες, πυρὸς παρανάλωμα γεγόνασιν, Μαριὰμ δὲ ὡς ἑλληνοκοίτην ὀνειδίσασα Μωσῆν ἔξω τῆς παρεμβολῆς ἀπεβλήθη ἑπτὰ ἡμέρας· [2] ἔλεγεν γάρ, ὅτι γυναῖκα Μωϋσῆς Αἰθιόπισσαν ἔλαβεν. 3. οὐ μὴν δὲ ἀλλὰ καὶ 'Αζαρίας ὁ καὶ 'Οζίας, οὗτος δὲ ἦν βασιλεὺς τοῦ 'Ιούδα, κατατολμήσας τῆς ἱερωσύνης καὶ θυμιάσαι βουληθεὶς τὸ θυμίαμα, ὃ οὐ προσῆκον ἦν αὐτῷ, κωλυόμενος ὑπὸ 'Αζαρίου τοῦ ἀρχιερέως καὶ τῶν ὀγδοήκοντα ἱερέων καὶ μὴ ὑπακούσας, ἐξανέτειλεν λέπραν ἐν τῷ μετώπῳ καὶ ἔσπευσεν ἐξελθεῖν, ὅτι ἤλεγξεν αὐτὸν ὁ κύριος.[3]

II. Προσέχωμεν οὖν, ἀγαπητοί, τί τὸ κλέος τῶν στασιασάντων καὶ ποταπὴ ἡ ἀπόφασις αὐτῶν. εἰ γὰρ ὁ βασιλεῦσιν ἐπεγειρόμενος κολάσεως ἄξιος, κἂν υἱὸς ᾖ, κἂν φίλος, πόσῳ μᾶλλον ὁ ἱερεῦσιν ἐπανιστάμενος; ὅσῳ γὰρ ἱερωσύνη βασιλείας ἀμείνων, περὶ ψυχῆς ἔχουσα τὸν ἀγῶνα, τοσούτῳ καὶ βαρυτέραν ἔχει τὴν τιμωρίαν ὁ ταύτῃ τολμήσας ἀντομματεῖν, ἤπερ ὁ τῇ βασιλείᾳ. 2. καίτοιγε οὐδὲ εἷς ἀτιμώρητος· οὔτε γὰρ 'Αβεσσαλὼμ καὶ 'Αβεδδαδὰν ἔμειναν ἀτιμώρητοι [4], οὔτε Κορὲ καὶ Δαθάν.[5] οἱ μὲν γὰρ τῷ Δαυὶδ περὶ βασιλείας, οἱ δὲ τῷ Μωϋσεῖ περὶ πρωτείων ἐπανέστησαν ἁμιλλώμενοι. 3. καὶ ἐκακολόγουν ὁ μὲν 'Αβεσσαλὼμ Δαυὶδ τὸν πατέρα ὡς ἄδικον κριτήν, λέγων ἑκάστῳ· «Οἱ λόγοι σου καλοί, καὶ οὐκ ἔστιν ὁ ἀκουσόμενός σου καὶ δικαιώσας σε· τίς με ποιήσει ἄρχοντα; [6]» 4. ὁ δὲ 'Αβεδδαδάν· «Οὐκ ἔστιν μοι, φησί, μερὶς ἐν Δαυὶδ οὐδὲ κληρονομία ἐν υἱῷ 'Ιεσσαί [7]», δῆλον ὡς ἀναξιοπαθῶν ἄρχεσθαι ὑπὸ Δαυίδ, περὶ οὗ εἶπεν ὁ θεός, ὅτι «εὗρον Δαυὶδ τὸν τοῦ 'Ιεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου· [8]» 5. ὁ δὲ Δαθὰν καὶ 'Αβειρὼν καὶ

1. 'Αριθ. 16, 1 ἑξ. 2. 'Αριθ. 12, 1, 8. 3. Πρβλ. Β' Παρλ. 26, 16 ἑξ. 4. Β' Βασ. 18, 1 ἑξ. 5. 'Αριθ. 16, 1 ἑξ. 6. Β' Βασ. 15, 3-4. 7. Β' Βασ. 20, 1. 8. Πράξ. 13, 22.

οἱ Κορεῖται λέγοντες Μωσεῖ· «Μὴ μικρόν, ὅτι ἀνήγαγες ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ἐκ γῆς ῥεούσης μέλι καὶ γάλα; καὶ τί ὅτι ἐξέκοψας τοὺς ὀφθαλμοὺς ἡμῶν; καὶ σὺ ἄρχεις ἡμῶν;[1]» καὶ ἐπισυνέστησαν ἐπ' αὐτὸν ἐκκλησίαν μεγάλην· 6. καὶ οἱ Κορεῖται· «Μὴ Μωσεῖ λελάληκεν μόνῳ ὁ θεός; τί ὅτι τῷ Ἀαρὼν δέδωκεν τὴν ἀρχιερωσύνην μόνῳ; οὐχὶ πᾶσα ἡ συναγωγὴ κυρίου ἁγία; καὶ τί ὅτι Ἀαρὼν ἱερατεύει μόνος;[2]» 7. καὶ πρὸ τούτων ἄλλος τις ἔλεγεν· «Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς;[3]»

III. Καὶ ἐπανέστησαν Μωσεῖ τῷ τοῦ θεοῦ θεράποντι, τῷ παρὰ πάντας πραοτάτῳ καὶ πιστῷ, τὸν τοσαῦτα παρὰ θεοῦ σημεῖα καὶ τέρατα τῷ λαῷ πεποιηκότα, τὸν τὰ ἔνδοξα καὶ θαυμαστὰ ἔργα εἰς εὐεργεσίαν αὐτῶν τετελεκότα, τὸν ἐπ' Αἰγυπτίους δεκάπληγον πεπληρωκότα, τὸν τὴν ἐρυθρὰν θάλασσαν διῃρηκότα καὶ ὡς τεῖχος τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν διαστήσαντα καὶ ὡς δι' ἐρήμου ξηρᾶς τὸν λαὸν ἀγηοχότα καὶ βυθίσαντα Φαραὼ καὶ τοὺς Αἰγυπτίους καὶ πάντας τοὺς παρ' αὐτῶν μετ' αὐτῶν, τὸν γλυκάναντα πηγὴν αὐτοῖς διὰ ξύλου καὶ ἐκ πέτρας ἀκροτόμου προαγαγόντα αὐτοῖς ὕδωρ διψῶσιν, τὸν ἐξ οὐρανοῦ μαννοδοτήσαντα αὐτοῖς καὶ ἐξ ἀέρος κρεοδοτήσαντα, τὸν στῦλον πυρὸς ἐν νυκτὶ εἰς φωτισμὸν καὶ ὁδηγίαν παρεχόμενον αὐτοῖς καὶ στῦλον νεφέλης εἰς σκιασμὸν ἡμέρας διὰ τὸν ἐξ ἡλίου φλογμόν, τὸν νόμον θεοῦ ἐκ στόματος καὶ χειρὸς καὶ γραφῆς θεοῦ ἐν πλαξὶ λιθίναις κεκολαμμένον παρασχόμενον αὐτοῖς τελείου ἀριθμοῦ δεκάλογον, «ᾧ ὁ θεὸς ἐνώπιος ἐνωπίῳ ὡμίλει, ὡσεί τις λαλήσαι πρὸς ἑαυτοῦ φίλον[4]», περὶ οὗ εἶπεν· «Καὶ οὐκ ἀνέστη προφήτης ὡς Μωσῆς.[5]» 2. τούτῳ ἐπανέστησαν οἱ Κορεῖται καὶ οἱ Ῥουβηλῖται, καὶ λίθους ἔβαλον κατὰ τοῦ Μωσέως προσευχομένου καὶ λέγοντος· «Μὴ πρόσχῃς εἰς τὴν θυσίαν αὐτῶν[6]», καὶ ὀφθεῖσα ἡ δόξα τοῦ θεοῦ τοὺς μὲν εἰς γῆν κατήνεγκεν, τοὺς δὲ πυρὶ κατέφλεξεν, καὶ οὕτως τοὺς ἀρχηγοὺς τῆς πλάνης τοῦ σχίσματος λέγοντας· «Δῶμεν ἀρχηγὸν ἑαυτοῖς[7]», «ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς καὶ κατέπιεν αὐτοὺς καὶ τὰς σκηνὰς αὐτῶν καὶ τὴν ἀποσκευὴν αὐτῶν, καὶ κατῆλθον εἰς ᾅδου ζῶντες, τοὺς δὲ Κορείτας ἀπώλεσεν διὰ πυρός.[8]»

IV. Εἰ οὖν τοῖς διὰ φιλαρχίαν ἀποσχίσασιν παραυτίκα θεὸς ἐπήγαγεν τὴν τιμωρίαν, πόσῳ μᾶλλον τοῖς αἱρέσεων ἀσεβῶν καθηγησαμένοις; οὐ σφοδροτέραν ἐπάξει τὴν τίσιν βλασφημοῦσιν αὐτοῦ τὴν πρόνοιαν ἢ τὴν δημιουργίαν; 2. ἀλλ' ὑμεῖς, ἀδελφοί, ἐκ τῆς γραφῆς παιδευόμενοι, φυλάσσεσθε μὴ ποιεῖν τὰ σχίσματα τῆς γνώμης μήτε μὴν τῆς ἑνώσεως ὑμῶν, ὅτι σκοποὶ ἀπωλείας οἱ δόξης ἀθεμίτου ἄρξαντες καθίστανται τοῖς λαοῖς. 3. ὁμοίως καὶ οἱ λαϊκοί, τοῖς τῇ γνώμῃ τοῦ θεοῦ ἐναντία δογματίσασιν μὴ πλησιάζετε μηδὲ κοινωνοὶ

1. Ἀριθ. 16, 13-14. 2. Ἀριθ. 12, 2· 16, 3. 3. Ἔξ. 2, 19. 4. Ἔξ. 33, 11. 5. Δευτ. 34, 10. 6. Ἀριθ. 16, 15. 7. Ἀριθ. 14, 4. 8. Ἀριθ. 19, 32-33.

τῆς ἀσεβείας αὐτῶν γίνεσθε, λέγει γὰρ καὶ ὁ θεός· «Ἀποσχίσθητε ἐκ μέσου τῶν ἀνδρῶν τούτων, ἵνα μὴ συναπόλησθε αὐτοῖς[1]», καὶ πάλιν· «Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, λέγει κύριος, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, κἀγὼ εἰσδέξομαι ὑμᾶς.[2]»

V. Φευκτέοι γάρ εἰσιν ὡς ἀληθῶς οἱ βλασφημοῦντες θεόν· οἱ μὲν γὰρ πλεῖστοι τῶν ἀσεβῶν ἄγνοιαν ἔχουσιν θεοῦ, οὗτοι δὲ κακόνοιαν ὡς θεομάχοι νοσοῦσιν· ἐκ γὰρ τῆς κακίας τῶν αἱρεσιωτῶν «ἐξῆλθεν μόλυσμα ἐπὶ πᾶσαν τὴν γῆν[3]», ὥς φησιν Ἱερεμίας ὁ προφήτης. 2. ἀποβληθείσης γὰρ τῆς συναγωγῆς τῆς πονηρᾶς ὑπὸ κυρίου τοῦ θεοῦ καὶ τοῦ οἴκου ἀπορριφέντος ὑπ' αὐτοῦ, καθώς πού φησιν· «Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου[4]», καὶ πάλιν· «Ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ οὐδ' οὐ μὴ σκαφῇ, καὶ ἀναβήσεται εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθα, καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν·[5]» 3. ἐγκαταλιπὼν οὖν τὸν λαὸν «ὡς σκηνὴν ἐν ἀμπελῶνι καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ, ὡς πόλιν πολιορκουμένην[6]», περιελὼν δὲ ἀπ' αὐτῶν καὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ τὸν προφητικὸν ὑετόν, ἐπλήρωσεν τὴν αὐτοῦ ἐκκλησίαν πνευματικῆς χάριτος ὡς ποταμὸν Αἰγύπτου ἐν ἡμέραις νέων, καὶ ὑπερύψωσεν αὐτὴν ὡς οἶκον ἐπ' ὄρους ἢ ὡς ὄρος ὑπερφερές, ὡς «ὄρος τετυρωμένον καὶ ὄρος πῖον, ἐν ᾧ εὐδόκησεν ὁ θεὸς κατοικεῖν ἐν αὐτῷ· καὶ γὰρ ὁ κύριος κατασκηνώσει εἰς τέλος[7]», καὶ ἐν τῷ Ἱερεμίᾳ λέγει· «Θρόνος δόξης ὑψωμένος ἁγίασμα ἡμῶν[8]», καὶ ἐν Ἡσαΐᾳ λέγει· «Ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος κυρίου, καὶ ὁ οἶκος τοῦ θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν.[9]» 4. ἐπεὶ οὖν καὶ τὸν λαὸν ἐγκατέλιπεν, καὶ τὸν ναὸν ἀφῆκεν ἔρημον, «σχίσας τὸ καταπέτασμα τοῦ ναοῦ[10]» καὶ λαβὼν ἀπ' αὐτῶν τὸ πνεῦμα τὸ ἅγιον· «Ἰδοὺ» γάρ, φησίν, «ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος[11]», καὶ δοὺς ἐφ' ὑμᾶς τοὺς ἐξ ἐθνῶν τὴν πνευματικὴν χάριν, ὡς λέγει διὰ Ἰωήλ· «Καὶ ἔσται μετὰ ταῦτα», λέγει ὁ θεός, καὶ «ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται·[12]» πᾶσαν γὰρ δύναμιν λόγου καὶ ἐνέργειαν καὶ τὴν τοιάνδε ἐπισκοπὴν ἀπάρας ὁ θεὸς ἐκ τοῦ λαοῦ, εἰς ὑμᾶς τοὺς ἐξ ἐθνῶν ἔθετο. 5. διὰ γὰρ τοῦτο ζηλώσας καὶ ὁ διάβολος τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν μετέστη εἰς ὑμᾶς, ἐπεγείρας ὑμῖν θλίψεις, διωγμούς, ἀκαταστασίας, βλασφημίας, σχίσματα, αἱρέσεις· ἐκεῖνον γὰρ τὸν λαὸν διὰ τῆς χριστοκτονίας εἰς ἑαυτὸν ὑπηγάγετο, ὑμᾶς δὲ ἀποστάντας αὐτοῦ τῆς ματαιότητος

---

1. Ἀριθ. 16, 21, 26. 2. Ἡσ. 52, 11. Β' Κορ. 6, 17. 3. Ἱερ. 23, 15. 4. Ἱερ. 12, 7. 5. Ἡσ. 5, 6. 6. Ἡσ. 1, 8. 7. Ψαλμ. 67, 16-17. 8. Ἱερ. 17, 12. 9. Ἡσ. 2, 2. 10. Πρβλ. Ἑβρ. 10. 20. 11. Ματθ. 23, 38. 12. Ἰωὴλ 2, 28.

ἄλλοτε ἄλλως πειράζει, ὡς καὶ τὸν μακάριον 'Ιώβ. 6. καὶ γὰρ τῷ μεγάλῳ ἀρχιερεῖ 'Ιησοῦ τῷ τοῦ 'Ιωσεδὲκ ἀντέκειτο, καὶ ἡμᾶς πολλάκις ἐξῃτήσατο ἐξυδαρωθῆναι, ὅπως ἐκλείπῃ ἡ πίστις ἡμῶν. 7. ἀλλ' ὁ ἡμέτερος κύριος καὶ διδάσκαλος, ἐν δίκῃ καταστήσας αὐτόν, ἔλεγεν αὐτῷ· «'Επιτιμήσαι ἐν σοὶ κύριος, διάβολε, καὶ ἐπιτιμήσαι κύριος ἐν σοὶ ἐκλεξάμενος τὴν 'Ιερουσαλήμ· οὐκ ἰδοὺ τοῦτο ἐξεσπασμένον ὡς δαλός;[1]» καὶ ὁ εἰπὼν τότε τοῖς παρεστῶσιν τῷ ἀρχιερεῖ· «Περιέλετε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ' αὐτοῦ[2]», καὶ ἐπειπών· «'Ιδοὺ ἀφῄρηκα τὰς ἀνομίας σου ἀπὸ σοῦ[3]», οὗτος ἐρεῖ καὶ νῦν, ὡς καὶ πάλαι συνηθροισμένων ἡμῶν ἔλεγεν περὶ ἡμῶν, ὅτι «ἐδεήθην, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις ὑμῶν.[4]»

VI. Εἶχεν μὲν οὖν καὶ ὁ ἰουδαϊκὸς ὄχλος αἱρέσεις κακίας. 2. καὶ γὰρ καὶ Σαδδουκαῖοι ἐξ αὐτῶν οἱ μὴ ὁμολογοῦντες νεκρῶν ἀνάστασιν· 3. καὶ Φαρισαῖοι οἱ τύχῃ καὶ εἱμαρμένῃ ἐπιγράφοντες τὴν τῶν ἁμαρτανόντων πρᾶξιν· 4. καὶ Μασβωθαῖοι οἱ πρόνοιαν ἀρνούμενοι, ἐξ αὐτομάτου δὲ φορᾶς λέγοντες τὰ ὄντα συνεστάναι καὶ ψυχῆς τὴν ἀθανασίαν περικόπτοντες· 5. καὶ 'Ημεροβαπτισταί, οἵτινες, καθ' ἑκάστην ἡμέραν ἐὰν μὴ βαπτίσωνται, οὐκ ἐσθίουσιν, ἀλλὰ καὶ τὰς κλίνας καὶ τοὺς πίνακας ἤτοι κρατῆρας καὶ ποτήρια καὶ καθίσματα, ἐὰν μὴ καθάρωσιν ὕδατι, οὐδενὶ χρῶνται· 6. καὶ οἱ ἐφ' ἡμῶν νῦν φανέντες 'Εβιωναῖοι, τὸν υἱὸν τοῦ θεοῦ ψιλὸν ἄνθρωπον εἶναι βουλόμενοι, ἐξ ἡδονῆς ἀνδρὸς καὶ συμπλοκῆς 'Ιωσὴφ καὶ Μαρίας αὐτὸν γεννῶντες· 7. οἱ δὲ τούτων πάντων ἑαυτοὺς χωρίσαντες καὶ τὰ πάτρια φυλάσσοντές εἰσιν 'Εσσαῖοι. 8. ταῦτα μὲν οὖν ἐν τῷ προτέρῳ λαῷ, καὶ νῦν ὁ πονηρός, σοφὸς ὢν τοῦ κακοποιῆσαι καὶ τὸ καλὸν ὅ,τι ποτέ ἐστιν ἀγνοῶν, ἐξ ἡμῶν τινας ἐκβαλὼν ἐνήργησεν ἐν αὐτοῖς αἱρέσεις καὶ σχίσματα.

VII. 'Η δὲ καταρχὴ τῶν νέων αἱρέσεων γέγονεν οὕτως. Σίμωνά τινα ἀπὸ Γιτθῶν οὕτω καλουμένης κώμης Σαμαρέα, τῇ τέχνῃ μάγον, ἐνδυσάμενος ὁ διάβολος ὑπηρέτην αὐτοῦ τῆς μοχθηρᾶς γνώμης ἐποιήσατο.[5] 2. ἡνίκα δὲ Φίλιππος ὁ συναπόστολος ἡμῶν τῇ τοῦ κυρίου δόσει καὶ τῇ τοῦ πνεύματος αὐτοῦ ἐνεργείᾳ δυνάμεις ἰαμάτων ἐπετέλει ἐν Σαμαρείᾳ, ὡς καταπλαγέντας τοὺς Σαμαρεῖς εἰς πίστιν ἐλθεῖν τοῦ τῶν ὅλων θεοῦ καὶ τοῦ κυρίου 'Ιησοῦ καὶ βαπτίσασθαι εἰς τὸ ὄνομα αὐτοῦ, ἤδη δὲ καὶ αὐτοῦ τοῦ Σίμωνος σημεῖα καὶ τέρατα θεασαμένου ἄνευ μαγγανείας τινὸς γοητικῆς ἐπιτελούμενα καὶ εἰς θαῦμα καταπεσόντος, καὶ πιστεύσαντος καὶ βαπτισθέντος καὶ προσκαρτεροῦντος τῇ νηστείᾳ καὶ τῇ προσευχῇ· ἀκούσαντες ἡμεῖς τὴν χάριν τοῦ θεοῦ τὴν ὑπάρξασαν Σαμαρεῦσι διὰ Φιλίππου, παρεγενόμεθα πρὸς αὐτοὺς καὶ πολὺ συμβαλλόμενοι τῷ λόγῳ τῆς διδασκαλίας,

---

1. Ζαχ. 3, 2. 2. Ζαχ. 3, 4. 3. Ζαχ. 3, 4. 4. Λουκ. 22, 32. 5. Πράξ. 8, 9 ἑξ.

πᾶσι τοῖς βεβαπτισμένοις ἐπιτιθέντες τὰς χεῖρας εὐχαῖς τὴν τοῦ πνεύματος μετουσίαν ἐδωρούμεθα. 3. ἰδὼν δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν ἡμῶν δίδοται τὸ πνεῦμα τοῖς πιστεύουσιν, λαβὼν χρήματα προσήνεγκεν ἡμῖν λέγων· «Δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα κἀγὼ ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας λαμβάνῃ πνεῦμα ἅγιον[1]», βουλόμενος, ὡς τὸν Ἀδὰμ τῇ γεύσει τοῦ ξύλου τῆς κατ' ἐπαγγελίαν ἀθανασίας ἐστέρησεν, οὕτως καὶ ἡμᾶς τῇ λήψει τῶν χρημάτων θέλξας τῆς δόσεως τοῦ θεοῦ περιγράψαι, ὅπως ἀντικαταλλαξάμενοι ἀποδώμεθα αὐτῷ χρημάτων τὴν ἀτίμητον τοῦ πνεύματος δωρεάν. 4. πάντων δὲ ἡμῶν ἐπὶ τούτῳ ταραχθέντων, ἀτενίσας ἐγὼ Πέτρος εἰς τὸν ἐν αὐτῷ κακοῦργον ὄφιν εἶπον τῷ Σίμωνι· «Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι· οὐκ ἔστι σοι μερὶς ἐν τῷ λόγῳ τούτῳ οὐδὲ κλῆρος ἐν τῇ πίστει ταύτῃ, ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ θεοῦ· μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης καὶ δεήθητι τοῦ θεοῦ, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου· εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας θεωρῶ σε ὄντα.[2]» 5. ἀλλὰ τότε μὲν ὁ Σίμων ἔμφοβος γενόμενός φησιν· «Παρακαλῶ, δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν κύριον, ὅπως μηδὲν ἐπέλθῃ ἐπ' ἐμὲ ὧν εἰρήκατε.[3]»

VIII. Ἡνίκα δὲ ἐξήλθομεν ἐν τοῖς ἔθνεσιν κηρύσσειν εἰς τὸν κόσμον τὸν λόγον τῆς ζωῆς, τότε ἐνήργησεν ὁ διάβολος εἰς τὸν λαόν, ἀποστεῖλαι ὀπίσω ἡμῶν ψευδαποστόλους εἰς βεβήλωσιν τοῦ λόγου· καὶ προεβάλοντο Κλεόβιόν τινα καὶ παρέζευξαν τῷ Σίμωνι, οὗτοι δὲ μαθητεύουσιν Δοσιθέῳ τινί, ὃν καὶ παρευδοκιμήσαντες ἐξώσαντο τῆς ἀρχῆς· εἶτα καὶ ἕτεροι ἑτέρων κατῆρξαν ἐκτόπων δογμάτων, Κήρινθος καὶ Μάρκος καὶ Μένανδρος καὶ Βασιλείδης καὶ Σατορνῖλος. 2. τούτων οἱ μὲν πολλοὺς θεούς, οἱ δὲ τρεῖς ἐναντίους, ἀνάρχους, ἀεὶ συνόντας ἑαυτοῖς, οἱ δὲ ἀπείρους καὶ ἀγνώστους δοξάζουσιν· καὶ οἱ μὲν τὸν γάμον ἀθετοῦσιν, οὐκ εἶναι τοῦ θεοῦ ἔργον δοξάζοντες, ἄλλοι δέ τινα τῶν βρωμάτων βδελύσσονται, οἱ δὲ ἀναίδην ἐκπορνεύουσιν, οἷοι οἱ νῦν ψευδώνυμοι Νικολαῖται.

IX. Ὁ μέντοι Σίμων ἐμοὶ Πέτρῳ πρῶτον μὲν ἐν Καισαρείᾳ τῇ Στράτωνος, ἔνθα Κορνήλιος ὁ πιστὸς ἐπίστευσεν ὢν ἐθνικὸς ἐπὶ τὸν κύριον Ἰησοῦν δι' ἐμοῦ[4], συντυχών μοι ἐπειρᾶτο διαστρέφειν τὸν λόγον τοῦ θεοῦ, συμπαρόντων μοι τῶν ἱερῶν τέκνων, Ζακχαίου τοῦ ποτε τελώνου καὶ Βαρνάβα, καὶ Νικήτου καὶ Ἀκύλα ἀδελφῶν Κλήμεντος τοῦ Ῥωμαίων ἐπισκόπου τε καὶ πολίτου, μαθητευθέντος δὲ καὶ Παύλῳ τῷ συναποστόλῳ ἡμῶν καὶ συνεργῷ ἐν τῷ εὐαγγελίῳ· καὶ τρίτον ἐπ' αὐτῶν διαλεχθεὶς αὐτῷ εἰς τὸν περὶ προφήτου λόγον καὶ περὶ θεοῦ μοναρχίας, ἡττήσας αὐτὸν δυνάμει τοῦ κυρίου καὶ εἰς

---

1. Πράξ. 8, 19. 2. Πράξ. 8, 20-23. 3. Πράξ. 8, 24. 4. Πράξ. 10, 1 ἑξ.

ἀφωνίαν καταβαλὼν φυγάδα κατέστησα εἰς τὴν Ἰταλίαν. 2. γενόμενος δὲ ἐν Ῥώμῃ πολὺ τὴν ἐκκλησίαν ἔσκυλεν, πολλοὺς ἀνατρέπων καὶ ἑαυτῷ περιποιούμενος, τὰ δὲ ἔθνη ἐξιστῶν μαγικῇ ἐμπειρίᾳ καὶ δαιμόνων ἐνεργείᾳ, ὥς καί ποτε μέσης ἡμέρας προελθὼν εἰς τὸ θέατρον αὐτῶν, κελεύσας τοῖς δήμοις ἁρπαγῆναι κἀμέ, ἐν τῷ θεάτρῳ ἐπηγγέλλετο πτῆναι δι' ἀέρος. 3. πάντων δὲ ἐπὶ τούτῳ μετεώρων τυγχανόντων ἐγὼ προσηυχόμην καθ' ἑαυτόν, καὶ δὴ μετεωρισθεὶς ὑπὸ δαιμόνων ἵπτατο μετάρσιος εἰς ἀέρα, λέγων εἰς οὐρανοὺς ἀνιέναι κἀκεῖθεν αὐτοῖς τὰ ἀγαθὰ ἐπιχορηγήσειν· τῶν δὲ δήμων ἐπευφημούντων αὐτὸν ὡς θεόν, ἐκτείνας ἐγὼ τὰς χεῖρας εἰς οὐρανὸν σὺν αὐτῇ τῇ διανοίᾳ ἱκέτευον τὸν θεὸν διὰ Ἰησοῦ τοῦ κυρίου ῥῆξαι τὸν λυμεῶνα καὶ τὴν ἰσχὺν τῶν δαιμόνων περικόψαι ἐπ' ἀπάτῃ καὶ ἀπωλείᾳ ἀνθρώπων κεχρημένων αὐτῇ, ῥάξαντα δὲ μὴ θανατῶσαι, ἀλλὰ συντρῖψαι. 4. καὶ ὑπολαβών, ἀτενίσας εἶπον τῷ Σίμωνι· Εἰ «θεοῦ ἄνθρωπος[1]» ἐγώ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ ἀληθὴς καὶ διδάσκαλος εὐσεβείας, ἀλλ' οὐ πλάνης, οἷος σὺ Σίμων, προστάσσω ταῖς πονηραῖς δυνάμεσιν τοῦ τῆς εὐσεβείας ἀποστάτου, ἐφ' αἷς ὀχεῖται Σίμων ὁ μάγος, ἀφεῖναι τῆς κρατήσεως, ὅπως ἐξ ὕψους κατενεχθῇ εἰς γέλωτα τῶν ἀπατηθέντων ὑπ' αὐτοῦ· καὶ εἰπόντος μου ταῦτα, περικοπεὶς τῶν δυνάμεων ὁ Σίμων κατηνέχθη μετὰ μεγάλου ἤχου καὶ ῥαγεὶς ἐξαίσιον συντρίβεται τὸ ἰσχίον καὶ τῶν ποδῶν τοὺς ταρσούς. 5. καὶ φωνὴ τῶν ὄχλων λέγουσα· Εἷς ὁ θεός, ὃν Πέτρος δικαίως καταγγέλλει τῇ ἀληθείᾳ μόνον· καὶ πολλοὶ ἀπέστησαν ἀπ' αὐτοῦ, τινὲς δὲ ἄξιοι τῆς ἀπωλείας αὐτοῦ ὄντες παρέμειναν αὐτοῦ τῇ μοχθηρᾷ διδασκαλίᾳ. 6. καὶ οὕτως πρώτη ἐπάγη ἡ τῶν Σιμωνιανῶν ἀθεωτάτη αἵρεσις ἐν Ῥώμῃ, καὶ διὰ τῶν λοιπῶν ψευδαποστόλων ἐνήργει ὁ διάβολος.

Χ. Τούτοις δὲ πᾶσιν ἐπίσης σκοπὸς ἦν εἷς καὶ ὁ αὐτὸς ἀθεότητος, τὸν μὲν παντοκράτορα θεὸν βλασφημεῖν, ἄγνωστον δοξάζειν καὶ μὴ εἶναι πατέρα τοῦ Χριστοῦ μηδὲ τοῦ κόσμου δημιουργόν, ἀλλ' ἄλεκτον, ἄρρητον, ἀκατονόμαστον, αὐτογένεθλον· Νόμῳ καὶ Προφήταις μὴ χρᾶσθαι, πρόνοιαν μὴ εἶναι, ἀνάστασιν μὴ πιστεύειν, κρίσιν μὴ εἶναι καὶ ἀνταπόδοσιν, ψυχὴν ἀθάνατον μὴ ὑπάρχειν, ἡδονῇ χαίρειν μόνῃ καὶ πρὸς πᾶσαν θρησκείαν ἀδιαφόρως ἐκκλίνειν. 2. οἱ μὲν γὰρ πλείους εἶναι θεούς λέγουσιν, οἱ δὲ τρεῖς ἀνάρχους, οἱ δὲ δύο ἀγεννήτους, οἱ δὲ αἰῶνας ἀπείρους· καὶ οἱ μὲν αὐτῶν ἀγαμίαν διδάσκουσιν καὶ κρεῶν ἀποχὴν καὶ οἴνου, βδελυκτὰ λέγοντες εἶναι καὶ γάμον καὶ παίδων γένεσιν καὶ βρωμάτων μετάληψιν, ἵν' ὡς σεμνοί τινες τὴν πονηρὰν αὐτῶν γνώμην ὡς ἀξιόπιστον παραδεχθῆναι ποιήσωσιν· τινὲς δὲ ἐξ αὐτῶν νομοθετοῦσι κρεῶν ἀπέχεσθαι οὐχ ὡς ἀλόγων ζῴων, ἀλλ' ὡς λογικὴν ἐχόντων ψυχὴν καὶ φόνου δίκην εἰσπράσσεσθαι μελλόντων τῶν ταῦτα κατατολμώντων σφάζειν. 3. ἕτεροι δὲ

1. Πρβλ. Α' Τιμ. 6, 11.

ἐξ αὐτῶν ἔλεγον μόνου δεῖν χοιρείου ἀπέχεσθαι, τὰ δὲ κατὰ νόμον καθαρὰ ἐσθίειν καὶ περιτέμνεσθαι νομίμως, πιστεύειν δὲ εἰς Ἰησοῦν ὡς εἰς ὅσιον ἄνδρα καὶ προφήτην· ἄλλοι δὲ ἀναίδην ἐκπορνεύειν καὶ παραχρᾶσθαι τῇ σαρκὶ ἐδίδασκον καὶ διὰ πάσης ἀνοσιουργίας ἰέναι, ὡς οὕτως καὶ μόνως ἐκφεύξεσθαι τὴν ψυχὴν τοὺς κοσμικοὺς ἄρχοντας. οὗτοι δὲ πάντες τοῦ διαβόλου ὄργανα τυγχάνουσιν καὶ «υἱοὶ ὀργῆς.[1]»

XI. Ἡμεῖς δὲ «τέκνα θεοῦ[2]» καὶ «υἱοὶ εἰρήνης[3]», τὸν ἱερὸν καὶ εὐθῆ λόγον κηρύσσοντες τῆς εὐσεβείας, ἕνα μόνον θεὸν καταγγέλλομεν, νόμου καὶ προφητῶν κύριον, τῶν ὄντων δημιουργόν, τοῦ Χριστοῦ πατέρα, οὐκ αὐταίτιον καὶ αὐτογένεθλον, ὡς ἐκεῖνοι οἴονται, ἀλλ' ἀΐδιον καὶ ἄναρχον καὶ «φῶς οἰκοῦντα ἀπρόσιτον[4]», οὐ δεύτερον ὄντα ἢ τρίτον ἢ πολλοστόν, ἀλλὰ μόνον ἀϊδίως, οὐκ ἄγνωστον ἢ ἄλεκτον, ἀλλὰ διὰ Νόμου καὶ Προφητῶν κηρυσσόμενον, παντοκράτορα, παντάρχην, παντεξούσιον· 2. θεὸν καὶ πατέρα τοῦ μονογενοῦς καὶ πρωτοτόκου πάσης δημιουργίας, ἕνα θεὸν ἑνὸς υἱοῦ πατέρα, οὐ πλειόνων, ἑνὸς παρακλήτου διὰ Χριστοῦ, καὶ τῶν ἄλλων ταγμάτων ποιητήν· 3. ἕνα δημιουργὸν διαφόρου κτίσεως διὰ Χριστοῦ ποιητήν, τὸν αὐτὸν προνοητήν, νομοθέτην δι' αὐτοῦ, ἀναστάσεως αἴτιον καὶ κρίσεως καὶ ἀνταποδόσεως δι' αὐτοῦ γενόμενον· 4. τοῦτον αὐτὸν καὶ ἄνθρωπον εὐδοκήσαντα γενέσθαι καὶ πολιτευσάμενον ἄνευ ἁμαρτίας καὶ παθόντα καὶ ἀποθανόντα καὶ ἀναστάντα ἐκ νεκρῶν καὶ ἀνελθόντα πρὸς τὸν ἀποστείλαντα. 5. «πᾶν κτίσμα θεοῦ καλὸν» φαμεν «καὶ οὐδὲν βδελυκτόν[5]», πᾶν τὸ πρὸς σύστασιν δικαίως μεταλαμβανόμενον ἄριστον· «πάντα» γὰρ κατὰ τὴν γραφὴν «καλὰ λίαν.[6]» 6. γάμον νόμιμον καὶ παίδων γένεσιν τίμιον καὶ ἀμόλυντον εἶναι πιστεύομεν·[7] ἐπ' αὐξήσει γὰρ τοῦ γένους τῶν ἀνθρώπων διαφορὰ σχημάτων διεπλάσθη ἐν τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ. 7. ψυχὴν ἀσώματον ἐν ἡμῖν καὶ ἀθάνατον ὁμολογοῦμεν, ἀλλ' οὐ φθαρτὴν ὡς τὰ σώματα, ἀλλ' ἀθάνατον ὡς λογικὴν καὶ αὐτεξούσιον. 8. πᾶσαν μῖξιν παράνομον καὶ τὴν παρὰ φύσιν γινομένην ὑπό τινων βδελυσσόμεθα ὡς ἀθέμιτον καὶ ἀνοσίαν. 9. ἀνάστασιν γίνεσθαι ὁμολογοῦμεν δικαίων τε καὶ ἀδίκων καὶ μισθαποδοσίαν. 10. τὸν Χριστὸν οὐ ψιλὸν ἄνθρωπον ὁμολογοῦμεν, ἀλλὰ θεὸν λόγον καὶ ἄνθρωπον, «μεσίτην θεοῦ καὶ ἀνθρώπων[8]», ἀρχιερέα τοῦ πατρός· οὔτε μὴν μετὰ Ἰουδαίων περιτεμνόμεθα, εἰδότες, ὅτι «ἐλήλυθεν ᾧ ἀπέκειτο[9]», καὶ δι' ὃν ἐφυλάσσετο τὰ γένη, «ἡ προσδοκία τῶν ἐθνῶν[10]», Ἰησοῦς ὁ Χριστὸς ὁ ἐξ Ἰούδα ἀνατείλας, ὁ ἐκ βλαστοῦ υἱός, «τὸ ἐξ Ἰεσσαὶ ἄνθος[11], οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου.[12]»

XII. Ἀλλ' ἐπεὶ τότε αὕτη ἡ αἵρεσις ἰσχυροτέρα πρὸς πλάνην ἔδοξεν εἶναι, καὶ τῆς ἐκκλησίας ὅλης κινδυνευούσης, ἡμεῖς οἱ δώδεκα

---

1. Ἐφ. 2, 3. 2. Ἰω. 12, 36. 3. Λουκ. 10, 6. 4. Α΄ Τιμ. 6, 16. 5. Α΄ Τιμ. 4, 4. 6. Γεν. 1, 31. 7. Ἑβρ. 13, 4. 8. Α΄ Τιμ. 2, 5. 9. Γεν. 49, 10. 10. Γεν. 49, 10. 11. Ἡσ. 11, 1. 12. Ἡσ. 9, 6.

συνελθόντες εἰς Ἱερουσαλήμ· ἀντὶ γὰρ τοῦ προδότου Ματθίας σὺν ἡμῖν κατεψηφίσθη ἀπόστολος εἶναι, λαβὼν τὸν κλῆρον Ἰούδα[1], ὡς εἴρηται· «Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος[2]», ἐπεσκεπτόμεθα ἅμα Ἰακώβῳ τῷ τοῦ κυρίου ἀδελφῷ, τί γένηται· καὶ ἔδοξεν αὐτῷ τε καὶ τοῖς πρεσβυτέροις λόγους διδασκαλίας προσλαλῆσαι τῷ λαῷ. 2. καὶ γὰρ «τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας» εἰς Ἀντιόχειαν «ἐδίδασκον τοὺς» ἐκεῖ «ἀδελφούς, λέγοντες, ὅτι ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει Μωσέως[3]» καὶ τοῖς ἄλλοις ἔθεσιν οἷς διετάξατο περιπατῆτε, «οὐ δύνασθε σωθῆναι.[4]» 3. γενομένης οὖν στάσεως καὶ ζητήσεως οὐκ ὀλίγης», οἱ ἐν Ἀντιοχείᾳ ἀδελφοί, γνόντες, ὅτι συνεληλύθαμεν πάντες περὶ τούτου ζητήσοντες, ἐξαπέστειλαν πρὸς ἡμᾶς ἄνδρας πιστοὺς καὶ τῶν γραφῶν εἰδήμονας, μαθεῖν περὶ τοῦ ζητήματος τούτου. «οἱ δέ, παραγενόμενοι εἰς Ἱερουσαλήμ, ἀνήγγειλαν» ἡμῖν τὰ ζητηθέντα καὶ ἐν τῇ Ἀντιοχέων ἐκκλησίᾳ, ὡς ὅτι τινὲς «ἔλεγον, ὅτι δεῖ περιτέμνεσθαι καὶ» τὰς ἄλλας ἁγνείας «παραφυλάττειν.[5]» 4. ἄλλων δὲ ἄλλο τι λεγόντων, ἐγὼ «Πέτρος ἀναστὰς εἶπον πρὸς αὐτούς· Ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε, ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ἐν ὑμῖν ἐξελέξατο ὁ θεὸς διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου καὶ πιστεῦσαι· καὶ ὁ καρδιογνώστης θεὸς ἐμαρτύρησεν αὐτοῖς.[6]» 5. Κορνηλίῳ γάρ ποτε ἑκατοντάρχῃ ῥωμαϊκῆς ἀρχῆς ὤφθη ἄγγελος κυρίου καὶ περὶ ἐμοῦ εἶπεν αὐτῷ, ὅπως μεταστείληταί με καὶ ἀκούσῃ ῥήματα ζωῆς ἐκ τοῦ στόματός μου·[7] ὁ δὲ μετεπέμψατό με ἀπὸ Ἰόππης εἰς Καισάρειαν τὴν Στράτωνος. 6. ὁπότε δὲ ἔμελλον πρὸς αὐτὸν ἐκπορεύεσθαι, ἐβουλήθην τροφῆς μεταλαβεῖν· καὶ παρασκευαζόντων, ἤμην «ἐν τῷ ὑπερῴῳ προσευχόμενος, καὶ θεωρῶ τὸν οὐρανὸν ἀνεῳγότα καὶ τέσσαρσιν ἀρχαῖς δεδεμένον σκεῦός τι» ὡς ὀθόνην λαμπράν· «καὶ καθιέμενον ἐπὶ τῆς γῆς, ἐν ᾧ ὑπῆρχεν πάντα τὰ τετράποδα καὶ τὰ ἑρπετὰ τῆς γῆς καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ· καὶ ἐγένετο φωνὴ» ἐκ τοῦ οὐρανοῦ «πρὸς μὲ λέγουσα· Ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε. κἀγὼ εἶπον· Μηδαμῶς, κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν καὶ ἀκάθαρτον. καὶ ἐγένετο πάλιν φωνὴ ἐκ δευτέρου λέγουσα· Ἃ ὁ θεὸς ἐκαθάρισεν, σὺ μὴ κοίνου. τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν. 7. ὡς δὲ διηπόρουν, τί ἂν εἴη τὸ ὅραμα, εἶπέν μοι τὸ πνεῦμα· Ἰδοὺ ἄνδρες ζητοῦσίν σε· ἀλλὰ ἀναστὰς πορεύθητι σὺν αὐτοῖς μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέστειλα αὐτούς.[8]» οὗτοι δὲ ἦσαν οἱ παρὰ τοῦ ἑκατοντάρχου. 8. καὶ οὕτως ἀναλογισάμενος ἔγνων τὸ ῥῆμα κυρίου τὸ γεγραμμένον, ὅτι «πᾶς, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται[9]», καὶ πάλιν· «Μνησθήσεται καὶ ἐπιστραφήσεται πρὸς κύριον πάντα τὰ

---

1. Πράξ. 1, 16 ἑξ. 2. Ψαλμ. 108, 8. Πράξ. 1, 20. 3. Πράξ. 15, 1. 4. Πράξ. 15, 1. 5. Πράξ. 15, 4-5. 6. Πράξ. 15, 7-8. 7. Πράξ. 10, 1 ἑξ. 8. Πράξ. 10, 20. 9. Ἰωὴλ 2, 32.

πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, ὅτι τοῦ κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.[1]» 9. καὶ ὡς πανταχοῦ περὶ τῆς κλήσεως τῶν ἐθνῶν εἴρηται ἐννοήσας, ἀναστὰς ἐπορεύθην σὺν αὐτοῖς καὶ εἰσῆλθον εἰς τὸν οἶκον τοῦ ἀνδρός· καὶ «ἔτι μου διαγγέλλοντος τὸν λόγον, ἐπέπεσεν τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτὸν καὶ ἐπὶ τοὺς παρόντας σὺν αὐτῷ, καθὼς καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ· καὶ οὐθὲν διέκρινεν μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν.[2]» 10. καὶ ἔγνων ἐγώ, «ὅτι οὐκ ἔστιν προσωπολήπτης ὁ θεός, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν· ἐξέστησαν δὲ» ἐπὶ τούτῳ καὶ «οἱ ἐκ περιτομῆς πιστοί. 11. νῦν οὖν τί πειράζετε τὸν θεόν, ἐπιθεῖναι ζυγὸν βαρὺν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε ἡμεῖς οὔτε οἱ πατέρες ἡμῶν ἰσχύσαμεν βαστάσαι; ἀλλὰ διὰ τῆς χάριτος τοῦ κυρίου πιστεύομεν σωθῆναι, καθ' ὃν τρόπον κἀκεῖνοι·[3]» ἔλυσεν γὰρ ἡμᾶς ὁ κύριος ἐκ τῶν δεσμῶν καὶ ἠλάφρυνεν τὸ φορτίον ἡμῶν καὶ τὸν ζυγὸν τοῦ βάρους πραότητι ἔλυσεν ἀφ' ἡμῶν. 12. ταῦτα δέ μου εἰπόντος, «ἐσίγησεν ἅπαν τὸ πλῆθος[4]», ἀπεκρίθη δὲ Ἰάκωβος ὁ τοῦ κυρίου ἀδελφὸς λέγων· «Ἄνδρες ἀδελφοί, ἀκούσατέ μου. Συμεὼν ἐξηγήσατο, καθὼς πρῶτον ὁ θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ· καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν, καθὼς γέγραπται· Μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω καὶ ἀνορθώσω αὐτήν, ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν κύριον καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς, λέγει κύριος ὁ ποιῶν ταῦτα. 13. γνωστὰ ἀπ' αἰῶνός ἐστι τῷ θεῷ πάντα τὰ ἔργα αὐτοῦ· διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν θεόν, ἀλλ' ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων» τῶν ἐθνῶν, «εἰδωλοθύτου καὶ πορνείας καὶ αἵματος καὶ πνικτοῦ·[5]» ἅπερ καὶ τοῖς παλαιοῖς νενομοθέτητο τοῖς πρὸ τοῦ νόμου φυσικοῖς, Ἐνώς, Ἐνώχ, Νῶε, Μελχισεδέκ, Ἰὼβ καὶ εἴ τις τοιοῦτος ἐγεγόνει. 14. «τότε ἔδοξεν ἡμῖν τοῖς ἀποστόλοις καὶ τῷ ἐπισκόπῳ» Ἰακώβῳ «καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ, ἐκλεξαμένους ἄνδρας ἐξ ἡμῶν αὐτῶν πέμψαι σὺν τοῖς περὶ Βαρνάβαν καὶ Παῦλον τὸν τῶν ἐθνῶν ἀπόστολον τὸν Ταρσέα καὶ Ἰούδαν τὸν καλούμενον Βαρσαββᾶν καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, γράψαντες διὰ χειρὸς αὐτῶν τάδε· 15. Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν χαίρειν. ἐπειδὴ ἠκούσαμεν, ὅτι τινὲς ἐξ ἡμῶν ἐτάραξαν ὑμᾶς λόγοις ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, οἷς οὐ διεστειλάμεθα, ἔδοξεν ἡμῖν γενομένοις

---

1. Ψαλμ. 21, 28-29. 2. Πράξ. 15, 9. 3. Πράξ. 15, 10. 4. Πράξ. 15, 12. 5. Πράξ. 15, 20.

ὁμοθυμαδόν, ἐκλεξαμένους ἄνδρας ἐκπέμψαι πρὸς ὑμᾶς σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' ὧν ἐπεστείλατε· ἀπεστάλκαμεν δὲ μετ' αὐτῶν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. ἔδοξεν γὰρ τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν μηθὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος πλὴν τούτων τῶν ἐπάναγκες, ἀπέχεσθαι εἰδωλοθύτου καὶ αἵματος καὶ πνικτοῦ καὶ πορνείας· ἐξ ὧν διατηροῦντες ἑαυτοὺς εὖ πράξετε. ἔρρωσθε.[1]»

XIII. Τὴν μὲν οὖν ἐπιστολὴν ἐξαπεστείλαμεν, αὐτοὶ δὲ ἐν ἱκαναῖς ἡμέραις ἐν Ἱεροσολύμοις ἐπεμείναμεν ἅμα συζητοῦντες πρὸς τὸ κοινωφελὲς εἰς διόρθωσιν. 2. μετὰ δὲ χρόνον ἱκανὸν ἐπισκεψάμενοι τοὺς ἀδελφοὺς καὶ στηρίξαντες αὐτοὺς τῷ λόγῳ τῆς εὐσεβείας, καὶ παρεγγυησάμενοι φεύγειν αὐτοὺς τοὺς ἐπ' ὀνόματι Χριστοῦ καὶ Μωσέως πολεμοῦντας Χριστῷ καὶ Μωσεῖ, καὶ ἐν δορᾷ προβάτου τὸν λύκον κατακρύπτοντας· 3. οὗτοι γάρ εἰσι ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ ψευδαπόστολοι, πλάνοι καὶ φθορεῖς, «ἀλωπέκων μερίδες[2]» καὶ χαμαιζήλων «ἀμπέλων ἀφανισταί[3]», δι' οὓς «ψυγήσεται ἡ τῶν πολλῶν ἀγάπη· ὁ δὲ ὑπομείνας εἰς τέλος» ἀδιάστροφος «οὗτος σωθήσεται[4]», περὶ ὧν ἀσφαλιζόμενος ἡμᾶς ὁ κύριος παρήγγειλεν λέγων· «Ἐλεύσονται πρὸς ὑμᾶς ἄνθρωποι ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσιν λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς, προσέχετε ἀπ' αὐτῶν· ἀναστήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ πλανήσουσι πολλούς.[5]»

XIV. Δι' οὓς καὶ ἡμεῖς νῦν ἐπὶ τὸ αὐτὸ γενόμενοι «Πέτρος καὶ Ἀνδρέας, Ἰάκωβος καὶ Ἰωάννης υἱοὶ Ζεβεδαίου, Φίλιππος καὶ Βαρθολομαῖος, Θωμᾶς καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου καὶ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος, Σίμων ὁ Κανανίτης[6]» καὶ Ματθίας ὁ ἀντὶ Ἰούδα καταψηφισθεὶς σὺν ἡμῖν[7], Ἰάκωβός τε ὁ τοῦ κυρίου ἀδελφὸς καὶ Ἱεροσολύμων ἐπίσκοπος, καὶ Παῦλος «ὁ τῶν ἐθνῶν διδάσκαλος, τὸ σκεῦος τῆς ἐκλογῆς·[8]» ἅμα πάντες ἐπὶ τὸ αὐτὸ γενόμενοι, ἐγράψαμεν ὑμῖν τὴν καθολικὴν ταύτην διδασκαλίαν εἰς ἐπιστηρισμὸν ὑμῶν τῶν τὴν καθόλου ἐπισκοπὴν πεπιστευμένων, ἐν ᾗ δηλοῦμεν ὑμῖν· 2. θεὸν παντοκράτορα ἕνα μόνον ὑπάρχειν, παρ' ὃν ἄλλος οὐκ ἔστιν, καὶ αὐτὸν σέβειν μόνον καὶ προσκυνεῖν διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν ἐν τῷ παναγίῳ πνεύματι, καὶ ταῖς ἱεραῖς γραφαῖς χρῆσθαι, Νόμῳ καὶ Προφήταις, γονεῖς τιμᾶν, ἅπασαν ἔκθεσμον πρᾶξιν φεύγειν, ἀνάστασιν πιστεύειν καὶ κρίσιν καὶ ἀνταπόδοσιν προσδοκᾶν· 3. καὶ τοῖς κτίσμασιν αὐτοῦ πᾶσιν εὐχαρίστως προσέρχεσθαι ὡς θεοῦ ἔργοις καὶ μηδὲν ἐν αὐτοῖς ἔχουσι φαῦλον,

---

1. Πράξ. 15, 23-29. 2. Ψαλμ. 62, 11. 3. Ἆσμ. 2, 15. 4. Ματθ. 24, 12-13. 5. Ματθ. 7, 15-16· 24, 11, 24. 6. Ματθ. 10, 2-4. 7. Πράξ. 1, 26. 8. Α' Τιμ. 27. Πράξ. 9, 15.

καὶ γαμεῖν νομίμως, ἄμεμπτος γὰρ ὁ τοιοῦτος γάμος, «ὅτι» καὶ «παρὰ κυρίου ἁρμόζεται γυνὴ ἀνδρί [1]», καὶ ὁ κύριος λέγει· «Ὁ ποιήσας ἀπ' ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς καὶ εἶπεν· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.[2]» 4. μήτε μὴν μετὰ γάμον ἐκβάλλειν ἀκατάγνωστον ἐξέστω. «Φυλάξῃ» γάρ, φησίν, «τῷ πνεύματί σου καὶ γυναῖκα νεότητός σου μὴ ἐγκαταλίπῃς, ὅτι αὐτὴ κοινωνὸς βίου σου καὶ ὑπόλειμμα πνεύματός σου, καὶ ἐγὼ ἐποίησα καὶ οὐκ ἄλλος·[3]» φάσκει γὰρ ὁ κύριος, ὅτι «ἃ ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω·[4]» ἡ γὰρ γυνὴ κοινωνός ἐστι βίου, ἑνουμένη εἰς ἓν σῶμα ἐκ δύο παρὰ Θεοῦ· ὁ δὲ τὸ ἓν ἀνάπαλιν διαιρῶν εἰς δύο ἐχθρὸς δημιουργίας Θεοῦ καὶ προνοίας τῆς ἐκείνου ἀντίπαλος, ὡσαύτως ὁ κατέχων τὴν παραφθαρεῖσαν καὶ παραφθείρασαν φύσεως θεσμὸν παράνομος, ἐπείπερ «ὁ κατέχων μοιχαλίδα ἄφρων καὶ ἀσεβής·[5] ἀπότεμνε» γὰρ «αὐτήν», φησίν, «ἀπὸ τῶν σαρκῶν σου·[6]» οὐ γάρ ἐστι βοηθός, ἀλλ' ἐπίβουλος, πρὸς ἄλλον ἀποκλίνασα τὴν διάνοιαν. 5. μήτε δὲ περιτέμνεσθαι τὴν σάρκα, ἀρκεῖσθαι δὲ πιστοῖς τὴν τῆς καρδίας περιτομὴν ἐν πνεύματι· «Περιτμήθητε» γάρ, φησίν, «τῷ θεῷ ὑμῶν καὶ περιτέμνεσθε τὴν ἀκροβυστίαν τῆς καρδίας ὑμῶν.[7]»

XV. Ὁμοίως καὶ βαπτίσματι ἑνὶ ἀρκεῖσθαι μόνῳ τῷ εἰς τὸν τοῦ κυρίου θάνατον δεδομένῳ, οὐ τῷ παρὰ τῶν δυσωνύμων αἱρετικῶν, ἀλλὰ τῷ παρὰ τῶν ἀμέμπτων ἱερέων δεδομένῳ «εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.[8]» 2. μήτε δὲ τὸ παρὰ τῶν ἀσεβῶν δεκτὸν ὑμῖν ἔστω, μήτε τὸ παρὰ τῶν ὁσίων ἀκυρούσθω διὰ δευτέρου. ὡς γὰρ εἷς ὁ Θεὸς καὶ εἷς ὁ Χριστὸς καὶ εἷς ὁ παράκλητος, εἷς δὲ καὶ ὁ τοῦ κυρίου ἐν σώματι θάνατος, οὕτως ἓν ἔστω καὶ τὸ εἰς αὐτὸν διδόμενον βάπτισμα· οἱ δὲ παρὰ ἀσεβῶν δεχόμενοι μόλυσμα κοινωνοὶ τῆς γνώμης αὐτῶν γενήσονται. 3. οὐ γὰρ εἰσιν ἐκεῖνοι ἱερεῖς· λέγει γὰρ πρὸς αὐτοὺς ὁ Θεός· «Ἐπεὶ καὶ σὺ ἀπώσω γνῶσιν, ἀπώσομαί σε κἀγὼ τοῦ ἱερατεύειν μοι·[9]» οὔτε μὴν οἱ βαπτισθέντες ὑπ' αὐτῶν μεμύηνται, ἀλλὰ μεμολυσμένοι ὑπάρχουσιν, οὐκ ἄφεσιν ἁμαρτιῶν λαμβάνοντες, ἀλλὰ δεσμὸν ἀσεβείας. 4. οὐ μὴν δὲ ἀλλὰ καὶ οἱ τοὺς μεμυημένους ἐκ δευτέρου βαπτίζειν πειρώμενοι ἀνασταυροῦσιν τὸν κύριον [10], ἀναιροῦσιν αὐτὸν ἐκ δευτέρου, γελῶσιν τὰ θεῖα, μυκτηρίζουσι τὰ ἅγια, ὑβρίζουσι τὸ πνεῦμα, τὸ αἷμα τὸ ἅγιον ὡς κοινὸν ἀτιμάζουσιν· ἀσεβοῦσιν εἰς τὸν ἀποστείλαντα, εἰς τὸν παθόντα, εἰς τὸν μαρτυρήσαντα. 5. ἀλλὰ καὶ ὁ ἐκ καταφρονήσεως μὴ βουλόμενος βαπτισθῆναι ὡς ἄπιστος κατακριθήσεται, καὶ

---

1. Παρμ. 19, 14. 2. Ματθ. 19, 4-5. 3. Μαλ. 2, 14-15. 4. Ματθ. 19,6. 5. Παρμ. 18, 22. 6. Σοφ. Σειρ. 25, 26. 7. Ἱερ. 4, 4. 8. Ματθ. 28, 19. 9. Ὠσ. 4, 6. 10. Πρβλ. Ἑβρ. 6, 6.

ὀνειδισθήσεται ὡς ἀχάριστος καὶ ἀγνώμων· λέγει γὰρ ὁ κύριος· «Ἐὰν μή τις βαπτισθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν[1]», καὶ πάλιν· «Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται.[2]» 6. ὁ δὲ λέγων, ὅτι ὅταν τελευτῶ βαπτίζομαι, ἵνα μὴ ἁμαρτήσω καὶ ῥυπανῶ τὸ βάπτισμα, οὗτος ἄγνοιαν θεοῦ ἔχει καὶ τῆς ἑαυτοῦ φύσεως ἐπιλήσμων τυγχάνει· «Μὴ ἀναβάλλου» γάρ, φησίν, «ἐπιστρέψαι πρὸς κύριον· οὐ γὰρ οἶδας, τί τέξεται ἡ ἐπιοῦσα.[3]» 7. βαπτίζετε δὲ ὑμῶν καὶ τὰ νήπια, καὶ «ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ θεοῦ· ἄφετε» γάρ, φησί, «τὰ παιδία ἔρχεσθαι πρός με καὶ μὴ κωλύετε αὐτά.[4]»

XVI. Ταῦτα πάντα ἐπεστείλαμεν ὑμῖν, ἵνα εἰδέναι ἔχοιτε τὴν ἡμετέραν γνώμην, οἵα τίς ἐστιν. καὶ τὰ ἐπ' ὀνόματι ἡμῶν παρὰ τῶν ἀσεβῶν καττυθέντα βιβλία μὴ παραδέχεσθε· οὐ γὰρ τοῖς ὀνόμασιν χρὴ ὑμᾶς προσέχειν τῶν ἀποστόλων, ἀλλὰ τῇ φύσει τῶν πραγμάτων καὶ τῇ γνώμῃ τῇ ἀδιαστρόφῳ.2. οἴδαμεν γάρ, ὅτι οἱ περὶ Σίμωνα καὶ Κλεόβιον ἰώδη συντάξαντες βιβλία ἐπ' ὀνόματι Χριστοῦ καὶ τῶν μαθητῶν αὐτοῦ περιφέρουσιν εἰς ἀπάτην ὑμῶν τῶν πεφιληκότων Χριστὸν καὶ ἡμᾶς τοὺς αὐτοῦ δούλους. 3. καὶ ἐν τοῖς παλαιοῖς δέ τινες συνέγραψαν βιβλία ἀπόκρυφα Μωσέως καὶ Ἐνὼχ καὶ Ἀδάμ, Ἡσαΐου τε καὶ Δαυὶδ καὶ Ἠλία καὶ τῶν τριῶν πατριαρχῶν, φθοροποιὰ καὶ τῆς ἀληθείας ἐχθρά· τοιαῦτα καὶ νῦν ἐκύησαν οἱ δυσώνυμοι, διαβάλλοντες δημιουργίαν, γάμον, πρόνοιαν, τεκνογονίαν, νόμον, προφήτας· βάρβαρά τινα ὀνόματα ἐγγράφοντες καὶ ὡς αὐτοί φασιν ἀγγέλων, τὸ δ' ἀληθὲς εἰπεῖν δαιμόνων τῶν αὐτοῖς ὑπηχούντων. 4. ὧν ἀποφεύγετε τὴν διδασκαλίαν, ἵνα μὴ μετάσχητε τῆς τιμωρίας τῶν αὐτὰ συγγραψαμένων ἐπ' ἀπάτῃ καὶ ἀπωλείᾳ τῶν πιστῶν καὶ ἀμέμπτων τοῦ κυρίου Ἰησοῦ μαθητῶν.

XVII. Ἐπίσκοπον καὶ πρεσβύτερον καὶ διάκονον εἴπομεν μονογάμους καθίστασθαι[5], κἂν ζῶσιν αὐτῶν αἱ γαμεταί, κἂν τεθνήκασιν, μὴ ἐξεῖναι δὲ αὐτοῖς μετὰ χειροτονίαν ἢ ἀγάμοις οὖσιν ἔτι ἐπὶ γάμον ἔρχεσθαι, ἢ γεγαμηκόσιν ἑτέραις συμπλέκεσθαι, ἀλλ' ἀρκεῖσθαι ᾗ ἔχοντες ἦλθον ἐπὶ τὴν χειροτονίαν. 2. ὑπηρέτας δὲ καὶ ψαλτῳδοὺς καὶ ἀναγνώστας καὶ πυλωροὺς καὶ αὐτοὺς μὲν μονογάμους εἶναι κελεύομεν· εἰ δὲ πρὸ γάμου εἰς κλῆρον παρέλθωσιν, ἐπιτρέπομεν αὐτοῖς γαμεῖν, εἴγε πρὸς τοῦτο πρόθεσιν ἔχουσιν, ἵνα μὴ ἁμαρτήσαντες κολάσεως τύχωσιν. 3. οὐδενὶ δὲ τῶν ἐν τῷ κλήρῳ κελεύομεν ἢ ἑταίραν ἢ οἰκέτιν ἢ «χήραν καὶ ἐκβεβλημένην λαμβάνειν[6]», ὡς καὶ ὁ Νόμος λέγει. 4. διακόνισσα δὲ γινέσθω παρθένος ἁγνή· εἰ δὲ μήγε, κἂν χήρα μονόγαμος, πιστὴ καὶ τιμία.

XVIII. Τοὺς μετανοοῦντας προσδέχεσθε, «τοῦτο γὰρ θέλημα

---

1. Ἰω. 3, 5. 2. Μάρκ. 16, 16. 3. Σοφ. Σειρ. 5, 7. Παρμ. 3, 28. 4. Ἐφ. 6, 4. Ματθ. 19, 14. 5. Πρβλ. Α' Τιμ. 3, 2, 12. Τίτ. 1, 6. 6. Λευϊτ. 21, 14.

θεοῦ ἐν Χριστῷ·[1]» τοὺς κατηχουμένους στοιχειώσαντες βαπτίσατε, τοὺς ἀθέους αἱρεσιώτας ἀμετανοήτως ἔχοντας διαστείλαντες ἀφορίσατε ἀπὸ τῶν πιστῶν καὶ τῆς ἐκκλησίας τοῦ θεοῦ ἐκκηρύκτους ποιήσατε, καὶ παραγγείλατε τοῖς πιστοῖς παντοίως αὐτῶν ἀπέχεσθαι καὶ μήτε λόγῳ μήτε προσευχαῖς κοινωνεῖν αὐτοῖς. 2. οὗτοι γάρ εἰσιν ἀντίδικοι καὶ ἐπίβουλοι τῆς ἐκκλησίας, οἱ διαφθείροντες τὸ ποίμνιον καὶ μολύνοντες τὴν κληρονομίαν, οἱ δοξόσοφοι καὶ παμπόνηροι, περὶ ὧν ἔλεγεν Σολομὼν ὁ σοφός, ὅτι δυσσεβοῦντες ὑποκρίνονται εὐσεβεῖν. «Ἔστι» γάρ, φησίν, «ὁδός, ἣ δοκεῖ τισιν εὐθὴς εἶναι, τὰ δὲ τελευταῖα αὐτῆς βλέπει εἰς πυθμένα ᾅδου.[2]» 3. οὗτοί εἰσιν, περὶ ὧν ὁ κύριος πικρῶς καὶ ἀποτόμως ἀπεφήνατο λέγων, ὅτι εἰσὶν ψευδόχριστοι καὶ ψευδοδιδάσκαλοι, οἱ βλασφημήσαντες τὸ πνεῦμα τῆς χάριτος καὶ ἀποπτύσαντες τὴν παρ' αὐτοῦ δωρεὰν μετὰ τὴν χάριν, «οἷς οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ αἰῶνι τούτῳ οὔτε ἐν τῷ μέλλοντι[3]», οἱ καὶ Ἰουδαίων δυσσεβέστεροι καὶ Ἑλλήνων ἀθεώτεροι· 4. οἱ θεὸν τὸν ἐπὶ πάντων βλασφημοῦντες καὶ τὸν υἱὸν αὐτοῦ καταπατοῦντες καὶ τὴν διδασκαλίαν τοῦ πνεύματος διαπτύοντες, οἱ τοὺς θείους λόγους ἀρνούμενοι ἢ μεθ' ὑποκρίσεως προσποιούμενοι δέχεσθαι, ἐφ' ὕβρει θεοῦ καὶ ἀπάτῃ τῶν προσιόντων αὐτοῖς, οἱ τὰς ἱερὰς γραφὰς ἐνυβρίζοντες καὶ τὴν δικαιοσύνην ὅ,τι ποτέ ἐστιν ἀγνοοῦντες, οἱ τὴν ἐκκλησίαν τοῦ θεοῦ διαφθείροντες ὡς «ἀλώπεκες μικροὶ ἀμπελῶνα[4]» καὶ «μερίδες ἀλωπέκων[5]» γινόμενοι. 5. οὓς φεύγειν ὑμᾶς παρακαλοῦμεν, ἵνα μὴ λάβητε βρόχους ταῖς ἑαυτῶν ψυχαῖς· «ὁ συμπορευόμενος γὰρ σοφοῖς σοφὸς ἔσται, ὁ δὲ συμπορευόμενος ἄφροσιν γνωσθήσεται.[6]» 6. οὔτε γὰρ κλέπτῃ δεῖ συντρέχειν, οὐδὲ μετὰ μοιχοῦ μερίδα τίθεσθαι, ἐπείπερ καὶ ὁ ὅσιος Δαυίδ φησιν· «Κύριε, τοὺς μισοῦντάς σε ἐμίσησα καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην, τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι.[7]» 7. καὶ τῷ Ἰωσαφὰτ ὁ θεὸς ὀνειδίζει διὰ τὴν πρὸς Ἀχαὰβ φιλίαν καὶ συμμαχίαν καὶ τὴν πρὸς Ὀχοζίαν, λέγων διὰ Ἰοὺ τοῦ προφήτου· «Εἰ ἁμαρτωλῷ σὺ φιλιάζεις ἢ μισουμένῳ ὑπὸ κυρίου σὺ βοηθεῖς; διὰ τοῦτο ἐξαίφνης ὀργὴ κυρίου ἐγένετο ἐπὶ σέ, εἰ μὴ ὅτι εὑρέθη ἡ καρδία σου τελεία πρὸς κύριον, διὰ τοῦτο ἐφείσατό σου κύριος· πλὴν ὅτι διεκόπη τὰ ἔργα σου καὶ συνετρίβησαν αἱ νῆές σου.[8]» 8. φεύγετε οὖν τῆς κοινωνίας αὐτῶν, καὶ τῆς πρὸς αὐτοὺς εἰρήνης ἀλλότριοι τυγχάνετε· περὶ αὐτῶν γὰρ ὁ προφήτης ἀπεφήνατο, λέγων, ὅτι «οὐκ ἔστιν χαίρειν τοῖς ἀσεβέσιν, λέγει κύριος.[9]» 9. οὗτοι γάρ εἰσιν οἱ κρύφιοι λύκοι, «οἱ ἐνεοὶ κύνες οἱ οὐ δυνάμενοι ὑλακτεῖν[10]», οἱ νῦν μὲν εἰσὶν ὀλίγοι, προκόψαντος δὲ τοῦ χρόνου καὶ τῆς συντελείας ἐγγιζούσης πλείονες

---

1. Α' Θεσσ. 5, 18. 2. Παρμ. 14, 12. 3. Ματθ. 12, 32. 4. Ἆσμ. 2, 15. 5. Ψαλμ. 62, 11. 6. Παρμ. 13, 20. 7. Ψαλμ. 138, 21-22. 8. Β' Παρλ. 19, 2-3· 20, 37. 9. Ἠσ. 57, 21. 10. Ἠσ. 56, 10.

καὶ χαλεπώτεροι ἔσονται, περὶ ὧν ὁ κύριος ἔλεγεν, ὅτι «ἆρα ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;[1]» καί· «Διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν, καὶ ἐλεύσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσι σημεῖα ἐν οὐρανῷ, ὥστε εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτοὺς ἀπατῆσαι[2]», ὧν τῆς ἀπάτης ῥύσεται ἡμᾶς κύριος ὁ θεὸς διὰ «Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν.[3]» 10. καὶ γὰρ καὶ ἡμεῖς, διερχόμενοι τὰ ἔθνη καὶ ἐπιστηρίζοντες τὰς ἐκκλησίας, τοὺς μὲν ἐν πολλῇ νουθεσίᾳ καὶ λόγῳ ἰατικῷ ὑγιάσαντες ἐπανηγάγομεν μέλλοντας ὅσον οὐδέπω θνήσκειν ἀπάτῃ, τοὺς δὲ ἀνιάτως ἔχοντας ἐξεβάλομεν τῆς ποίμνης, ἵνα μὴ ψωραλέας νόσου μεταδῶσιν καὶ τοῖς ὑγιαίνουσιν ἀρνίοις, ἀλλὰ καθαρὰ καὶ ἄχραντα, ὑγιῆ καὶ ἄσπιλα διαμείνῃ κυρίῳ τῷ θεῷ. 11. καὶ ταῦτα κατὰ πόλιν πᾶσαν εἰς ὅλην τὴν οἰκουμένην πεποιήκαμεν, καταλιπόντες ὑμῖν τοῖς ἐπισκόποις καὶ λοιποῖς ἱερεῦσιν τήνδε τὴν καθολικὴν διδασκαλίαν ἀξίως καὶ δικαίως εἰς μνημόσυνον ἐπιστηρισμοῦ τοῖς πεπιστευκόσι θεῷ, διαπεμψάμενοι διὰ τοῦ συλλειτουργοῦ ἡμῶν Κλήμεντος τοῦ πιστοτάτου καὶ ὁμοψύχου τέκνου ἡμῶν ἐν κυρίῳ, ἅμα καὶ Βαρνάβᾳ καὶ Τιμοθέῳ τῷ ποθεινοτάτῳ υἱῷ καὶ Μάρκῳ τῷ γνησίῳ, σὺν οἷς καὶ Τίτον ὑμῖν γνωρίζομεν καὶ Λουκᾶν, Ἰάσωνά τε καὶ Λούκιον καὶ Σωσίπατρον.

XIX. Δι' ὧν καὶ παρακαλοῦμεν ὑμᾶς ἐν κυρίῳ, ἀπέχεσθαι παλαιᾶς συνηθείας καὶ δεσμῶν ματαίων, ἀφορισμῶν, παρατηρήσεων, βρωμάτων διορισμοῦ, βαπτισμάτων καθημερινῶν· «τὰ ἀρχαῖα» γὰρ «παρῆλθεν, ἰδοὺ γέγονεν καινὰ τὰ πάντα.[4]» 2. γνόντες γὰρ θεὸν διὰ Ἰησοῦ Χριστοῦ καὶ τὴν σύμπασαν αὐτοῦ οἰκονομίαν ἀρχῆθεν γεγενημένην, ὅτι δέδωκεν νόμον ἁπλοῦν εἰς βοήθειαν τοῦ φυσικοῦ, καθαρόν, σωτήριον, ἅγιον, ἐν ᾧ καὶ τὸ ἴδιον ὄνομα ἐγκατέθετο, τέλειον, ἀνελλειπῆ, δέκα λογίων πλήρη, «ἄμωμον, ἐπιστρέφοντα ψυχάς[5]», οὗπερ καὶ ἐπιλαθομένους Ἑβραίους ὑπομιμνήσκει διὰ Μαλαχίου τοῦ προφήτου λέγων· «Μνήσθητε νόμου Μωσῆ, ἀνθρώπου τοῦ θεοῦ, ὃς ἐνετείλατο ὑμῖν προστάγματα καὶ δικαιώματα.[6]» 3. ὃς τοσοῦτόν ἐστιν ἅγιος καὶ δίκαιος, ὡς καὶ τὸν σωτῆρά ποτε, θεραπεύσαντα λεπρὸν ἕνα καὶ πάλιν ἐννέα, εἰπεῖν τῷ πρώτῳ· «Πορευθεὶς δεῖξον σεαυτὸν τῷ ἀρχιερεῖ, καὶ προσένεγκε τὸ δῶρον, ὃ προσέταξεν Μωσῆς εἰς μαρτύριον αὐτοῖς[7]», τοῖς δὲ ἐννέα πάλιν· «Πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσιν·[8]» οὐ γάρ που κατέλυσεν τὸν νόμον, ὡς Σίμων δοξάζει, ἀλλ' ἐπλήρωσεν· λέγει γάρ· «Ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται· οὐ γὰρ ἦλθον», φησίν, «καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι.[9]» 4. καὶ γὰρ καὶ Μωσῆς,

---

1. Λουκ. 18, 8. 2. Ματθ. 24, 12, 24. 3. Α' Τιμ. 1, 1. 4. Β' Κορ. 5, 17. 5. Ψαλμ. 18, 8. 6. Μαλ. 4, 6. 7. Ματθ. 8, 4. 8. Λουκ. 17, 14. 9. Ματθ. 5, 17-18.

νομοθέτης ὁμοῦ καὶ ἀρχιερεὺς καὶ προφήτης καὶ βασιλεύς, καὶ Ἠλίας ὁ ζηλωτὴς τῶν προφητῶν συνῆσαν ἐν τῇ μεταμορφώσει τοῦ κυρίου ἐν τῷ ὄρει μάρτυρες αὐτοῦ τῆς ἐνανθρωπήσεως καὶ τῶν παθημάτων, ὡς φίλοι Χριστοῦ καὶ οἰκεῖοι, ἀλλ' οὐχ ὡς ἐχθροὶ ἢ ἀλλότριοι· ἐξ ὧν δείκνυται, ὅτι καὶ ὁ νόμος καλὸς καὶ ἅγιος καὶ οἱ προφῆται.

XX. Νόμος δέ ἐστιν ἡ δεκάλογος, ἣν πρὸ τοῦ τὸν λαὸν μοσχοποιῆσαι τὸν παρ' Αἰγυπτίοις Ἄπιν θεὸς αὐτοῖς ἐνομοθέτησεν ἀκουστῇ φωνῇ· οὗτος δὲ δίκαιός ἐστιν, διὸ καὶ νόμος λέγεται διὰ τὸ φύσει δικαίως τὰς κρίσεις ποιεῖσθαι· ὃν οἱ περὶ Σίμωνα φαυλίζουσιν, οἰόμενοι, μὴ κριθέντες ὑπ' αὐτοῦ τὴν κόλασιν ἐκφεύγειν. 2. οὗτος ὁ νόμος ἀγαθός, ὅσιος, ἀκατανάγκαστος. φησὶν γάρ· «Ἐὰν δὲ ποιήσῃς μοι θυσιαστήριον, ἐκ γῆς ποιήσεις μοι αὐτό.[1]» 3. οὐκ εἶπεν· Ποίησον, ἀλλ'· «Ἐὰν ποιήσῃς·» οὐκ ἀνάγκην περιέθηκεν, ἀλλὰ τῇ ἐξουσίᾳ ἐπέτρεψεν ἅτε ἐλευθέρᾳ. 4. οὐ γὰρ θυσιῶν δέεται ὁ θεός, ἀνενδεὴς ὑπάρχων τῇ φύσει· ἀλλὰ γινώσκων, καθάπερ καὶ ἤδη πρότερον τὸν φιλόθεον Ἄβελ καὶ Νῶε καὶ Ἀβραὰμ καὶ τοὺς καθεξῆς οὐκ αἰτηθέντας, φυσικῷ δὲ νόμῳ κινηθέντας ἀφ' ἑαυτῶν προσενέγκαι θυσίαν θεῷ ἀπὸ γνώμης εὐχαρίστου, ἐπιτρέπει καὶ νῦν Ἑβραίοις, οὐ προστάσσων, ἀλλ', εἰ βουληθῶσιν, συγχωρῶν καί, εἰ ἀπὸ ὀρθῆς προσοίσουσι γνώμης, εὐδοκῶν ἐπὶ ταῖς θυσίαις αὐτῶν. 5. διὰ τοῦτό φησιν· «Εἰ θύειν ἐπιθυμεῖς, οὐ δεομένῳ μοι θῦε·[2]» οὐδενὸς γὰρ ἐν χρείᾳ καθέστηκα· «ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς.[3]» 6. ὁπότε δὲ οἱ τοῦ λαοῦ τούτων ἀμνήμονες ὑπῆρξαν, καὶ μόσχον ἀντὶ θεοῦ θεὸν ἐπεκαλέσαντο καὶ τούτῳ τὴν αἰτίαν τῆς ἐξ Αἰγύπτου πορείας ἐπέγραψαν λέγοντες· «Οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἱ ἐξαγαγόντες σε ἐκ γῆς Αἰγύπτου[4]», καὶ δυσσεβήσαντες «εἰς ὁμοίωμα μόσχου ἐσθίοντος χόρτον[5]» ἀπηρνήσαντο θεὸν τὸν διὰ Μωσέως ἐπισκεψάμενον αὐτοὺς ἐν τῇ θλίψει αὐτῶν, τὸν τὰ σημεῖα ἐπὶ χειρὸς καὶ ῥάβδου ποιησάμενον, τὸν τοὺς Αἰγυπτίους δεκαπλήγῳ πατάξαντα, τὸν τὴν ἐρυθρὰν διελόντα θάλασσαν εἰς διαιρέσεις ὑδάτων, τὸν διαγαγόντα αὐτοὺς ἐν μέσῳ ὕδατος «ὡς ἵππον ἐν πεδίῳ[6]», τὸν τοὺς ἐχθροὺς αὐτῶν καὶ ἐπιβούλους βυθίσαντα, τὸν εἰς Μερρὰν τὴν πικρὰν πηγὴν γλυκάναντα, τὸν ἐκ πέτρας ἀκροτόμου καταγαγόντα ὕδωρ εἰς πλησμονὴν αὐτοῖς, τὸν στύλῳ νεφέλης καὶ στύλῳ πυρὸς σκιάζοντα αὐτοῖς διὰ θάλπος ἄμετρον καὶ φωτίζοντα καὶ ὁδηγοῦντα τοὺς οὐκ εἰδότας ὅπου πορευθῶσιν, τὸν ἐξ οὐρανοῦ μαννοδοτήσαντα αὐτοῖς καὶ ἐκ θαλάσσης κρεωδοτήσαντα ὀρτυγομήτραν, τὸν ἐν τῷ ὄρει νομοθετήσαντα αὐτοῖς, οὗ τῆς φωνῆς ἠξιώθησαν ἐπακοῦσαι· τοῦτον ἀπηρνήσαντο εἰπόντες τῷ Ἀαρών· «Ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν[7]», καὶ ἐμοσχοποίησαν χωνευτὸν καὶ ἔθυσαν τῷ εἰδώλῳ· διὸ ὀργισθεὶς

1. Ἔξ. 20, 25. 2. Πρβλ. Ψαλμ. 49, 8 ἑξ. 3. Ψαλμ. 49, 12. 4. Ἔξ. 32, 4. 5. Ψαλμ. 105, 20. 6. Ἠσ. 63, 13. 7. Ἔξ. 32, 1.

ὁ θεός, ἅτε ἀχαριστηθεὶς ὑπ' αὐτῶν, ἔδησεν αὐτοὺς δεσμοῖς ἀλύτοις, στιβώσει φορτισμοῦ καὶ σκληρότητι κλοιοῦ. 7. καὶ οὐκέτι εἶπεν· «Ἐὰν δὲ ποιῇς[1]», ἀλλά· «Ποίησον θυσιαστήριον καὶ θῦε διηνεκῶς», ἐπιλήσμων γὰρ τυγχάνεις καὶ ἀχάριστος· ὁλοκαύτει οὖν συνεχῶς, ἵν' ὑπομιμνήσκῃ μου· 8. ἐπειδὴ γὰρ τῇ ἐξουσίᾳ κακῶς ἀπεχρήσω, ἀνάγκην ἐπιτίθημί σοι λοιπόν, καὶ βρωμάτων ἀφιστῶ τοιῶνδε καὶ ζῴων σοι διαφορὰς καθαρῶν καὶ ἀκαθάρτων διαστέλλομαι, καίτοι παντὸς ζῴου καλοῦ τυγχάνοντος ἅτε ὑπ' ἐμοῦ γενομένου· 9. καὶ ἀφορισμοὺς τοιούσδε σοι προστάσσω, καθαρισμούς, συνεχῆ βαπτίσματα, ῥαντισμούς, ἁγνείας τοιάσδε, ἀργίας διαφόρους· 10. καὶ τούτων ἐφ' ἑκάστῳ, ἐὰν παρακούσῃς τιμωρίαν ὁρίζω ὡς οἰκέτῃ ἀπειθεῖ, ὅπως πιεζόμενος καὶ ὑπὸ τοῦ κλοιοῦ ἀγχόμενος τῆς πολυθέου πλάνης ἐκστῇς, καὶ παρεὶς τὸ « οὗτοι οἱ θεοί σου, Ἰσραὴλ[2]» ὑπομνησθῇς τὸ «ἄκουε, Ἰσραήλ, κύριος, ὁ θεός σου κύριος εἷς ἐστιν[3]», καὶ ἀναδράμῃς ἐπ' ἐκεῖνον τὸν νόμον τὸν ὑπ' ἐμοῦ τῇ φύσει καταβληθέντα πᾶσιν ἀνθρώποις· ἕνα μόνον ὑπάρχειν θεὸν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, καὶ τοῦτον «ἀγαπᾶν ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς ἰσχύος καὶ ἐξ ὅλης τῆς διανοίας[4]», καὶ πλὴν αὐτοῦ μὴ φοβεῖσθαι ἄλλον, μήτε ὄνομα θεῶν ἑτέρων ἐπὶ διανοίας λαμβάνειν μήτε προφέρειν γλώσσῃ διὰ στόματος. 11. διὰ γὰρ τὴν σκληροκαρδίαν αὐτῶν ἐπέδησεν αὐτούς, ἵνα διὰ τοῦ θύειν καὶ ἀργεῖν καὶ ἁγνίζεσθαι καὶ τὰ τοιάδε παρατηρεῖσθαι εἰς ἔννοιαν ἔλθωσιν τοῦ θεοῦ τοῦ ταῦτα διαταξαμένου αὐτοῖς.

XXI. Ὑμῶν δὲ τῶν πιστευσάντων εἰς τὸν ἕνα θεὸν οὐκ ἀπὸ ἀνάγκης, ἀλλὰ ἀπὸ γνώμης ὑγιοῦς ὑπακουσάντων τῷ καλέσαντι· «Μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσιν, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούουσιν·[5]» ἀνείθητε γὰρ τῶν δεσμῶν καὶ ἠλευθερώθητε δουλείας. 2. «Οὐκέτι» γὰρ φησίν, «λέγω ὑμᾶς δούλους, ἀλλὰ φίλους, ὅτι πάντα, ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ἐγνώρισα ὑμῖν·[6]» ἐκείνοις γὰρ μὴ θελήσασιν ἰδεῖν μήτε ἀκοῦσαι, οὐ στερήσει μορίων, ἀλλὰ κακίας ὑπερβολῇ, «ἔδωκα προστάγματα οὐ καλὰ καὶ δικαιώματα ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς·[7]» οὐ καλὰ δὲ τῷ σκοπῷ αὐτῶν, ἐπειδὴ καὶ οἱ καυτῆρες καὶ τὸ ξίφος καὶ τὰ φάρμακα ἐχθρὰ τοῖς οὐχ ὑγιαίνουσιν, ἀφύλακτα δὲ διὰ τὴν αὐτῶν παρακοήν, ὅθεν καὶ θάνατον αὐτοῖς ἐπάγει μὴ φυλασσόμενα.

XXII. Ὑμεῖς οὖν μακάριοι, οἱ λυθέντες τῆς κατάρας. Χριστὸς γὰρ παραγενόμενος ὁ τοῦ θεοῦ υἱὸς τὸν νόμον κυρώσας ἐπλήρωσεν, τὰ ἐπείσακτα περιεῖλεν, εἰ καὶ μὴ πάντα, ἀλλά γε τὰ βαρύτερα, τὸν μὲν βεβαιώσας, τὰ δὲ παύσας· καὶ τὸ αὐτεξούσιον τῶν ἀνθρώπων πάλιν ἀφῆκεν ἐλεύθερον, οὐ προσκαίρῳ θανάτῳ δικάζων, ἀλλ' ἐν

1. Ἔξ. 20, 24. 2. Ἔξ. 32, 4. 3. Δευτ. 6, 4. 4. Δευτ. 6, 5. 5. Ματθ. 13, 16. 6. Ἰω. 15, 15. 7. Ἰεζ. 20, 25.

ἑτέρᾳ καταστάσει λογοθετῶν αὐτό. διὸ λέγει· «Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἐρχέσθω.[1]», καὶ πάλιν· «Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; [2]» 2. ἤδη δὲ καὶ πρὸ τῆς παρουσίας αὐτοῦ παρῃτεῖτο τὰς τοῦ λαοῦ θυσίας πολλάκις εἰς αὐτὸν ἐξαμαρτόντος καὶ οἰομένου διὰ θυσιῶν, ἀλλ' οὐ διὰ μετανοίας αὐτὸν ἐξευμενίζεσθαι. λέγει γὰρ οὕτως· «Ἵνα τί μοι λίβανον ἐκ Σαβᾶ φέρεις καὶ κιννάμωμον ἐκ γῆς μακρόθεν; τὰ ὁλοκαυτώματα ὑμῶν οὐκ ἔστιν δεκτὰ καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἤδυνάν μοι[3]», καὶ ἑξῆς· «Τὰ ὁλοκαυτώματα ὑμῶν συναγάγετε μετὰ τῶν θυσιῶν ὑμῶν καὶ φάγετε κρέα, ὅτι οὐκ ἐνετειλάμην ὑμῖν, ἡνίκα ἐξήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου, περὶ ὁλοκαυτωμάτων καὶ θυσιῶν.[4]» 3. καὶ διὰ Ἡσαΐου λέγει· «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι· τίς γὰρ ἐξεζήτησεν ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε ἔτι· ἐὰν φέρητέ μοι σεμίδαλιν, μάταιον, θυμίαμα βδέλυγμά μοί ἐστιν, τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα ὑμῶν καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι, νηστείαν καὶ ἀργίαν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου· ἐγενήθητέ μοι εἰς πλησμονήν.[5]» 4. καὶ δι' ἑτέρου λέγει· «Ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι.[6]» καὶ τῷ Σαοὺλ ὁ Σαμουὴλ λέγει θῦσαι νενομικότι· «Ἀγαθὴ ἀκοὴ ὑπὲρ θυσίαν, καὶ ἀκρόαμα ὑπὲρ στέαρ κριῶν·» ἰδοὺ γὰρ «οὐ θέλει κύριος θυσίαν ὡς τὸ εἰσακούειν αὐτοῦ.[7]» καὶ διὰ τοῦ Δαυὶδ λέγει· «Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους· ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς· μὴ φάγομαι κρέα ταύρων ἢ αἷμα τράγων πίομαι; θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου.[8]» καὶ ἐν πάσαις δὲ ταῖς γραφαῖς ὁμοίως αὐτῶν τὰς θυσίας ἀπαναίνεται διὰ τὸ ἐξαμαρτεῖν αὐτοὺς εἰς αὐτόν· «Θυσίαι» γὰρ «ἀσεβῶν βδέλυγμα παρὰ κυρίῳ, καὶ γὰρ παρανόμως προσφέρουσιν αὐτάς[9]», καὶ πάλιν· «Αἱ θυσίαι αὐτῶν ὡς ἄρτος πένθους αὐτοῖς, πάντες οἱ ἐσθίοντες αὐτὰς μολυνθήσονται.[10]» 5. εἰ οὖν καὶ πρὸ τῆς παρουσίας αὐτοῦ ὑπὲρ «θυσίας καρδίαν καθαρὰν» ἐπεζήτει «καὶ πνεῦμα συντετριμμένον[11]», πολλῷ μᾶλλον ἐλθὼν ἔπαυσεν ταύτας, φαμὲν δὴ τὰς δι' αἱμάτων. ἔπαυσε δὲ αὐτὰς διὰ τοῦ πρότερον πληρῶσαι· καὶ γὰρ καὶ περιετμήθη καὶ ἐρραντίσθη, θυσίας τε προσήνεγκεν καὶ ὁλοκαυτώσεις καὶ τοῖς ἄλλοις ἐθισμοῖς ἐχρήσατο, καὶ ἐγένετο ὁ νομοθέτης αὐτὸς πλήρωμα τοῦ νόμου, οὐκ ἀνελὼν τὸν φυσικὸν νόμον, ἀλλὰ παύσας τὰ διὰ τῆς δευτερώσεως ἐπείσακτα, εἰ καὶ μὴ πάντα.

---

1. Ματθ. 16, 24. 2. Ἰω. 6, 67. 3. Ἱερ. 6, 20. 4. Ἱερ. 7, 21-22. 5. Ἡσ. 1, 11-14. 6. Ἀμ. 5, 23. 7. Α' Βασ. 15, 22. 8. Ψαλμ. 49, 12-14. 9. Παρμ. 21, 27. 10. Ὠσ. 9, 4. 11. Ψαλμ. 50, 12, 19.

XXIII. Τόν τε γὰρ φυσικὸν νόμον οὐκ ἀνεῖλεν, ἀλλ' ἐβεβαίωσεν. ὁ γὰρ εἰρηκὼς ἐν τῷ Νόμῳ· «Κύριος ὁ θεός σου κύριος εἷς ἐστιν[1]», ὁ αὐτὸς ἐν τῷ Εὐαγγελίῳ λέγει· «Ἵνα γινώσκωσίν σε τὸν μόνον ἀληθινὸν θεόν[2]», καὶ ὁ εἰρηκώς· «Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν[3]», ἐν τῷ Εὐαγγελίῳ λέγει ἀνανεούμενος· «Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.[4]» 2. ὁ φόνον τότε ἀπαγορεύσας, νῦν καὶ εἰκαίαν ὀργήν, ὁ μοιχείαν, νῦν καὶ ἐπιθυμίαν ἔκνομον· ὁ ληστείαν, νῦν ἐμακάρισεν μᾶλλον τὸν ἐξ οἰκείων πόνων ἐπιχορηγοῦντα τοῖς δεομένοις, ὁ μῖσος, νῦν καὶ πρὸς ἐχθροὺς ἀγάπην, ὁ ἄμυναν, νῦν ἀνεξικακίαν, οὐκ ἀδίκου τῆς δικαίας ἀμύνης οὔσης, ἀλλὰ κρείττονος τῆς ἀνεξικακίας· οὔτε δὲ τὰ φυσικὰ πάθη ἐκκόπτειν ἐνομοθέτησεν, ἀλλὰ τὴν τούτων ἀμετρίαν. 3. ὁ γονεῖς προστάξας τιμᾶν αὐτὸς τούτοις ὑπετάγη, ὁ σαββατίζειν δι' ἀργίας νομοθετήσας διὰ τὴν τῶν νόμων μελέτην νῦν καθ' ἡμέραν ἐκέλευσεν ἡμᾶς, ἀναλογιζομένους δημιουργίας καὶ προνοίας νόμον, εὐχαριστεῖν τῷ θεῷ. 4. τὴν περιτομὴν ἔπαυσεν, εἰς ἑαυτὸν πληρώσας· αὐτὸς γὰρ ἦν «ᾧ ἀπέκειτο, ἡ προσδοκία τῶν ἐθνῶν.[5]» ὁ εὐορκεῖν νομοθετήσας καὶ τὸ ἐπιορκεῖν ἀπαγορεύσας τὸ «μηδ' ὀμνῦναι[6]» παρήγγειλεν. 5. τὸ βάπτισμα, τὴν θυσίαν, τὴν ἱερωσύνην, τὴν τοπικὴν λατρείαν ἑτέρως μετεποίησεν, ἀντὶ μὲν καθημερινοῦ ἓν μόνον δοὺς βάπτισμα τὸ εἰς τὸν αὐτοῦ θάνατον, ἀντὶ δὲ μιᾶς φυλῆς ἀφ' ἑκάστου ἔθνους προστάξας τοὺς ἀρίστους εἰς ἱερωσύνην προχειρίζεσθαι, καὶ οὐ τὰ σώματα μωμοσκοπεῖσθαι, ἀλλὰ θρησκείαν καὶ βίους· ἀντὶ θυσίας τῆς δι' αἱμάτων τὴν λογικὴν καὶ ἀναίμακτον καὶ τὴν μυστικήν, ἥτις εἰς τὸν θάνατον τοῦ κυρίου συμβόλων χάριν ἐπιτελεῖται, τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος· ἀντὶ δὲ τοπικῆς λατρείας «ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν ἐν παντὶ τόπῳ[7]» τῆς δεσποτείας αὐτοῦ προσέταξεν δοξάζεσθαι αὐτόν. 6. οὐ νόμον οὖν περιεῖλεν ἀφ' ἡμῶν, ἀλλὰ δεσμά· περὶ γὰρ τοῦ νόμου καὶ Μωσῆς λέγει· «Μελετήσεις τὸ ῥῆμα, ὃ ἐγώ σοι ἐντέλλομαι, καθήμενος ἐν οἴκῳ καὶ ἀνιστάμενος καὶ περιπατῶν ἐν ὁδῷ[8]», καὶ ὁ Δαυὶδ λέγει· «Ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.[9]» 7. πανταχοῦ γὰρ ἐννόμους ἡμᾶς εἶναι βούλεται, ἀλλ' οὐχὶ παρανόμους· «Μακάριοι» γάρ, φησίν, «οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ κυρίου· μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν[10]», καὶ πάλιν· «Μακάριοί ἐσμεν, Ἰσραήλ, ὅτι τὰ ἀρεστὰ τῷ θεῷ ἡμῖν γνωστά ἐστιν[11]», καὶ ὁ κύριός φησιν· «Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά.[12]»

XXIV. Οὐ μόνον δὲ τὸν τῆς δικαιοσύνης νόμον δι' ἡμῶν ἐπι-

---

1. Δευτ. 6, 4. 2. Ἰω. 17, 3. 3. Λευϊτ. 19, 18. 4. Ἰω. 13, 14. 5. Γεν. 49, 50. 6. Ματθ. 5, 34. 7. Ψαλμ. 112, 3. Μαλ. 1, 11. 8. Δευτ. 6, 6-7. 9. Ψαλμ. 1, 2. 10. Ψαλμ. 118, 1-2. 11. Βαρούχ 4, 4. 12. Ἰω. 13, 17.

δείκνυσθαι βούλεται, ἀλλὰ καὶ διὰ Ῥωμαίων εὐδόκησεν αὐτὸν φαίνεσθαι καὶ λάμπειν· καὶ γὰρ καὶ οὗτοι πιστεύσαντες ἐπὶ τὸν κύριον καὶ πολυθεΐας ἀπέστησαν καὶ ἀδικίας, καὶ τοὺς ἀγαθοὺς ἀποδέχονται καὶ τοὺς φαύλους κολάζουσιν. 2. Ἰουδαίους δὲ ὑποφόρους ἔχουσιν καὶ τοῖς ἰδίοις δικαιώμασιν οὐκ ἐῶσιν κεχρῆσθαι, ἐπειδὴ καὶ ἑκούσιον ἐπεσπάσαντο τὴν δουλείαν εἰπόντες· «Οὐκ ἔχομεν βασιλέα εἰ μὴ καίσαρα[1]», καί· «Ἐὰν μὴ ἀποκτείνωμεν», φησίν, «τὸν Χριστόν, πάντες εἰς αὐτὸν πιστεύσουσιν, καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος.[2]» 3. καὶ ἄκοντες προεφήτευσαν· καὶ γὰρ καὶ ἐπίστευσαν εἰς αὐτὸν τὰ ἔθνη, καὶ αὐτοὶ ὑπὸ Ῥωμαίων τῆς ἐξουσίας περιῃρέθησαν καὶ τῆς νομικῆς λατρείας, κεκωλυμένοι δέ εἰσι καὶ ἀναιρεῖν οὓς ἂν θέλωσι καὶ θύειν ὅτε θέλωσιν. 4. διὸ καὶ εἰσὶν ἐπικατάρατοι, μὴ δυνάμενοι ποιεῖν τὰ διατεταγμένα· «Ἐπικατάρατος» γάρ, φησίν, «ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά.[3]» 5. ἀδύνατον δέ ἐστιν ἐν διασπορᾷ μεταξὺ ἐθνῶν ὄντας πάντα τὰ τοῦ νόμου ἐπιτελεῖν αὐτούς· ἀπαγορεύει γὰρ αὐτοῖς ὁ θεῖος Μωσῆς.[4]

XXV. Ἑπόμενοι οὖν Χριστῷ τὰς εὐλογίας κληρονομήσωμεν, νόμῳ καὶ προφήταις διὰ τοῦ εὐαγγελίου στοιχήσωμεν, φύγωμεν τοὺς πολυθέους καὶ τοὺς χριστοκτόνους καὶ προφητοφόντας καὶ τοὺς δυσωνύμους καὶ ἀθέους αἱρεσιώτας· 2. πειθαρχήσωμεν Χριστῷ ὡς βασιλεῖ, ὡς ἐξουσίαν ἔχοντι μετατιθέναι διατάξεις διαφόρους, καὶ ἔχοντι ὡς νομοθέτῃ σοφίαν τοῦ διατάσσεσθαι διαφόρως, πανταχοῦ τῶν φυσικῶν ἀμεταθέτων φυλασσομένων.

XXVI. Ἀπέχεσθε οὖν αἱρεσιωτῶν πάντων, ὦ ἐπίσκοποι καὶ λαϊκοί, τῶν φαυλιζόντων τὸν Νόμον καὶ τοὺς Προφήτας. θεῷ γὰρ παντοκράτορι ἐχθραίνοντες ἀπειθοῦσι, καὶ Χριστὸν οὐχ ὁμολογοῦσιν υἱὸν θεοῦ· ἀρνοῦνται γὰρ καὶ τὴν κατὰ σάρκα αὐτοῦ γέννησιν, τὸν σταυρὸν ἐπαισχύνονται, τὸ πάθος καὶ τὸν θάνατον ἀδοξοῦσι, τὴν ἀνάστασιν ἀγνοοῦσι, τὴν πρὸ αἰώνων αὐτοῦ γέννησιν περικόπτουσιν. 2. τινὲς δὲ ἐξ αὐτῶν ἑτέρως ἀσεβοῦσι, ψιλὸν ἄνθρωπον εἶναι φανταζόμενοι τὸν κύριον, ἐκ ψυχῆς καὶ σώματος αὐτὸν εἶναι νομίζοντες· ἕτεροι δὲ ἐξ αὐτῶν αὐτὸν εἶναι τὸν Ἰησοῦν τὸν ἐπὶ πάντων θεὸν ὑποπτεύουσιν, αὐτὸν ἑαυτοῦ πατέρα δοξάζοντες, αὐτὸν υἱὸν καὶ παράκλητον ὑποπτεύοντες· ὧν τί ἂν εἴη ἐναγέστερον; 3. ἄλλοι δ' αὖ πάλιν ἐξ αὐτῶν βρώματά τινα φαυλίζουσιν, καὶ γάμον κακὸν σὺν παιδοποιΐᾳ λέγουσιν εἶναι διαβόλου τε μηχάνημα· καὶ διὰ τὴν πονηρίαν αὐτῶν, ἀσεβεῖς ὄντες, οὐ θέλουσιν ἐκ νεκρῶν ἀναστῆναι, διὸ καὶ τὴν ἀνάστασιν διαβάλλουσιν, φάσκοντες, ὅτι σεμνοί τινες ἐσμὲν ἐσθίειν καὶ πίνειν μὴ βουλόμενοι, δαιμόνια δὲ ἄσαρκα φανταζόμενοι

1. Ἰω. 19, 15. 2. Ἰω. 11, 48. 3. Δευτ. 27, 26. Γαλ. 3, 10. 4. Δευτ. 12, 13-14.

ἐκ νεκρῶν ἀναστήσεσθαι· οἵτινες καταδικασθήσονται δι' αἰῶνος ἐν τῷ αἰωνίῳ πυρί. φεύγετε οὖν ἀπ' αὐτῶν, ἵνα μὴ συναπόλησθε ταῖς αὐτῶν ἀσεβείαις.

XXVII. Εἰ δέ τινες παρατηρούμενοι φυλάσσουσιν ἔθιμα Ἰουδαϊκά, γονορροίας, ὀνειρώξεις, πλησιασμοὺς τοὺς κατὰ νόμον [1], λεγέτωσαν ἡμῖν, εἰ ἐν αἷς ὥραις ἢ ἡμέραις ἕν τι τούτων ὑπομείνωσιν παρατηροῦνται προσεύξασθαι ἢ εὐχαριστίας μεταλαβεῖν ἢ βιβλίου θίγειν, καὶ ἐὰν συνθῶνται, δῆλον ὡς τοῦ ἁγίου πνεύματος κενοὶ τυγχάνουσιν τοῦ ἀεὶ παραμένοντος τοῖς πιστοῖς· περὶ γὰρ τῶν ὁσίων λέγει ὁ Σολομών, ἵν' ἕκαστος ἑαυτὸν εὐτρεπίζῃ, ὅπως «ὅταν καθεύδῃ, φυλάσσῃ αὐτὸν καί, ὡς ἂν ἐγείρηται, συλλαλῇ αὐτῷ.[2]» 2. εἰ γὰρ νομίζεις, ὦ γύναι, ἑπτὰ ἡμέρας ἐν ἀφέδρῳ οὖσα τοῦ ἁγίου πνεύματος κενὴ τυγχάνειν [3], ἄρα τελευτήσασα ἐξαίφνης κενὴ πνεύματος καὶ ἀπαρρησίαστος τῆς πρὸς θεὸν ἐλπίδος ἀπελεύσῃ. ἢ τὸ μὲν πνεῦμα ἔχεις πάντως ἀχώριστον ἅτε μὴ ἐν τόπῳ ὄν, δεῖ δέ σοι προσευχῆς καὶ εὐχαριστίας καὶ τῆς τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσεως, ὡς οὐδὲν ἐν τούτῳ παρανομοῦσα. 3. οὔτε γὰρ νόμιμος μίξις οὔτε λέχος οὔτε αἵματος φορά, οὐκ ὀνείρωξις μιᾶναι δύναται ἀνθρώπου φύσιν ἢ τὸ ἅγιον πνεῦμα χωρίσαι, ἢ μόνη ἀσέβεια καὶ παράνομος πρᾶξις. τὸ γὰρ ἅγιον πνεῦμα τοῖς κεκτημένοις αὐτὸ ἀεὶ παράμονόν ἐστιν, ἕως ἂν ὦσιν ἄξιοι, καὶ ὧν ἂν χωρισθῇ, τούτους ἐρήμους καθίστησιν καὶ τῷ πονηρῷ πνεύματι ἐκδότους. 4. πᾶς δὲ ἄνθρωπος ὁ μὲν τῷ πνεύματι πεπλήρωται τῷ ἁγίῳ, ὁ δὲ τῷ ἀκαθάρτῳ, καὶ οὐχ οἷόν τε φυγεῖν αὐτῶν ἑκάτερον, εἰ μὴ ἐναντίον τι πάθωσιν· ὅ τε γὰρ παράκλητος μισεῖ πᾶν ψεῦδος, ὅ τε διάβολος πᾶσαν ἀλήθειαν. 5. πᾶς δὲ βεβαπτισμένος κατὰ ἀλήθειαν τοῦ μὲν διαβολικοῦ πνεύματος κεχώρισται, τοῦ δὲ ἁγίου πνεύματος ἐντὸς καθέστηκεν· καὶ ἀγαθοεργοῦντι μὲν παραμένει τὸ πνεῦμα τὸ ἅγιον, πληροῦν αὐτὸν σοφίας καὶ συνέσεως, καὶ τὸ πονηρὸν πνεῦμα οὐκ ἐᾷ αὐτῷ πλησιάσαι, ἐπιτηροῦν αὐτοῦ τὰς ἐφόδους. 6. σὺ οὖν, ὦ γύναι, καθὼς λέγεις, εἰ ἐν ταῖς ἡμέραις τῆς ἀφέδρου κενὴ τυγχάνεις τοῦ ἁγίου πνεύματος, τοῦ ἀκαθάρτου πεπλήρωσαι. μὴ προσευχομένη γὰρ μηδὲ ἀναγινώσκουσα ἄκοντα αὐτὸν προσκαλέσῃ· φιλεῖ γὰρ οὗτος τοὺς ἀχαρίστους, εἰ καί τις ἄλλος, τοὺς ῥαθύμους, τοὺς ἀμελεῖς, τοὺς ὑπνώδεις, ἐπειδὴ καὶ αὐτὸς ἀχαριστίᾳ κακόνοιαν νοσήσας ἐγυμνώθη παρὰ θεοῦ τῆς ἀξίας, ἀντὶ ἀρχαγγέλου διάβολος αἱρησάμενος εἶναι. 7. διὸ τῶν ματαίων ἀπόσχου λόγων, ὦ γύναι, καὶ ἔσο μεμνημένη πάντοτε θεοῦ τοῦ σε δημιουργήσαντος καὶ προσεύχου τούτῳ, ἐστὶν γὰρ σοῦ καὶ τῶν ὅλων κύριος· καὶ μελέτα τοὺς αὐτοῦ νόμους, μηθὲν παρατηρουμένη, μὴ κάθαρσιν φυσικήν, μὴ μίξιν νόμιμον, μὴ τοκετὸν ἢ ἀποβολήν, μὴ μῶμον σώματος, ἐπείπερ τὰ τοιαῦτα παρατηρήματα μωρῶν ἀνθρώπων ἐφευρέ-

1. Πρβλ. Λευϊτ. 12,1 ἑξ.· 15,1 ἑξ. 2. Παρμ. 6,22. 3. Πρβλ. Λευϊτ. 15,19.

ματα μάταια καὶ νοῦν οὐκ ἔχοντα. 8. οὔτε δὲ κῆδος ἀνθρώπου οὔτε ὀστέον νεκροῦ οὔτε μνῆμα οὔτε τοιόνδε βρῶμα οὔτε ὀνειρωγμὸς μιᾶναι δύναται ἀνθρώπου ψυχήν, ἀλλὰ μόνη ἀσέβεια ἡ εἰς θεὸν καὶ παρανομία καὶ ἡ εἰς τὸν πλησίον ἀδικία, λέγω δὴ ἁρπαγὴ ἢ βία εἴ τι ἐναντίον τῆς αὐτοῦ δικαιοσύνης, μοιχεία ἢ πορνεία.

XXVIII. Ὅθεν τὰ τοιαῦτα περιϊστάμενοι παρατηρήματα φεύγετε, ἀγαπητοί· ἑλληνικὰ γὰρ τυγχάνει. οὔτε γὰρ τὸν τεθνεῶτα βδελυσσόμεθα, ὡς ἐκεῖνοι, ἐλπίζοντες αὐτὸν πάλιν ἀναβιῶναι, οὔτε τὴν νόμιμον μίξιν κακίζομεν· ἔθος γὰρ αὐτοῖς τὰ τοιαῦτα ἀσεβεῖν. θεοῦ γὰρ γνώμῃ ἀνδρὸς καὶ γυναικὸς συνέλευσις γίνεται ἡ μετὰ δικαιοσύνης· «ὁ ποιήσας» γὰρ «ἀπ' ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς[1]», καὶ εὐλόγησεν αὐτοὺς καὶ εἶπεν· «Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν.[2]» εἰ τοίνυν θεοῦ βουλήσει παραλλαγὴ σχημάτων γέγονεν πρὸς γένεσιν πλήθους, ἄρα κατὰ τὴν αὐτοῦ γνώμην καὶ ἡ συνέλευσις τοῦ ἄρρενος πρὸς τὸ θῆλυ, οὐκέτι δὲ καὶ ἡ παρὰ φύσιν βδελυκτὴ μῖξις ἢ ἡ παράνομος πρᾶξις, ἐχθρὰ θεοῦ ὑπάρχουσα. 2. καὶ γὰρ παρὰ φύσιν ἐστὶν ἡ Σοδόμων ἁμαρτία καὶ ἡ πρὸς ἄλογα, παράνομον δὲ μοιχεία καὶ πορνεία, ὧν τὰ μὲν ἀσεβήματα, τὰ δὲ ἀδικία καὶ τὸ τελευταῖον ἁμάρτημα, οὐδέτερον δὲ αὐτῶν ἀτιμώρητον κατὰ τὴν οἰκείαν διάθεσιν. 3. οἵ τε γὰρ πρῶτοι διάλυσιν κόσμου μηχανῶνται, τὰ κατὰ φύσιν παρὰ φύσιν ἐπιχειροῦντες ποιεῖν· οἱ δὲ δεύτεροι οἱ μὲν ἀδικοῦσιν ἀλλοτρίους γάμους φθείροντες καὶ τὸ ὑπὸ θεοῦ γενόμενον ἓν διαιροῦσιν εἰς δύο τούς τε παῖδας ὑπόπτους καὶ τὸν φυσικὸν ἄνδρα εὐεπιβούλευτον, ἥ τε πορνεία φθορὰ τῆς οἰκείας ἐστὶ σαρκός, οὐκ ἐπὶ παιδοποιΐᾳ γινομένη, ἀλλ' ἡδονῇ χαριζομένη τὸ πᾶν, ὅπερ ἐστὶν ἀκρασίας σύμβολον, ἀλλ' οὐκ ἀρετῆς σημεῖον. 4. ἀπηγόρευται δὲ τοῖς νόμοις ἅπαντα ταῦτα. φησὶν γὰρ τὰ λόγια οὕτως· «Οὐ κοιμηθήσῃ μετὰ ἄρρενος κοίτην γυναικείαν, ἐπικατάρατος γὰρ ὁ τοιοῦτος καὶ λίθοις λιθοβολήσατε αὐτούς, βδέλυγμα ἐποίησαν· πάντα κοιμώμενον μετὰ κτήνους, ἀποκτείνατε αὐτόν, ἀνομίαν ἐποίησεν ἐν τῷ λαῷ· καὶ ἐάν τις γυναῖκα ὕπανδρον μιάνῃ, ἀποκτείνατε ἀμφοτέρους, ἀνομίαν ἐποίησαν, ἔνοχοί εἰσιν, ἀποθανέτωσαν[3]», καὶ ἑξῆς· «Οὐκ ἔσται πορνεύων ἐν υἱοῖς Ἰσραήλ, καὶ οὐκ ἔσται πορνεύουσα ἀπὸ θυγατέρων Ἰσραήλ· οὐ προσοίσεις μίσθωμα πόρνης κυρίῳ τῷ θεῷ σου ἐπὶ τὸ θυσιαστήριον οὔτε ἄλλαγμα κυνός· οὐ «γὰρ «ἁγναί», φησίν, «εὐχαὶ ἐκ μισθώματος ἑταίρας.[4]» 5. ταῦτα μὲν ἀπηγόρευσαν οἱ νόμοι, τὸν δὲ γάμον ἐσέμνυναν, εὐλογημένον αὐτὸν ἀποκαλέσαντες, ἐπειδὴ καὶ εὐλόγησεν αὐτὸν ὁ θεὸς ὁ συζεύξας τὸ θῆλυ τῷ ἄρρενι. λέγει δέ που καὶ ὁ σοφὸς Σολομών· «Παρὰ κυρίου ἁρμόζεται γυνὴ ἀνδρί[5]», καὶ ὁ Δαυὶδ λέγει· «Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς

1. Γεν. 1, 27. 2. Γεν. 1, 28. 3. Λευϊτ. 18, 22· 20, 13. Ἔξ. 22, 19. Λευϊτ. 20, 10. 4. Δευτ. 23, 17-18. Παρμ. 19, 13. 5. Παρμ. 19, 14.

οἰκίας σου, οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου· ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον.[1]» 6. οὐκοῦν «ὁ γάμος τίμιος[2]» καὶ σεμνὸς καὶ ἡ τῶν παίδων γένεσις καθαρά· οὐδὲν γὰρ κακὸν ἐν καλῷ ὑπάρχει. 7. οὔτε οὖν ἡ φυσικὴ κάθαρσις βδελυκτὴ θεῷ, ὃς αὐτὴν ᾠκονόμησεν συμβαίνειν γυναιξὶν ἐν τριακονθημέρῳ συστάσεως χάριν καὶ εὐρωστίας ἀκινητοτέραις ὑπαρχούσαις, ἅτε ἐν οἰκίᾳ καθημέναις τὸ πλεῖον. οὐ μὴν δὲ ἀλλὰ καὶ ἐν τῷ εὐαγγελίῳ ὁ κύριος, τῆς αἱμορροούσης ἁψαμένης τοῦ σωτηρίου κρασπέδου ὑγείας χάριν, οὐκ ἠχθέσθη ἐπ' αὐτῇ, οὔτε μὴν ὅλως ᾐτιάσατο, τοὐναντίον δὲ καὶ ἰάσατο αὐτὴν φήσας· «Ἡ πίστις σου σέσωκέν σε.[3]» 8. καὶ φυσικῶν μὲν φαινομένων ταῖς γυναιξὶν οἱ ἄνδρες μὴ συνερχέσθωσαν προνοίας ἕνεκεν τῶν γεννωμένων· ἀπεῖπεν γὰρ ὁ Νόμος· «Πρὸς γυναῖκα» γάρ, φησίν, «ἐν ἀφέδρῳ οὖσαν οὐ προσεγγιεῖς.[4]» μήτε μὴν ἐγκυμονούσαις ὁμιλείτωσαν αὐταῖς· οὐκ ἐπὶ παίδων γὰρ γενέσει τοῦτο ποιοῦσιν, ἀλλ' ἡδονῆς χάριν, οὐ δεῖ δὲ φιλήδονον τὸν φιλόθεον ὑπάρχειν.

XXIX. «Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσι[5]» καὶ διὰ τιμῆς αὐτοὺς ἔχετε καὶ φόβῳ καὶ ἀγάπῃ δουλεύετε αὐτοῖς, ὡς ἡ ἁγία Σάρρα τὸν Ἀβραὰμ ἐτίμα οὐδὲ ἐξ ὀνόματος αὐτὸν ὑπομένουσα καλεῖν, ἀλλὰ κύριον αὐτὸν προσαγορεύουσα ἐν τῷ λέγειν· «Ὁ δὲ κύριός μου πρεσβύτης.[6]» 2. ὁμοίως «οἱ ἄνδρες, στέργετε τὰς ἑαυτῶν γυναῖκας ὡς ἴδια μέλη[7]», ὡς κοινωνοὺς βίου καὶ συνεργοὺς πρὸς γένεσιν παίδων. «Συνευφραίνου» γάρ, φησίν, «μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου, ἔλαφος σῆς φιλίας καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι, ἡ δὲ ἰδία ἡγείσθω σου καὶ συνέστω σοι ἐν παντὶ καιρῷ· ἐν γὰρ τῇ ταύτης φιλίᾳ συμπεριφερόμενος πολλοστὸς ἔσῃ.[8]» 3. ἀγαπᾶτε οὖν αὐτὰς ὡς οἰκεῖα μέλη, ὡς ὑμέτερα σώματα· γέγραπται γὰρ οὕτως· «Κύριος διεμαρτύρατο ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον γυναικὸς νεότητός σου, καὶ αὕτη κοινωνός σου καὶ οὐκ ἄλλος ἐποίησεν, καὶ ὑπόλειμμα πνεύματός σου· καὶ φυλάξασθε τῷ πνεύματι ὑμῶν, καὶ γυναῖκα νεότητός σου μὴ ἐγκαταλίπῃς.[9]» 4. ἀνὴρ οὖν καὶ γυνή, νομίμῳ γάμῳ συνερχόμενοι καὶ ἀπ' ἀλλήλων ἐγειρόμενοι, ἀπαρατηρήτως προσευχέσθωσαν· καὶ μὴ λουσάμενοι καθαροί εἰσιν. ὃς δ' ἂν ἀλλοτρίαν γυναῖκα ὑποφθείρας μιάνῃ ἢ συμμιανθῇ πόρνῃ, ἀναστὰς ἀπ' αὐτῆς, οὐδ' ἂν τὸ πέλαγος ὅλον καὶ τοὺς ποταμοὺς πάντας ἀπολούσηται, καθαρὸς εἶναι δυνήσεται.

XXX. Μὴ παρατηρεῖσθε οὖν τὰ ἔννομα καὶ φυσικά, νομίζοντες μολύνεσθαι δι' αὐτῶν, μηδὲ ἐπιζητεῖτε ἰουδαϊκοὺς ἀφορισμοὺς ἢ συνεχῆ βαπτίσματα ἢ καθαρισμοὺς ἐπὶ θίξει νεκροῦ. 2. ἀπαρατηρήτως δὲ συναθροίζεσθε ἐν τοῖς κοιμητηρίοις, τὴν ἀνάγνωσιν τῶν ἱερῶν βιβλίων

---

1. Ψαλμ. 127, 3-4. 2. Ἑβρ. 13, 4. 3. Ματθ. 9, 22. 4. Λευΐτ 18, 19. Ἰεζ. 18, 6. 5. Κολ. 3, 18. 6. Γεν. 18, 12. 7. Πρβλ. Ἐφ. 5, 25, 28. 8. Παρμ. 5, 18-19. 9. Μαλ. 2, 14-15.

ποιούμενοι καὶ ψάλλοντες ὑπὲρ τῶν κεκοιμημένων μαρτύρων καὶ πάντων τῶν ἀπ' αἰῶνος ἁγίων καὶ τῶν ἀδελφῶν ὑμῶν τῶν ἐν κυρίῳ κεκοιμημένων, καὶ τὴν ἀντίτυπον τοῦ βασιλείου σώματος Χριστοῦ δεκτὴν εὐχαριστίαν προσφέρετε ἔν τε ταῖς ἐκκλησίαις ὑμῶν καὶ ἐν τοῖς κοιμητηρίοις, καὶ ἐν ταῖς ἐξόδοις τῶν κεκοιμημένων ψάλλοντες προπέμπετε αὐτούς, ἐὰν ὦσιν πιστοὶ ἐν κυρίῳ. 3. «Τίμιος» γὰρ «ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ [1]», καὶ πάλιν. «Ἐπίστρεψον, ἡ ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐεργέτησέν σε [2]», καὶ ἐν ἄλλοις· «Μνήμη δικαίων μετ' ἐγκωμίων [3]», καί· «Δικαίων ψυχαὶ ἐν χειρὶ θεοῦ.[4]» 4. οἱ γὰρ θεῷ πεπιστευκότες, ἐὰν καὶ κοιμηθῶσιν, οὐκ εἰσὶν νεκροί· λέγει γὰρ ὁ σωτὴρ τοῖς Σαδδουκαίοις· «Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ γεγραμμένον, ὅτι ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ; οὐκ ἔστιν οὖν ὁ θεὸς θεὸς νεκρῶν, ἀλλὰ ζώντων, πάντες γὰρ αὐτῷ ζῶσιν.[5]» 5. οὔκουν τῶν παρὰ θεῷ ζώντων οὐδὲ τὰ λείψανα ἄτιμα. καὶ γὰρ Ἐλισσαῖος ὁ προφήτης μετὰ τὸ κοιμηθῆναι αὐτὸν νεκρὸν ἤγειρε πεφονευμένον ὑπὸ πειρατῶν Συρίας· ἔψαυσεν γὰρ τὸ σῶμα αὐτοῦ τῶν Ἐλισσαίου ὀστέων, καὶ ἀναστὰς ἔζησεν· [6] οὐκ ἂν δὲ ἐγεγόνει τοῦτο, εἰ μὴ ἦν τὸ σῶμα Ἐλισσαίου ἅγιον. 6. καὶ Ἰωσὴφ ὁ σώφρων περιεπλέκετο τῷ Ἰακὼβ μετὰ τὸ ἀποθανεῖν ὄντι ἐπὶ τῆς κλίνης [7], καὶ Μωσῆς καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐπεφέροντο τὰ λείψανα τοῦ Ἰωσήφ, μολυσμὸν οὐχ ἡγούμενοι τοῦτο.[8] 7. ὅθεν καὶ ὑμεῖς, ὦ ἐπίσκοποι καὶ οἱ λοιποί, ἀπαρατηρήτως ἁπτόμενοι τῶν κεκοιμημένων μὴ νομίσητε μιαίνεσθαι, μηδὲ βδελύσσεσθε τὰ τούτων λείψανα, περιϊστάμενοι τὰς τοιαύτας παρατηρήσεις μωρὰς οὔσας· καὶ κοσμεῖτε ἑαυτοὺς ἐν ἁγιασμῷ καὶ σωφροσύνῃ, ὅπως μέτοχοι τῆς ἀθανασίας καὶ κοινωνοὶ τῆς βασιλείας τοῦ θεοῦ γένησθε καὶ τὴν ἐπαγγελίαν τοῦ θεοῦ λάβητε, ἀναπαυόμενοι διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος αἰωνίως. 8. Τῷ οὖν δυναμένῳ ἀνοῖξαι τὰ ὦτα τῶν καρδιῶν ὑμῶν εἰς τὸ καταδέχεσθαι τὰ διηκονημένα τοῦ θεοῦ λόγια διά τε τοῦ εὐαγγελίου καὶ διὰ τῆς διδασκαλίας Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου καὶ Ἡρώδου καὶ κοιμηθέντος καὶ ἀναστάντος ἐκ νεκρῶν καὶ πάλιν «ἐρχομένου» ἐπὶ συντελείᾳ τοῦ αἰῶνος «μετὰ δόξης καὶ δυνάμεως πολλῆς [9]» καὶ τοὺς μὲν νεκροὺς ἀνεγείροντος, τῷ κόσμῳ δὲ τέλος ἐπάγοντος, ἑκάστῳ δὲ τὰ πρὸς ἀξίαν ἀπονέμοντος· 9. τῷ δόντι ἡμῖν ἀρραβῶνα τῆς ἀναστάσεως ἑαυτὸν καὶ εἰς οὐρανοὺς ἀναληφθέντι διὰ τῆς δυνάμεως τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ ἐπ' ὄψεσιν ἡμετέραις τοῖς συμφαγοῦσιν αὐτῷ καὶ συμπιοῦσιν ἐπὶ ἡμέρας τεσσαράκοντα μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν, καὶ «καθεσθέντι ἐκ δεξιῶν τοῦ θρόνου τῆς μεγαλωσύνης [10]» τοῦ παντοκράτορος θεοῦ ἐπὶ

1. Ψαλμ. 115, 6. 2. Ψαλμ. 114, 7. 3. Παρμ. 10, 7. 4. Σοφ. Σολ. 3, 1. 5. Ματθ. 22, 31-32. 6. Δ' Βασ. 13, 21. 7. Γεν. 50, 1. 8. Ἐξ. 13, 19. Ἰησ. Ν. 24, 32. 9. Ματθ. 24, 30. 10. Ἑβρ. 8, 1.

τῶν Χερουβίμ, τῷ ἀκούσαντι· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου·[1]» 10. ὃν ἐθεάσατο Στέφανος ὁ μακαριώτατος ἑστῶτα ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἀναβοήσας εἶπεν· «Ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ[2]» ὡς ἀρχιερέα πάντων τῶν λογικῶν ταγμάτων, δι' οὗ τὸ σέβας καὶ ἡ μεγαλωσύνη καὶ ἡ δόξα τῷ παντοκράτορι θεῷ καὶ νῦν καὶ εἰς τοὺς αἰῶνας· ἀμήν.

---

1. Ψαλμ. 109, 1. 2. Πράξ. 7, 55.

ΒΙΒΛΙΟΝ Ζ'

ΠΕΡΙ ΠΟΛΙΤΕΙΑΣ ΚΑΙ ΕΥΧΑΡΙΣΤΙΑΣ ΚΑΙ ΤΗΣ ΚΑΤΑ ΧΡΙΣΤΟΝ ΜΥΗΣΕΩΣ

I. Τοῦ νομοθέτου Μωσέως εἰρηκότος τοῖς Ἰσραηλίταις· «Ἰδοὺ δέδωκα πρὸ προσώπου ὑμῶν τὴν ὁδὸν τῆς ζωῆς καὶ τὴν ὁδὸν τοῦ θανάτου[1]», καὶ ἐπιφέροντος· «Ἔκλεξαι τὴν ζωήν, ἵνα ζήσῃς[2]», καὶ τοῦ προφήτου Ἠλία λέγοντος τῷ λαῷ· «Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; εἰ θεός ἐστι κύριος, πορεύεσθε ὀπίσω αὐτοῦ[3]», εἰκότως ἔλεγεν καὶ ὁ κύριος Ἰησοῦς· «Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει.[4]» 2. ἀναγκαίως καὶ ἡμεῖς ἑπόμενοι τῷ διδασκάλῳ Χριστῷ, «ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων μάλιστα πιστῶν[5]», φαμὲν ὡς δύο ὁδοί εἰσιν, μία τῆς ζωῆς καὶ μία τοῦ θανάτου. 3. οὐδεμίαν δὲ σύγκρισιν ἔχουσιν πρὸς ἑαυτάς, πολὺ γὰρ τὸ διάφορον, μᾶλλον δὲ πάντῃ κεχωρισμέναι τυγχάνουσιν, καὶ φυσικὴ μὲν ἔστιν ἡ τῆς ζωῆς ὁδός, ἐπείσακτος δὲ ἡ τοῦ θανάτου, οὐ τοῦ κατὰ γνώμην θεοῦ ὑπάρξαντος, ἀλλὰ τοῦ ἐξ ἐπιβουλῆς τοῦ ἀλλοτρίου.

II. Πρώτη οὖν τυγχάνει ἡ ὁδὸς τῆς ζωῆς· καὶ ἔστιν αὕτη, ἣν καὶ ὁ Νόμος διαγορεύει, «ἀγαπᾶν κύριον τὸν θεὸν ἐξ ὅλης τῆς διανοίας καὶ ἐξ ὅλης τῆς ψυχῆς τὸν ἕνα καὶ μόνον, παρ' ὃν ἄλλος οὐκ ἔστιν, καὶ τὸν πλησίον ὡς ἑαυτόν·[6]» καὶ «πᾶν, ὃ μὴ θέλεις γενέσθαι σοι, καὶ σὺ τοῦτο ἄλλῳ οὐ ποιήσεις.» τοῦτ' ἔστιν· «ὃ σὺ μισεῖς, ἄλλῳ οὐ ποιήσεις.» 2. «εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. ποία γὰρ ὑμῖν χάρις, ἐὰν φιλῆτε τοὺς φιλοῦντας ὑμᾶς; καὶ γὰρ καὶ οἱ ἐθνικοὶ τοῦτο ποιοῦσιν. ὑμεῖς δὲ φιλεῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ ἐχθρὸν οὐχ ἕξετε.[7]» 3. «Οὐ μισήσεις» γάρ, φησί, «πάντα ἄνθρωπον, οὐκ Αἰγύπτιον, οὐκ Ἰδουμαῖον[8]», ἅπαντες γάρ εἰσιν τοῦ θεοῦ ἔργα. φεύγετε δὲ οὐ τὰς φύσεις, ἀλλὰ τὰς γνώμας τῶν πονηρῶν. 4. «ἀπέχου τῶν σαρκικῶν» καὶ κοσμικῶν «ἐπιθυμιῶν.[9]» ἐάν τίς σοι δῷ ῥάπισμα «εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην[10]», οὐ φαύλης οὔσης τῆς ἀμύνης, ἀλλὰ τιμιωτέρας τῆς ἀνεξικακίας. λέγει γὰρ ὁ Δαυίδ· «Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά.[11]» 5. ἐὰν «ἀγγαρεύσῃ σέ τις μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο, καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον», καὶ «ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ

---

1. Δευτ. 30, 15. 2. Δευτ. 30, 19. 3. Γ' Βασ. 18, 21. 4. Ματθ. 6, 24· 5. Α' Τιμ. 4, 10. 6. Δευτ. 6, 5. Λευϊτ. 19, 18. 7. Ματθ. 7, 12· 5, 44-47· 8. Δευτ. 23, 7. 9. Α' Πέτρ. 2, 11. 10. Ματθ. 5, 39. 11. Ψαλμ. 7, 5·

ἀπαίτει. 6. τῷ αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ θέλοντος δανείσασθαι παρὰ σοῦ μὴ» ἀποκλείσῃς τὴν χεῖρα [1], «δίκαιος» γὰρ «ἀνὴρ οἰκτείρει καὶ κιχρᾷ· [2]» πᾶσι γὰρ θέλει δίδοσθαι ὁ πατὴρ «ὁ τὸν ἥλιον αὐτοῦ ἀνατέλλων ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ τὸν ὑετὸν αὐτοῦ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους.[3]» 7. πᾶσιν οὖν δίκαιον διδόναι ἐξ οἰκείων πόνων· «Τίμα» γάρ, φησί, «τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων· [4]» προτιμητέον δὲ τοὺς ἁγίους. 8. «Οὐ φονεύσεις [5]», τοῦτ' ἔστιν οὐ φθερεῖς τὸν ὅμοιόν σοι ἄνθρωπον, διαλύεις γὰρ τὰ καλῶς γινόμενα· οὐχ ὡς παντὸς φόνου φαύλου τυγχάνοντος, ἀλλὰ μόνου τοῦ ἀθώου, τοῦ δ' ἐνδίκου ἄρχουσι μόνοις ἀφωρισμένου. 9. «οὐ μοιχεύσεις [6]», διαιρεῖς γὰρ μίαν σάρκα εἰς δύο· «Ἔσονται» γάρ, φησίν, «οἱ δύο εἰς σάρκα μίαν· [7]» ἓν γάρ εἰσιν ἀνὴρ καὶ γυνὴ τῇ φύσει, τῇ συμπνοίᾳ, τῇ ἑνώσει, τῇ διαθέσει, τῷ βίῳ, τῷ τρόπῳ, κεχωρισμένοι δέ εἰσιν τῷ σχήματι καὶ τῷ ἀριθμῷ. 10. οὐ παιδοφθορήσεις· [8] παρὰ φύσιν γὰρ τὸ κακὸν ἐκ Σοδόμων φυέν, ἥτις πυρὸς θεηλάτου παρανάλωμα γέγονεν, «ἐπικατάρατος» δὲ ὁ τοιοῦτος «καὶ ἐρεῖ πᾶς ὁ λαός· Γένοιτο, γένοιτο.[9]» 11. οὐ πορνεύσεις· «Οὐκ ἔσται» γάρ, φησίν, «πορνεύων ἐν υἱοῖς Ἰσραήλ.[10]» 12. «οὐ κλέψεις· [11]» Ἄχαρ γὰρ κλέψας ἐν τῷ Ἰσραὴλ ἐν Ἱεριχὼ λίθοις βληθεὶς τοῦ ζῆν ὑπεξῆλθεν [12], καὶ Γιεζεῖ κλέψας καὶ ψευσάμενος ἐκληρονόμησεν τοῦ Νεεμὰν τὴν λέπραν [13], καὶ Ἰούδας κλέπτων τὰ τῶν πενήτων τὸν κύριον τῆς δόξης παρέδωκεν Ἰουδαίοις, καὶ μεταμεληθεὶς ἀπήγξατο καὶ «ἐλάκησεν μέσος καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ [14]», καὶ Ἀνανίας καὶ Σαπφεῖρα ἡ τούτου γυνή, κλέψαντες τὰ ἴδια καὶ πειράσαντες τὸ πνεῦμα κυρίου, παραχρῆμα ἀποφάσει Πέτρου τοῦ συναποστόλου ἡμῶν ἐθανατώθησαν.[15]

III. Οὐ μαγεύσεις, οὐ φαρμακεύσεις· «Φαρμακοὺς» γαρ, φησίν, «οὐ περιβιώσετε.[16]» 2. οὐ φονεύσεις τέκνον σου ἐν φθορᾷ, οὐδὲ τὸ γεννηθὲν ἀποκτενεῖς· πᾶν γὰρ τὸ ἐξεικονισμένον, ψυχὴν λαβὸν παρὰ θεοῦ, φονευθὲν ἐκδικηθήσεται, ἀδίκως ἀναιρεθέν.[17] 3. «οὐκ ἐπιθυμήσεις τὰ τοῦ πλησίον σου [18]», οἷον «τὴν γυναῖκα ἢ τὸν παῖδα ἢ τὸν βοῦν ἢ τὸν ἀγρόν. 4. οὐκ ἐπιορκήσεις», ἐρρέθη γὰρ «μὴ ὀμόσαι ὅλως· [19]» εἰ δὲ μήγε, κἂν εὐορκήσῃς, ὅτι «ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ.[20] 5. οὐ ψευδομαρτυρήσεις [21]», ὅτι «ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν.[22]»

IV. Οὐ κακολογήσεις· «Μὴ ἀγάπα» γάρ, φησί, «κακολογεῖν, ἵνα μὴ ἐξαρθῇς», οὐδὲ μνησικακήσεις· «ὁδοὶ» γὰρ «μνησικάκων εἰς θάνα-

1. Ματθ. 5, 41, 40. Λουκ. 6, 30. Ματθ. 5, 42. 2. Ψαλμ. 111, 5. 3. Ματθ. 5, 45. 4. Παρμ. 3, 9. 5. Ἔξ. 20, 15. 6. Ἔξ. 20, 13. 7. Γεν. 2, 24. 8. Πρβλ. Λευϊτ. 18, 22. 9. Δευτ. 27, 15. 10. Δευτ. 23, 17. 11. Ἔξ. 20, 14. 12. Ἰησ. Ν. 7, 1 ἑξ. 13. Δ' Βασ. 5, 1 ἑξ. 14. Πράξ. 1, 18. 15. Πράξ. 5, 1 ἑξ. 16. Ἔξ. 22, 18. 17. Πρβλ. Ἔξ. 21, 23. 18. Ἔξ. 20, 17. 19. Ματθ. 5, 33-34. 20. Ψαλμ. 62, 12. 21. Ἔξ. 20, 16. 22. Παρμ. 14, 31.

τον.[1]» 2. οὐκ ἔσῃ δίγνωμος οὐδὲ δίγλωσσος· «παγὶς γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη[2]», καὶ «ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς.[3]» 3. οὐκ ἔσται ὁ λόγος σου κενός· «περὶ παντὸς» γὰρ «λόγου ἀργοῦ δώσετε λόγον.[4] 4. οὐ ψεύσῃ· 'Απολεῖς» γάρ, φησί, «πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος.[5]» 5. οὐκ ἔσῃ πλεονέκτης οὐδὲ ἅρπαξ· «Οὐαὶ» γάρ, φησίν, «ὁ πλεονεκτῶν τὸν πλησίον πλεονεξίαν κακήν.[6]» 6. οὐκ ἔσῃ ὑποκριτής, ἵνα μὴ «τὸ μέρος σου μετ' αὐτῶν θῇς.[7]»

V. Οὐκ ἔσῃ κακοήθης οὐδὲ ὑπερήφανος· «ὑπερηφάνοις» γὰρ «ὁ θεὸς ἀντιτάσσεται.[8] 2. οὐ λήψῃ πρόσωπον ἐν κρίσει, ὅτι τοῦ κυρίου ἡ κρίσις.[9]» 3. οὐ μισήσεις πάντα ἄνθρωπον. «ἐλεγμῷ ἐλέγξεις τὸν ἀδελφόν σου καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν[10]», καὶ «ἔλεγχε σοφὸν καὶ ἀγαπήσει σε.[11]» 4. φεῦγε ἀπὸ παντὸς κακοῦ καὶ ἀπὸ παντὸς ὁμοίου αὐτῷ· «Ἄπεχε» γάρ, φησίν, «ἀπὸ ἀδίκου, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι.[12]» 5. μὴ γίνου ὀργίλος μηδὲ βάσκανος μηδὲ ζηλωτὴς μηδὲ μανικὸς μηδὲ θρασύς, μὴ πάθῃς τὰ τοῦ Καΐν καὶ τὰ τοῦ Σαοὺλ καὶ τὰ τοῦ Ἰωάβ· ὅτι ὃς μὲν ἀπέκτεινεν τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ διὰ τὸ πρόκριτον αὐτὸν εὑρεθῆναι παρὰ θεῷ καὶ διὰ τὸ προσδεχθῆναι τὴν θυσίαν αὐτοῦ, ὃς δὲ τὸν ὅσιον Δαυὶδ ἐδίωκεν νικήσαντα Γολιὰθ τὸν Φιλιστιαῖον, ζηλώσας ἐπὶ τῇ τῶν χορευτριῶν εὐφημίᾳ, ὃς δὲ τοὺς δύο στρατηλάτας ἀνεῖλεν, τὸν Ἀβεννὴρ τὸν τοῦ Ἰσραὴλ καὶ Ἀμεσσὰ τὸν τοῦ Ἰούδα.

VI. Μὴ γίνου οἰωνοσκόπος, ὅτι ὁδηγεῖ πρὸς εἰδωλολατρείαν· «Οἰώνισμα» δέ, φησὶν ὁ Σαμουήλ, «ἁμαρτία ἐστίν[13]», καὶ «οὐκ ἔσται οἰωνισμὸς ἐν Ἰακὼβ οὐδὲ μαντεία ἐν Ἰσραήλ.[14] 2. οὐκ ἔσῃ ἐπᾴδων ἢ περικαθαίρων τὸν υἱόν σου, οὐ κληδονιεῖς οὐδὲ οἰωνισθήσῃ οὐδὲ ὀρνεοσκοπήσεις[15]» οὐδὲ μαθήσῃ μαθήματα πονηρά· ταῦτα γὰρ ἅπαντα καὶ ὁ νόμος ἀπεῖπεν. 3. μὴ γίνου ἐπιθυμητὴς κακῶν, ὁδηγηθήσῃ γὰρ εἰς ἀμετρίαν ἁμαρτημάτων. 4. οὐκ ἔσῃ αἰσχρολόγος οὐδὲ ῥιψόφθαλμος οὐδὲ μέθυσος· ἐκ γὰρ τούτων πορνεῖαι καὶ μοιχεῖαι γίνονται. 5. μὴ γίνου φιλάργυρος, ἵνα μὴ ἀντὶ θεοῦ δουλεύσῃς τῷ μαμωνᾷ. 6. μὴ γίνου κενόδοξος μηδὲ μετέωρος μηδὲ ὑψηλόφρων, ἐκ γὰρ τούτων ἁπάντων ἀλαζονεῖαι γεννῶνται· μνήσθητι τοῦ εἰπόντος· «Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου, οὐδὲ ἐπορεύθην ἐν μεγάλοις οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ· εἰ μὴ ἐταπεινοφρόνουν.[16]»

VII. Μὴ γίνου γόγγυσος, μνησθεὶς τῆς τιμωρίας ἧς ὑπέστησαν οἱ καταγογγύσαντες Μωσέως. 2. μὴ ἔσο αὐθάδης μηδὲ πονηρόφρων μηδὲ σκληροκάρδιος μηδὲ θυμώδης μηδὲ μικρόψυχος· πάντα γὰρ ταῦτα

---

1. Παρμ. 12, 28. 2. Παρμ. 6, 2. 3. Ψαλμ. 139, 12. 4. Ματθ. 12, 36. 5. Λευΐτ. 19, 11. Ψαλμ. 5, 7. 6. Ἀββ. 2, 9. 7. Πρβλ. Ματθ. 24, 51. 8. Παρμ. 3, 34. 9. Δευτ. 1, 17. 10. Λευΐτ. 19, 17. 11. Παρμ. 9, 8. 12. Ἠσ. 54, 14. 13. Α΄ Βασ. 15, 23. 14. Ἀριθ. 23, 23. 15. Δευτ. 18, 10-11. Λευΐτ. 19, 26. 16. Ψαλμ. 130, 1-2.

ὁδηγεῖ πρὸς βλασφημίαν. 3. ἴσθι δὲ πρᾶος ὡς Μωϋσῆς καὶ Δαυίδ[1], ἐπεὶ «οἱ πραεῖς κληρονομήσουσιν τὴν γῆν.[2]»

VIII. Γίνου μακρόθυμος· ὁ γὰρ τοιοῦτος «πολὺς ἐν φρονήσει», ἐπείπερ ὁ «ὀλιγόψυχος ἰσχυρὸς ἄφρων.[3]» 2. γίνου ἐλεήμων· «μακάριοι» γὰρ «οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.[4]» 3. ἔσο ἄκακος, ἥσυχος, ἀγαθός, τρέμων τοὺς λόγους τοῦ θεοῦ. 4. οὐχ ὑψώσεις σεαυτὸν ὡς ὁ Φαρισαῖος, ὅτι «πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται[5]», καὶ «τὸ ὑψηλὸν ἐν ἀνθρώποις βδέλυγμα παρὰ θεῷ.[6]» 5. οὐ δώσεις τῇ ψυχῇ σου θράσος, ὅτι «ἀνὴρ θρασὺς ἐμπεσεῖται εἰς κακά.[7]» 6. οὐ συμπορεύσῃ μετὰ ἀφρόνων, ἀλλὰ μετὰ σοφῶν καὶ δικαίων. 7. τὰ συμβαίνοντά σοι πάθη εὐμενῶς δέχου καὶ τὰς περιστάσεις ἀλύπως, εἰδώς, ὅτι μισθός σοι παρὰ θεοῦ δοθήσεται ὡς τῷ Ἰὼβ καὶ τῷ Λαζάρῳ.

IX. «Τὸν λαλοῦντά σοι τὸν λόγον τοῦ θεοῦ» δοξάσεις, μνησθήσῃ δὲ αὐτοῦ ἡμέρας καὶ νυκτός, τιμήσεις δὲ αὐτὸν οὐχ ὡς γενέσεως αἴτιον, ἀλλ' ὡς τοῦ εὖ εἶναί σοι πρόξενον γενόμενον· ὅπου γὰρ ἡ περὶ θεοῦ διδασκαλία, ἐκεῖ ὁ θεὸς πάρεστιν. 2. ἐκζητήσεις καθ' ἡμέραν τὸ πρόσωπον τῶν ἁγίων, ἵν' ἐπαναπαύῃ τοῖς λόγοις αὐτῶν.

X. Οὐ ποιήσεις σχίσματα πρὸς τοὺς ἁγίους, μνησθεὶς τῶν Κορειτῶν.[8] 2. εἰρηνεύσεις μαχομένους ὡς Μωσῆς, συναλλάσσων εἰς φιλίαν. 3. κρινεῖς δικαίως· «τοῦ» γὰρ «κυρίου ἡ κρίσις.[9]» 4. οὐ λήψῃ πρόσωπον ἐλέγξαι ἐπὶ παραπτώματι, ὡς Ἠλίας καὶ Μιχαίας τὸν Ἀχαὰβ καὶ Ἀβδεμέλεχ ὁ Αἰθίοψ τὸν Σεδεκίαν καὶ Νάθαν τὸν Δαυὶδ καὶ Ἰωάννης τὸν Ἡρῴδην.

XI. Μὴ γίνου δίψυχος ἐν προσευχῇ σου, εἰ ἔσται ἢ οὔ· λέγει γὰρ ὁ κύριος ἐμοὶ Πέτρῳ ἐπὶ τῆς θαλάσσης· «Ὀλιγόπιστε, εἰς τί ἐδίστασας;[10]»

XII. Μὴ γίνου πρὸς μὲν τὸ λαβεῖν ἐκτείνων τὴν χεῖρα, πρὸς δὲ τὸ δοῦναι συστέλλων. 2. ἐὰν ἔχῃς, διὰ τῶν χειρῶν σου δός, ἵνα ἐργάσῃ εἰς λύτρωσιν ἁμαρτιῶν σου· «ἐλεημοσύναις» γὰρ καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι.[11]» 3. οὐ διστάσεις δοῦναι πτωχῷ, οὐδὲ διδοὺς γογγύσεις· γνώσῃ γάρ, τίς ἐστιν ὁ τοῦ μισθοῦ ἀνταποδότης· «Ὁ ἐλεῶν» γάρ, φησίν, «πτωχὸν κυρίῳ δανείζει, κατὰ δὲ τὸ δόμα αὐτοῦ, οὕτως ἀνταποδοθήσεται αὐτῷ.[12]» 4. οὐκ ἀποστραφήσῃ ἐνδεόμενον· «Ὃς φράσσει» γάρ, φησί, «τὰ ὦτα αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι τοῦ δεομένου, καὶ αὐτὸς ἐπικαλέσεται, καὶ οὐκ ἔσται ὁ εἰσακούων αὐτοῦ.[13]» 5. κοινωνήσεις εἰς πάντα τῷ ἀδελφῷ σου καὶ οὐκ ἐρεῖς ἴδια εἶναι, κοινὴ γὰρ ἡ μετάληψις παρὰ θεοῦ πᾶσιν ἀνθρώποις παρεσκευάσθη.

XIII. Οὐκ ἀρεῖς τὴν χεῖρά σου ἀπὸ τοῦ υἱοῦ σου ἢ ἀπὸ τῆς θυγατρός σου, ἀλλὰ ἀπὸ νεότητος αὐτῶν διδάξεις αὐτοὺς τὸν φόβον τοῦ

---

1. Πρβλ. Ψαλμ. 131, 1. 2. Ψαλμ. 36, 11. Ματθ. 5, 5. 3. Παρμ. 14, 29. 4. Ματθ. 5, 7. 5. Λουκ. 18, 14. 6. Λουκ. 16, 15. 7. Παρμ. 13, 17. 8. Πρβλ. Ἀριθ. 16, 10. 9. Δευτ. 1, 17. 10. Ματθ. 14, 31. 11. Παρμ. 15, 6. 12. Παρμ. 19, 17. 13. Παρμ. 21, 13.

θεοῦ. «Παίδευε» γάρ, φησί, «τὸν υἱόν σου, οὕτως γὰρ ἔσται σοι εὔελπις.[1]» 2. οὐκ ἐπιτάξεις δούλῳ σου ἢ παιδίσκῃ τοῖς ἐπὶ τὸν αὐτὸν θεὸν πεποιθόσιν «ἐν πικρίᾳ ψυχῆς», μή ποτε στενάξουσιν ἐπὶ σοὶ καὶ ἔσται σοι ὀργὴ παρὰ θεοῦ. 3. καὶ ὑμεῖς, οἱ δοῦλοι, ὑποτάγητε τοῖς κυρίοις ὑμῶν ὡς τύπῳ θεοῦ ἐν αἰσχύνῃ καὶ φόβῳ, «ὡς τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις.[2]»

XIV. Μισήσεις πᾶσαν ὑπόκρισιν, καὶ πᾶν, ὃ ἐὰν ᾖ ἀρεστὸν κυρίῳ, ποιήσεις. 2. οὐ μὴ ἐγκαταλίπῃς «ἐντολὰς κυρίου, φυλάξεις» δέ, ἃ παρέλαβες παρ' αὐτοῦ, «μήτε προστιθεὶς» ἐπ' αὐτοῖς «μήτε ἀφαιρῶν» ἀπ' αὐτῶν· «οὐ προσθήσεις»γάρ, «τοῖς λόγοις αὐτοῦ, ἵνα μὴ ἐλέγξῃ σε καὶ ψευδὴς γένῃ·[3]» 3. ἐξομολογήσῃ κυρίῳ τῷ θεῷ σου τὰ ἁμαρτήματά σου καὶ οὐκέτι προσθήσεις ἐπ' αὐτοῖς, ἵνα εὖ σοι γένηται παρὰ κυρίῳ τῷ θεῷ σου, «ὃς οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν.[4]»

XV. «Τὸν πατέρα σου καὶ τὴν μητέρα σου θεραπεύσεις[5]» ὡς αἰτίους σοι γενέσεως, «ἵνα γένῃ μακροχρόνιος ἐπὶ τῆς γῆς ἧς κύριος ὁ θεός σου δίδωσί σοι.[6]» 2. τοὺς ἀδελφούς σου καὶ τοὺς συγγενεῖς σου μὴ ὑπερίδῃς· «τοὺς» γὰρ «οἰκείους τοῦ σπέρματός σου οὐχ ὑπερόψει.[7]»

XVI. Τὸν βασιλέα φοβηθήσῃ, εἰδώς, ὅτι τοῦ κυρίου ἐστὶν ἡ χειροτονία· τοὺς ἄρχοντας αὐτοῦ τιμήσεις ὡς «λειτουργοὺς θεοῦ, ἔκδικοι γάρ εἰσιν πάσης ἀδικίας·[8]» οἷς ἀποτίσατε τέλος, φόρον καὶ πᾶσαν εἰσφορὰν εὐγνωμόνως.

XVII. Οὐ προσελεύσῃ ἐπὶ προσευχήν σου ἐν ἡμέρᾳ πονηρίας σου, πρὶν ἂν λύσῃς τὴν πικρίαν σου. 2. αὕτη ἐστὶν ἡ ὁδὸς τῆς ζωῆς, ἧς γένοιτο ἐντὸς ὑμᾶς εὑρεθῆναι διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν.

XVIII. Ἡ δὲ ὁδὸς τοῦ θανάτου ἐστὶν ἐν πράξεσι πονηραῖς θεωρουμένη· ἐν αὐτῇ γὰρ ἄγνοια τοῦ θεοῦ καὶ πολλῶν θεῶν ἐπεισαγωγή, δι' ὧν «φόνοι, μοιχεῖαι, πορνεῖαι», ἐπιορκίαι, ἐπιθυμίαι παράνομοι, «κλοπαί», εἰδωλολατρεῖαι, μαγίαι, φαρμακεῖαι, ἁρπαγαί, «ψευδομαρτυρίαι», ὑποκρίσεις, διπλοκαρδίαι, «δόλος, ὑπερηφανία, κακία», αὐθάδεια, «πλεονεξία», αἰσχρολογία, ζηλοτυπία, θρασύτης, ὑψηλοφροσύνη, «ἀλαζονεία», ἀφοβία, διωγμὸς ἀγαθῶν, ἀληθείας ἔχθρα, ψεύδους ἀγάπη, ἄγνοια δικαιοσύνης. 2. οἱ γὰρ τούτων ποιηταὶ οὐ «κολλῶνται ἀγαθῷ» οὐδὲ κρίσει δικαίᾳ, ἀγρυπνοῦσιν οὐκ εἰς τὸ ἀγαθόν, ἀλλ' εἰς τὸ πονηρόν· ὧν μακρὰν πραότης καὶ ὑπομονή, «μάταια ἀγαπῶντες, διώκοντες ἀνταπόδομα[9]», οὐκ ἐλεοῦντες πτωχόν, οὐ πονοῦντες ἐπὶ καταπονουμένῳ, οὐ γινώσκοντες τὸν ποιήσαντα αὐτούς, «φονεῖς τέκνων[10]», φθορεῖς πλάσματος θεοῦ, ἀποστρεφόμενοι ἐνδεόμενον, καταπονοῦντες θλιβόμενον, πλουσίων παράκλητοι, πενήτων

---

1. Παρμ. 19, 18. 2. Κολ. 3, 23. 3. Ἀριθ. 4, 2· 12, 32. 4. Πρβλ. Ἰεζ. 18, 23. 33. 11. 5. Ἔξ. 20, 12. 6. Ἔξ. 20, 12. 7. Ἡσ. 58, 7. 8. Ῥωμ. 13, 14. 9. Ψαλμ. 4, 3. Ἡσ. 1, 23. 10. Σοφ. Σολ. 12, 5.

ὑπερόπται, πανθαμάρτητοι. ῥυσθείητε, τέκνα, ἀπὸ τούτων ἁπάντων.

XIX. «Ὅρα, μή τίς σε πλανήσῃ» ἀπὸ τῆς εὐσεβείας· «Οὐκ ἐκκλινεῖς γάρ, φησίν, «ἀπ' αὐτῆς δεξιὰ ἢ εὐώνυμα, ἵνα συνῇς ἐν πᾶσιν οἷς ἐὰν πράσσῃς·[1]» οὐ γὰρ ἂν ἐκτραπῇς ἔξω τῆς εὐθείας ὁδοῦ, δυσσεβήσεις.

XX. Περὶ δὲ βρωμάτων λέγει σοι ὁ κύριος· «Τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε[2]», καί· «Πᾶν κρέας ἔδεσθε ὡς λάχανα χλόης, τὸ δὲ αἷμα ἐκχεεῖς·[3] οὐ» γὰρ «τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα[4]», λέγω δὴ «βλασφημίαι», καταλαλιαὶ καὶ εἴ τι τοιοῦτον. 2. σὺ δὲ «φάγῃ τὸν μυελὸν τῆς γῆς[5]» μετὰ δικαιοσύνης, «ὅτι εἴ τι καλόν, αὐτοῦ, καὶ εἴ τι ἀγαθόν, αὐτοῦ· σῖτος νεανίσκοις καὶ οἶνος εὐωδιάζων παρθένοις· τίς» γὰρ «φάγεται ἢ τίς πίεται παρὲξ αὐτοῦ;[6]»

XXI. Ἀπὸ δὲ τῶν εἰδωλοθύτων φεύγετε· ἐπὶ τιμῇ γὰρ δαιμόνων θύουσι ταῦτα, ἐφ' ὕβρει δηλαδὴ τοῦ μόνου θεοῦ· ὅπως «μὴ γένησθε κοινωνοὶ δαιμόνων.[7]»

XXII. Περὶ δὲ βαπτίσματος, ὦ ἐπίσκοπε ἢ πρεσβύτερε, ἤδη μὲν καὶ πρότερον διεταξάμεθα, καὶ νῦν δέ φαμεν, ὅτι οὕτως βαπτίσεις, ὡς ὁ κύριος διετάξατο ἡμῖν λέγων· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν·[8]» τοῦ ἀποστείλαντος πατρός, τοῦ ἐλθόντος Χριστοῦ, τοῦ μαρτυρήσαντος παρακλήτου. 2. χρίσεις δὲ πρῶτον ἐλαίῳ ἁγίῳ, ἔπειτα βαπτίσεις ὕδατι, καὶ τελευταῖον σφραγίσεις μύρῳ, ἵνα τὸ μὲν χρῖσμα μετοχὴ ᾖ τοῦ ἁγίου πνεύματος, τὸ δὲ ὕδωρ σύμβολον τοῦ θανάτου, τὸ δὲ μύρον σφραγὶς τῶν συνθηκῶν. 3. εἰ δὲ μήτε ἔλαιον ᾖ μήτε μύρον, ἀρκεῖ τὸ ὕδωρ καὶ πρὸς χρῖσιν καὶ πρὸς σφραγῖδα καὶ πρὸς ὁμολογίαν τοῦ ἀποθανόντος ἤτοι συναποθνήσκοντος. 4. πρὸ δὲ τοῦ βαπτίσματος νηστευσάτω ὁ βαπτιζόμενος· καὶ γὰρ ὁ κύριος πρῶτον βαπτισθεὶς ὑπὸ Ἰωάννου καὶ «εἰς τὴν ἔρημον αὐλισθεὶς[9]» μετέπειτα, «ἐνήστευσεν τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας.[10]» 5. ἐβαπτίσθη δὲ καὶ ἐνήστευσεν οὐκ αὐτὸς ἀπορυπώσεως ἢ νηστείας χρείαν ἔχων ἢ καθάρσεως, ὁ τῇ φύσει καθαρὸς καὶ ἅγιος, ἀλλ' ἵνα καὶ Ἰωάννῃ ἀλήθειαν προσμαρτυρήσῃ καὶ ἡμῖν ὑπογραμμὸν παράσχηται. 6. οὐκοῦν ὁ μὲν κύριος οὐκ εἰς ἑαυτοῦ πάθος ἐβαπτίσατο ἢ θάνατον ἢ ἀνάστασιν, οὐδέπω γὰρ οὐδὲν τούτων ἐγεγόνει, ἀλλ' εἰς διάταξιν ἑτέραν· διὸ καὶ ἀπ' ἐξουσίας μετὰ τὸ βάπτισμα νηστεύει ὡς κύριος Ἰωάννου· ὁ δὲ «εἰς τὸν αὐτοῦ θάνατον μυούμενος» πρότερον ὀφείλει νηστεῦσαι καὶ τότε βαπτίσασθαι, οὐ γὰρ δίκαιον

---

1. Ἰησ. Ν. 1, 7. 2. Ἡσ. 1, 19. 3. Γεν. 9, 3. Δευτ. 15, 23. 4. Ματθ. 15, 11. 5. Γεν. 45, 18. 6. Ζαχ. 9, 17. Ἐκκλ. 2, 25. 7. Α' Κορ. 10, 20. 8. Ματθ. 28, 19, 20. 9. Ματθ. 4, 1-2. 10. Ματθ. 4, 2.

τὸν συνταφέντα καὶ συναναστάντα παρ' αὐτὴν τὴν ἀνάστασιν κατηφεῖν· οὐ γὰρ κύριος ὁ ἄνθρωπος τῆς διατάξεως τῆς τοῦ σωτῆρος, ἐπείπερ ὁ μὲν δεσπότης, ὁ δὲ ὑπήκοος.

XXIII. «Αἱ δὲ νηστεῖαι ὑμῶν μὴ ἔστωσαν μετὰ τῶν ὑποκριτῶν [1]», νηστεύουσι γὰρ δευτέρᾳ σαββάτων καὶ πέμπτῃ. 2. ὑμεῖς δὲ ἢ τὰς πέντε νηστεύσατε ἡμέρας, ἢ τετράδα καὶ παρασκευήν, ὅτι τῇ μὲν τετράδι ἡ κρίσις ἐξῆλθεν ἡ κατὰ τοῦ κυρίου, Ἰούδα χρήμασιν ἐπαγγειλαμένου τὴν προδοσίαν· τῇ δὲ παρασκευῇ, ὅτι ἔπαθεν ὁ κύριος ἐν αὐτῇ πάθος τὸ διὰ σταυροῦ ὑπὸ Ποντίου Πιλάτου. 3. τὸ σάββατον μέντοι καὶ τὴν κυριακὴν ἑορτάζετε, ὅτι τὸ μὲν δημιουργίας ἐστὶν ὑπόμνημα, τὸ δὲ ἀναστάσεως. 4. ἓν δὲ μόνον σάββατον ὑμῖν φυλακτέον ἐν ὅλῳ τῷ ἐνιαυτῷ, τὸ τῆς τοῦ κυρίου ταφῆς, ὅπερ νηστεύειν προσῆκεν, ἀλλ' οὐχ ἑορτάζειν· ἐν ὅσῳ γὰρ ὁ δημιουργὸς ὑπὸ γῆν τυγχάνει, ἰσχυρότερον τὸ περὶ αὐτοῦ πένθος τῆς κατὰ τὴν δημιουργίαν χαρᾶς, ὅτι ὁ δημιουργὸς τῶν ἑαυτοῦ δημιουργημάτων φύσει τε καὶ ἀξίᾳ τιμιώτερος.

XXIV. «Ὅταν δὲ προσεύχησθε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταί [2]», ἀλλ' ὡς ὁ κύριος ἡμῖν ἐν τῷ Εὐαγγελίῳ διετάξατο, «οὕτως προσεύχεσθε· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν [3].» 2. τρὶς τῆς ἡμέρας οὕτως προσεύχεσθε, προπαρασκευάζοντες ἑαυτοὺς ἀξίους τῆς υἱοθεσίας τοῦ πατρός, ἵνα μή, ἀναξίως ὑμῶν αὐτὸν πατέρα καλούντων, ὀνειδισθῆτε ὑπ' αὐτοῦ, ὡς καὶ ὁ Ἰσραὴλ ὅ ποτε πρωτότοκος υἱὸς ἤκουσεν, ὅτι «εἰ πατήρ εἰμι ἐγώ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ κύριός εἰμι, ποῦ ἐστιν ὁ φόβος μου; [4]» 3. δόξα γὰρ πατέρων ὁσιότης παίδων, καὶ τιμὴ δεσποτῶν οἰκετῶν φόβος, ὥσπερ οὖν τὸ ἐναντίον ἀδοξία καὶ ἀναρχία· «Δι' ὑμᾶς» γάρ, φησίν, «τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν.[5]»

XXV. Γίνεσθε δὲ πάντοτε εὐχάριστοι, ὡς πιστοὶ καὶ εὐγνώμονες δοῦλοι, περὶ μὲν τῆς εὐχαριστίας οὕτω λέγοντες· 2. Εὐχαριστοῦμέν σοι, πάτερ ἡμῶν, ὑπὲρ τῆς ζωῆς ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου, δι' οὗ καὶ τὰ πάντα ἐποίησας καὶ τῶν ὅλων προνοεῖς, ὃν καὶ ἀπέστειλας ἐπὶ σωτηρίᾳ τῇ ἡμετέρᾳ γενέσθαι ἄνθρωπον, ὃν καὶ συνεχώρησας παθεῖν καὶ ἀποθανεῖν, ὃν καὶ ἀναστήσας εὐδόκησας δοξάσαι καὶ ἐκάθισας ἐκ δεξιῶν σου, δι' οὗ καὶ ἐπηγγείλω ἡμῖν τὴν ἀνάστασιν τῶν νεκρῶν. 3. σὺ δέσποτα παντοκράτορ, θεὲ αἰώνιε,

1. Ματθ. 6, 16. 2. Ματθ. 6, 5. 3. Ματθ. 6, 9-13. 4. Μαλ. 1, 6.
5. Ἡσ. 52, 5.

ὥσπερ ἦν τοῦτο διεσκορπισμένον καὶ συναχθὲν ἐγένετο εἷς ἄρτος, οὕτως συνάγαγέ σου τὴν ἐκκλησίαν ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν σὴν βασιλείαν. 4. ἔτι εὐχαριστοῦμεν, πάτερ ἡμῶν, ὑπὲρ τοῦ τιμίου αἵματος Ἰησοῦ Χριστοῦ τοῦ ἐκχυθέντος ὑπὲρ ἡμῶν καὶ τοῦ τιμίου σώματος, οὗ καὶ ἀντίτυπα ταῦτα ἐπιτελοῦμεν, αὐτοῦ διαταξαμένου ἡμῖν «καταγγέλλειν τὸν αὐτοῦ θάνατον·[1]» δι' αὐτοῦ γάρ σοι καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν. 5. μηδεὶς δὲ ἐσθιέτω ἐξ αὐτῶν τῶν ἀμυήτων, ἀλλὰ μόνοι οἱ βεβαπτισμένοι εἰς τὸν τοῦ κυρίου θάνατον. 6. εἰ δέ τις ἀμύητος κρύψας ἑαυτὸν μεταλάβοι, κρίμα αἰώνιον φάγεται, ὅτι μὴ ὢν τῆς εἰς Χριστὸν πίστεως μετέλαβεν ὧν οὐ θέμις, εἰς τιμωρίαν ἑαυτοῦ. 7. εἰ δέ τις κατὰ ἄγνοιαν μεταλάβοι, τοῦτον τάχιον στοιχειώσαντες μυήσατε, ὅπως μὴ καταφρονητὴς ἐξέλθοι.

XXVI. Μετὰ δὲ τὴν μετάληψιν οὕτως εὐχαριστήσατε· 2. Εὐχαριστοῦμέν σοι, ὁ θεὸς καὶ πατὴρ Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν, ὑπὲρ τοῦ ἁγίου ὀνόματός σου οὗ κατεσκήνωσας ἐν ἡμῖν, καὶ ὑπὲρ τῆς γνώσεως καὶ πίστεως καὶ ἀγάπης καὶ ἀθανασίας ἧς ἔδωκας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου. 3. σὺ δέσποτα παντοκράτορ, ὁ θεὸς τῶν ὅλων, ἔκτισας τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ δι' αὐτοῦ, καὶ νόμον κατεφύτευσας ἐν ταῖς ψυχαῖς ἡμῶν καὶ τὰ πρὸς μετάληψιν προευτρέπισας ἀνθρώποις· «ὁ θεὸς τῶν» ἁγίων καὶ ἀμέμπτων «πατέρων ἡμῶν, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ[2]», τῶν πιστῶν δούλων σου, ὁ δυνατὸς θεός, ὁ πιστὸς καὶ ἀληθινὸς καὶ ἀψευδὴς ἐν ταῖς ἐπαγγελίαις· ὁ ἀποστείλας ἐπὶ γῆς Ἰησοῦν τὸν Χριστόν σου ἀνθρώποις συναναστραφῆναι ὡς ἄνθρωπον, θεὸν ὄντα λόγον καὶ ἄνθρωπον, καὶ τὴν πλάνην πρόρριζον ἀνελεῖν. 4. αὐτὸς καὶ νῦν δι' αὐτοῦ μνήσθητι τῆς ἁγίας σου ἐκκλησίας ταύτης, «ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι[3]» τοῦ Χριστοῦ σου, καὶ «ῥῦσαι αὐτὴν ἀπὸ» παντὸς «πονηροῦ[4]» καὶ τελείωσον αὐτὴν ἐν τῇ ἀγάπῃ σου καὶ τῇ ἀληθείᾳ σου, καὶ συνάγαγε πάντας ἡμᾶς εἰς τὴν σὴν βασιλείαν, ἣν ἡτοίμασας αὐτῇ. 5. «μαραναθά· ὡσαννὰ τῷ υἱῷ Δαυίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, θεὸς κύριος ὁ ἐπιφανεὶς ἡμῖν ἐν σαρκί.[5]» 6. εἴ τις ἅγιος, προσερχέσθω· εἰ δέ τις οὐκ ἔστιν, γινέσθω διὰ μετανοίας. ἐπιτρέπετε δὲ καὶ τοῖς πρεσβυτέροις ὑμῶν εὐχαριστεῖν.

XXVII. Περὶ δὲ τοῦ μύρου οὕτως εὐχαριστήσατε· 2. Εὐχαριστοῦμέν σοι, θεὲ δημιουργὲ τῶν ὅλων, καὶ ὑπὲρ τῆς εὐωδίας τοῦ μύρου καὶ ὑπὲρ τοῦ ἀθανάτου αἰῶνος οὗ ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου, ὅτι σοῦ ἐστιν ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας· ἀμήν·

XXVIII. Ὃς ἐὰν ἐλθὼν οὕτως εὐχαριστῇ, προσδέξασθε αὐτὸν ὡς Χριστοῦ μαθητήν. 2. ἐὰν δὲ ἄλλην διδαχὴν κηρύσσῃ παρ' ἣν

---

1. Α' Κορ. 11, 26. 2. Ἔξ. 3, 16. 3. Πράξ. 2, 28. 4. Ματθ. 6, 13.
5. Α' Κορ. 16, 22. Ματθ. 21, 9. Α' Τιμ. 3, 16.

ὑμῖν παρέδωκεν ὁ Χριστὸς δι' ἡμῶν, τῷ τοιούτῳ μὴ συγχωρεῖτε εὐχαριστεῖν· ὑβρίζει γὰρ ὁ τοιοῦτος τὸν θεὸν ἤπερ δοξάζει. 3. πᾶς δὲ ὁ ἐρχόμενος πρὸς ὑμᾶς, δοκιμασθείς, οὕτως δεχέσθω· σύνεσιν γὰρ ἔχετε, καὶ δύνασθε «γνῶναι δεξιὰν καὶ ἀριστεράν[1]» καὶ διακρῖναι ψευδοδιδασκάλους διδασκάλων. 4. ἐλθόντι μέντοι τῷ διδασκάλῳ ἐκ ψυχῆς ἐπιχορηγήσατε τὰ δέοντα· τῷ δὲ ψευδοδιδασκάλῳ δώσετε μὲν τὰ πρὸς χρείαν, οὐ παραδέξεσθε δὲ αὐτοῦ τὴν πλάνην, οὔτε μὴν συμπροσεύξησθε αὐτῷ, ἵνα μὴ συμμιανθῆτε αὐτῷ. 5. πᾶς προφήτης ἀληθινὸς ἢ διδάσκαλος ἐρχόμενος πρὸς ὑμᾶς «ἄξιός ἐστιν τῆς τροφῆς ὡς ἐργάτης[2]» λόγου δικαιοσύνης.

XXIX. Πᾶσαν ἀπαρχὴν γεννημάτων ληνοῦ, ἅλωνος βοῶν τε καὶ προβάτων δώσεις τοῖς ἱερεῦσιν, ἵνα «εὐλογηθῶσιν αἱ ἀποθῆκαι τῶν ταμιείων σου καὶ τὰ ἐκφόρια τῆς γῆς σου, καὶ στηριχθῇς σίτῳ καὶ οἴνῳ» καὶ ἐλαίῳ, καὶ «αὐξηθῇ τὰ βουκόλια τῶν βοῶν σου καὶ τὰ ποίμνια τῶν προβάτων σου.[3]» 2. πᾶσαν δεκάτην δώσεις τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ, τῷ πτωχῷ καὶ τῷ προσηλύτῳ. 3. πᾶσαν ἀπαρχὴν ἄρτων θερμῶν, κεραμίου οἴνου ἢ ἐλαίου ἢ μέλιτος ἢ ἀκροδρύων, σταφυλῆς ἢ τῶν ἄλλων τὴν ἀπαρχὴν δώσεις τοῖς ἱερεῦσιν, ἀργυρίου δὲ καὶ ἱματισμοῦ καὶ παντὸς κτήματος τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ.

XXX. Τὴν ἀναστάσιμον τοῦ κυρίου ἡμέραν, τὴν κυριακήν φαμεν, συνέρχεσθε ἀδιαλείπτως, εὐχαριστοῦντες τῷ θεῷ καὶ ἐξομολογούμενοι ἐφ' οἷς εὐηργέτησεν ἡμᾶς ὁ θεὸς διὰ Χριστοῦ ῥυσάμενος ἀγνοίας, πλάνης, δεσμῶν· 2. ὅπως ἄμεμπτος ᾖ ἡ θυσία ὑμῶν καὶ εὐανάφορος θεῷ, τῷ εἰπόντι περὶ τῆς οἰκουμενικῆς αὐτοῦ ἐκκλησίας, ὅτι «ἐν παντὶ τόπῳ μοι προσενεχθήσεται» θυμίαμα καὶ «θυσία καθαρά, ὅτι βασιλεὺς μέγας ἐγώ εἰμι, λέγει κύριος» παντοκράτωρ, «καὶ τὸ ὄνομά μου θαυμαστὸν ἐν τοῖς ἔθνεσιν.[4]»

XXXI. Προχειρίσασθε δὲ ἐπισκόπους ἀξίους τοῦ κυρίου καὶ πρεσβυτέρους καὶ διακόνους, ἄνδρας εὐλαβεῖς, δικαίους, πραεῖς, ἀφιλαργύρους, φιλαλήθεις, δεδοκιμασμένους, ὁσίους, ἀπροσωπολήπτους, δυναμένους διδάσκειν τὸν λόγον τῆς εὐσεβείας, ὀρθοτομοῦντας ἐν τοῖς τοῦ κυρίου δόγμασιν.[5] 2. ὑμεῖς δὲ τιμᾶτε τούτους ὡς πατέρας, ὡς κυρίους, ὡς εὐεργέτας, ὡς τοῦ εὖ εἶναι αἰτίους. 3. ἐλέγχετε δὲ ἀλλήλους, μὴ ἐν ὀργῇ, ἀλλ' ἐν μακροθυμίᾳ μετὰ χρηστότητος καὶ εἰρήνης. 4. πάντα τὰ προστεταγμένα ὑμῖν ὑπὸ τοῦ κυρίου φυλάξατε. 5. «γρηγορεῖτε[6]» ὑπὲρ τῆς ζωῆς ὑμῶν. «ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι, καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἥξει, ἑσπέρας ἢ πρωῒ ἢ ἀλεκτοροφωνίας ἢ μεσονυκτίου· ᾗ γὰρ ὥρᾳ οὐ προσδοκῶσιν, ἐλεύσεται ὁ κύριος, καὶ ἐὰν αὐτῷ ἀνοίξωσιν, μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, ὅτι

1. Ἰω. 4, 11. 2. Ματθ. 10, 10. 3. Δευτ. 28, 4-5· 7, 13. 4. Μαλ. 1, 11, 14. 5. Πρβλ. Β' Τιμ. 2, 15. 6. Ματθ. 24, 42.

εὑρέθησαν γρηγοροῦντες· ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτοὺς καὶ παρελθὼν διακονήσει αὐτοῖς.[1] 6. νήφετε[2]» οὖν «καὶ προσεύχεσθε μὴ ὑπνῶσαι εἰς θάνατον·[3]» οὐ γὰρ ὀνήσει ὑμᾶς τὰ πρότερα κατορθώματα, ἐὰν εἰς τὰ ἔσχατα ὑμῶν ἀποπλανηθῆτε τῆς πίστεως τῆς ἀληθοῦς.

XXXII. Ἐν γὰρ ταῖς ἐσχάταις ἡμέραις πληθυνθήσονται οἱ ψευδοπροφῆται καὶ οἱ φθορεῖς τοῦ λόγου, καὶ στραφήσονται τὰ πρόβατα εἰς λύκους καὶ ἡ ἀγάπη εἰς μῖσος· πληθυνθείσης γὰρ τῆς ἀνομίας, «ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν[4]», μισήσουσιν γὰρ ἀλλήλους οἱ ἄνθρωποι καὶ διώξουσιν καὶ προδώσουσιν. 2. καὶ τότε φανήσεται ὁ κοσμοπλάνος, ὁ τῆς ἀληθείας ἐχθρός, ὁ τοῦ ψεύδους προστάτης, ὃν ὁ κύριος Ἰησοῦς «ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ ὁ διὰ χειλέων ἀναιρῶν ἀσεβῆ· καὶ πολλοὶ σκανδαλισθήσονται[5]» ἐπ' αὐτῷ, «οἱ δὲ ὑπομείναντες εἰς τέλος, οὗτοι σωθήσονται. 3. καὶ τότε φανήσεται τὸ σημεῖον[6]» τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, εἶτα «φωνὴ σάλπιγγος[7]» ἔσται δι' ἀρχαγγέλου καὶ μεταξὺ ἀναβίωσις τῶν κεκοιμημένων. 4. καὶ «τότε ἥξει ὁ κύριος καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ[8]» ἐν συσσεισμῷ «ἐπάνω τῶν νεφελῶν[9]» μετ' ἀγγέλων δυνάμεως αὐτοῦ ἐπὶ θρόνου βασιλείας, κατακρῖναι τὸν κοσμοπλάνον διάβολον καὶ «ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.[10]» 5. τότε «ἀπελεύσονται οἱ μὲν πονηροὶ εἰς αἰώνιον κόλασιν, οἱ δὲ δίκαιοι πορεύσονται εἰς ζωὴν αἰώνιον[11]», κληρονομοῦντες ἐκεῖνα, «ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν[12]», καὶ χαρήσονται ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ τῇ ἐν Χριστῷ Ἰησοῦ.

XXXIII. Τοσούτων δὲ ἠξιωμένοι τῶν παρ' αὐτοῦ ἀγαθῶν, γενώμεθα αὐτοῦ ἱκέται, ἐπικαλούμενοι αὐτὸν διὰ συνεχοῦς δεήσεως καὶ λέγοντες· 2. Αἰώνιε σῶτερ ἡμῶν, «ὁ βασιλεὺς τῶν θεῶν[13]», ὁ ὢν μόνος παντοκράτωρ καὶ κύριος, ὁ θεὸς πάντων τῶν ὄντων καὶ «θεὸς τῶν» ἁγίων καὶ ἀμέμπτων «πατέρων ἡμῶν[14]» τῶν πρὸ ἡμῶν, «ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ὁ ἐλεήμων καὶ οἰκτίρμων, ὁ μακρόθυμος καὶ πολυέλεος[15]», ᾧ πᾶσα γυμνοφανὴς βλέπεται καρδία καὶ πᾶν κρύφιον ἐνθύμημα ἀποκαλύπτεται· πρὸς σὲ βοῶσιν ψυχαὶ δικαίων, ἐπὶ σοὶ πεποίθασιν ἐλπίδες ὁσίων, ὁ τῶν ἀμέμπτων πατήρ, ὁ τῶν μετ' εὐθύτητος ἐπικαλουμένων σε ἐπήκοος, ὁ καὶ σιωπωμένας ἐπιστάμενος ἐντεύξεις (χωρεῖ γὰρ μέχρι σπλάγχνων ἀνθρωπίνων ἡ σὴ πρόνοια, καὶ διὰ συνειδήσεως ἐρευνᾷς ἑκάστου τὴν γνώμην), καὶ κατὰ πᾶν κλίμα τῆς οἰκουμένης τὸ διὰ προσευχῆς καὶ λόγων ἀναπέμπεται σοι θυμίαμα. 3. ὁ τὸν παρόντα αἰῶνα στάδιον δικαιοσύνης ἐνστησάμενος,

1. Λουκ. 12, 35-36. Μάρκ. 13, 35. Λουκ. 12, 36-37. 2. Πρβλ. Α' Τιμ. 5, 6. 3. Πρβλ. Ματθ. 26, 41. 4. Ματθ. 24, 12. 5. Ἠσ. 11, 4. 6. Ματθ. 24, 13, 30, 31. 7. Α' Θεσσ. 4, 16. 8. Ζαχ. 14, 5. 9. Ματθ. 24, 30. 10. Ῥωμ. 2,6. 11. Ματθ. 25, 46. 12. Α' Κορ. 2, 9. 13. Ἐσθ. 4, 17. 14. Ἔξ. 3, 16. 15. Ἰωὴλ 2, 13.

πᾶσι δὲ ἀνοίξας πύλην ἐλεημοσύνης, ὑποδείξας δὲ ἑκάστῳ τῶν ἀνθρώπων διὰ τῆς ἐμφύτου γνώσεως καὶ φυσικῆς κρίσεως καὶ ἐκ τῆς τοῦ νόμου ὑποφωνήσεως, ὡς πλούτου μὲν οὐκ ἀΐδιον τὸ κτῆμα, εὐπρεπείας οὐκ ἀέναον τὸ κάλλος, δυνάμεως εὐδιάλυτος ἡ ἰσχὺς καὶ ἀτμὸς μὲν καὶ «ματαιότης τὰ σύνολα[1]», μόνη δὲ συνείδησις πίστεως ἀνύπουλος διαμένει διὰ μέσων οὐρανῶν μετὰ ἀληθείας ἀνερχομένη, τῆς μελλούσης τρυφῆς δεξιὰν ἀπολαμβάνει, ἅμα καὶ πρὸ τοῦ παραστῆναι τὴν ὑπόσχεσιν τῆς παλιγγενεσίας αὐτὴ ἡ ψυχὴ τῇ ἐλπίδι γαυρουμένη εὐφραίνεται. 4. ἐξ ὑπαρχῆς γὰρ τοῦ προπάτορος ἡμῶν Ἀβραὰμ μεταποιουμένου τὴν ὁδὸν τῆς ἀληθείας, ὁραματισμῷ ὡδήγησας, διδάξας, ὅ,τι ποτέ ἐστιν ὁ αἰὼν οὗτος· καὶ τῆς μὲν γνώσεως αὐτοῦ προώδευσεν ἡ πίστις, τῆς δὲ πίστεως ἀκόλουθος ἦν ἡ συνθήκη· εἶπας γάρ· «Ποιήσω τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.[2]» 5. ἀλλὰ μὴν καὶ τὸν Ἰσαὰκ αὐτῷ δωρησάμενος καὶ ὅμοιον αὐτὸν εἰδὼς ἐκείνου τῷ τρόπῳ, καὶ αὐτοῦ ἐπεκλήθης θεὸς εἰπών· «Ἔσομαί σου θεὸς καὶ τοῦ σπέρματός σου μετὰ σέ·[3]» καὶ τοῦ πατρὸς ἡμῶν Ἰακὼβ ἐπὶ Μεσοποταμίαν στελλομένου, δείξας τὸν Χριστόν, δι' αὐτοῦ ἐλάλησας εἰπών· «Ἰδοὺ ἐγώ εἰμι μετὰ σοῦ καὶ αὐξανῶ σε καὶ πληθυνῶ σε σφόδρα.[4]» 6. καὶ οὕτως εἶπας πρὸς Μωϋσῆν τὸν πιστὸν καὶ ἅγιόν σου θεράποντα ἐπὶ τῆς ὀπτασίας τῆς βάτου· «Ἐγώ εἰμι ὁ ὤν, τοῦτό μοι ὄνομα αἰώνιον καὶ μνημόσυνον γενεαῖς γενεῶν.[5]» 7. ὑπέρμαχε γένους Ἀβραάμ, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.

XXXIV. Εὐλογητὸς εἶ, κύριε «βασιλεῦ τῶν αἰώνων[6]», ὁ διὰ Χριστοῦ ποιήσας τὰ ὅλα καὶ δι' αὐτοῦ ἐν ἀρχῇ κοσμήσας τὰ ἀκατασκεύαστα, ὁ διαχωρίσας ὕδατα ὑδάτων στερεώματι καὶ πνεῦμα ζωτικὸν τούτοις ἐμβαλών, ὁ γῆν ἑδράσας καὶ οὐρανὸν ἐκτείνας καὶ τὴν ἑκάστου τῶν κτισμάτων ἀκριβῆ διάταξιν κοσμήσας. 2. σῇ γὰρ ἐνθυμήσει, δέσποτα, κόσμος πεφαίδρυται, «οὐρανὸς δὲ ὡς καμάρα[7]» πεπηγμένος ἠγλάϊσται ἄστροις ἕνεκεν παραμυθίας τοῦ σκότους, φῶς δὲ καὶ ἥλιος εἰς ἡμέρας καὶ καρπῶν γονὴν γεγένηνται, σελήνη δὲ εἰς καιρῶν τροπὴν αὔξουσα καὶ μειουμένη, καὶ νὺξ ὠνομάζετο καὶ ἡμέρα προσηγορεύετο, στερέωμα δὲ διὰ μέσων τῶν ἀβύσσων ἐδείκνυτο «καὶ εἶπας συναχθῆναι τὰ ὕδατα καὶ ὀφθῆναι τὴν ξηράν.[8]» 3. αὐτὴν δὲ τὴν θάλασσαν πῶς ἄν τις ἐκφράσειεν; ἥτις ἔρχεται μὲν ἀπὸ πελάγους μαινομένη, παλινδρομεῖ δὲ ἀπὸ ψάμμου τῇ σῇ προσταγῇ κωλυομένη· εἶπες γὰρ «ἐν αὐτῇ συντριβήσεσθαι αὐτῆς τὰ κύματα[9], ζώοις» δὲ «μικροῖς καὶ μεγάλοις καὶ πλοίοις πορευτὴν[10]» αὐτὴν ἐποίησας. 4. εἶτ' ἐχλοαίνετο γῆ, παντοίοις ἄνθεσι καταγραφομένη

---

1. Ἐκκλ. 1, 2. 2. Γεν. 13, 16· 22, 17. 3. Γεν. 26, 3· 17, 7. 4. Γεν. 28, 15· 48, 4. 5. Γεν. 3, 14-15. 6. Α' Τιμ. 1, 17. 7. Ἠσ. 40, 22. 8. Γεν. 1, 9. 9. Ἰὼβ 38, 11. 10. Ψαλμ. 103, 25-26.

καὶ ποικιλίᾳ δένδρων διαφόρων· παμφαεῖς τε φωστῆρες τούτων τιθηνοί, ἀπαράβατον σῴζοντες τὸν δόλιχον καὶ κατ' οὐδὲν παραλλάσσοντες τῆς σῆς προσταγῆς, ἀλλ' ὅπη ἂν κελεύσῃς, ταύτῃ ἀνίσχουσι καὶ δύουσιν εἰς σημεῖα καιρῶν καὶ ἐνιαυτῶν, ἀμειβόμενοι τὴν τῶν ἀνθρώπων ὑπηρεσίαν. 5. ἔπειτα διαφόρων ζῴων κατεσκευάζετο γένη, χερσαίων, ἐνύδρων, ἀεροπόρων, ἀμφιβίων, καὶ τῆς σῆς προνοίας ἡ ἔντεχνος σοφία τὴν κατάλληλον ἑκάστῳ πρόνοιαν δωρεῖται· ὥσπερ γὰρ διάφορα γένη οὐκ ἠτόνησεν παραγαγεῖν, οὕτως οὐδὲ διάφορον πρόνοιαν ἑκάστου ποιήσασθαι κατωλιγώρησεν. 6. καὶ τέλος τῆς δημιουργίας τὸ λογικὸν ζῷον, τὸν κοσμοπολίτην, τῇ σῇ σοφίᾳ διαταξάμενος κατεσκεύασας εἰπών· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν[1]», κόσμου κόσμον αὐτὸν ἀναδείξας, ἐκ μὲν τῶν τεσσάρων σωμάτων διαπλάσας αὐτῷ τὸ σῶμα, κατασκευάσας δ' αὐτῷ τὴν ψυχὴν ἐκ τοῦ μὴ ὄντος, αἴσθησιν δὲ πένταθλον αὐτῷ χαρισάμενος καὶ νοῦν τὸν τῆς ψυχῆς ἡνίοχον ταῖς αἰσθήσεσιν ἐπιστήσας. 7. καὶ ἐπὶ πᾶσι τούτοις, δέσποτα κύριε, τίς ἐπαξίως διηγήσεται νεφῶν ὀμβροτόκων φοράν, ἀστραπῆς ἔκλαμψιν, βροντῶν πάταγον, εἰς τροφῆς χορηγίαν καταλλήλου καὶ κρᾶσιν ἀέρων παναρμόνιον; 8. παρακούσαντα δὲ τὸν ἄνθρωπον ἐμμίσθου ζωῆς ἐστέρησας, οὐκ εἰς τὸ παντελὲς ἀφανίσας, ἀλλὰ χρόνῳ πρὸς ὀλίγον κοιμίσας, ὅρκῳ εἰς παλιγγενεσίαν ἐκάλεσας, ὅρον θανάτου ἔλυσας, ὁ ζωοποιὸς τῶν νεκρῶν διὰ «Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν.[2]»

XXXV. «Μέγας εἶ, κύριε» παντοκράτορ, «καὶ μεγάλη ἡ ἰσχύς σου καὶ τῆς συνέσεώς σου οὐκ ἔστιν ἀριθμός·[3]» κτίστα, σωτήρ, πλούσιε ἐν χάρισιν, μακρόθυμε καὶ ἐλέους χορηγέ, ὁ μὴ ἀφιστῶν τῶν σῶν κτισμάτων τὴν σωτηρίαν· φύσει γὰρ ἀγαθὸς ὑπάρχεις, φείδῃ δὲ ἁμαρτανόντων, εἰς μετάνοιαν προσκαλούμενος· οἰκτίρμων γὰρ σοῦ ἡ νουθέτησις. πῶς γὰρ ἂν ὑπέστημεν ἐπειγομένην ἀπαιτούμενοι κρίσιν, ὁπότε μακροθυμούμενοι μόλις ἀνανεύομεν τῆς ἀσθενείας; 2. σοῦ τὸ κράτος ἀνήγγειλαν οἱ οὐρανοὶ καὶ γῆ κραδαινομένη τὴν ἀσφάλειαν ἐπ' οὐδενὸς κρεμαμένη. θάλασσα κυμαινομένη καὶ μυρίαν βόσκουσα ζῴων ἀγέλην πεπέδηται ἄμμῳ, τὴν σὴν βούλησιν πεφρικυῖα, καὶ πάντας ἀναγκάζει βοᾶν· «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.[4]» 3. καὶ στρατὸς ἀγγέλων φλεγόμενος καὶ πνεύματα νοερὰ λέγουσιν· «Εἷς ἅγιος τῷ Φελμουνί[5]», καὶ Σεραφὶμ ἅγια ἅμα τοῖς Χερουβὶμ τοῖς ἑξαπτερύγοις σοι τὴν ἐπινίκιον ᾠδὴν ψάλλοντα ἀσιγήτοις φωναῖς βοῶσιν· «Ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου[6]», καὶ τὰ ἕτερα τῶν ταγμάτων πλήθη, ἀρχάγγελοι, «θρόνοι, κυριότητες, ἀρχαί, ἐξουσίαι[7]», δυνάμεις, ἐπι-

---

1. Γεν. 1, 26. 2. Α' Τιμ. 1, 1. 3. Ψαλμ. 146, 5. 4. Ψαλμ. 103, 24. 5. Δαν. 8, 13. 6. Ἡσ. 6, 3. 7. Κολ. 1, 16.

βοῶντα λέγουσιν· «Εὐλογημένη ἡ δόξα κυρίου ἐκ τοῦ τόπου αὐτοῦ.[1]» 4. Ἰσραὴλ δέ, ἡ ἐπίγειός σου ἐκκλησία ἡ ἐξ ἐθνῶν, ταῖς κατ' οὐρανὸν δυνάμεσιν ἁμιλλωμένη νυκτὶ καὶ ἡμέρᾳ «ἐν καρδίᾳ πλήρει καὶ ψυχῇ θελούσῃ[2]» ψάλλει· «Τὸ ἅρμα τοῦ θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων, κύριος ἐν αὐτοῖς ἐν Σιναί, ἐν τῷ ἁγίῳ.[3]» 5. οἶδεν οὐρανὸς τὸν ἐπὶ μηδενὸς αὐτὸν καμαρώσαντα «ὡς λιθόκυβον[4]», καὶ γῆν καὶ ὕδωρ ἑαυτοῖς ἑνώσαντα, καὶ ἀέρα διαχέαντα ζωοτρόφον, καὶ τούτῳ πῦρ συμπλέξαντα εἰς θάλπος καὶ σκότους παραμυθίαν· ἐκπλήσσει χορὸς ἀστέρων τὸν ἀριθμήσαντα σημαίνων καὶ τὸν ὀνομάσαντα δεικνύων, ζῷα τὸν ψυχώσαντα, δένδρα τὸν ἐκφύσαντα· ἅπερ ἅπαντα τῷ σῷ λόγῳ γενόμενα παριστᾷ τῆς σῆς δυνάμεως τὸ κράτος. 6. διὸ καὶ ὀφείλει πᾶς ἄνθρωπος ἐξ αὐτῶν τῶν στέρνων σοὶ διὰ Χριστοῦ τὸν ὑπὲρ πάντων ὕμνον ἀναπέμπειν, διὰ σὲ τῶν ἁπάντων κρατῶν. 7. σὺ γὰρ εἶ ὁ χρηστὸς ἐν εὐεργεσίαις καὶ φιλόδωρος ἐν οἰκτιρμοῖς, ὁ μόνος παντοκράτωρ· ὅτε γὰρ θέλεις, πάρεστί σοι τὸ δύνασθαι· τὸ γὰρ σὸν αἰώνιον κράτος καὶ φλόγα καταψύχει καὶ λέοντας φιμοῖ καὶ κήτη καταπραΰνει καὶ νοσοῦντας ἐγείρει καὶ δυνάμεις μετατρέπει καὶ στρατὸν ἐχθρῶν καὶ λαὸν ἀριθμούμενον ἐν τῷ ὑπερηφανεύεσθαι καταστρώννυσιν. 8. σὺ εἶ ὁ ἐν οὐρανῷ, ὁ ἐπὶ γῆς, ὁ ἐν θαλάσσῃ, ὁ ἐν περατουμένοις ὑπὸ μηδενὸς περατούμενος, «τῆς» γὰρ «μεγαλοσύνης σου οὐκ ἔστιν πέρας.[5]» μὴ γὰρ ἡμέτερόν ἐστιν τοῦτο, δέσποτα, τοῦ θεράποντός σου λόγιόν ἐστιν φάσκοντος· «Καὶ γνώσῃ τῇ καρδίᾳ σου, ὅτι κύριος ὁ θεός σου, θεὸς ἐν οὐρανῷ ἄνω καὶ ἐπὶ γῆς κάτω, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ.[6]» 9. οὐδὲ γὰρ ἔστι θεὸς πλὴν σοῦ μόνου, ἅγιος οὐκ ἔστι πλὴν σοῦ, «κύριος θεὸς γνώσεων[7]», θεὸς ἁγίων, ἅγιος ὑπὲρ πάντας ἁγίους, «οἱ» γὰρ «ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σού εἰσιν· ἔνδοξος καὶ ὑπερυψούμενος[8]», ἀόρατος τῇ φύσει, ἀνεξιχνίαστος κρίμασιν· οὗ ἀνενδεὴς ἡ ζωή, ἄτρεπτος καὶ ἀνελλιπὴς ἡ διαμονή, ἀκάματος ἡ ἐνέργεια, ἀπερίγραφος ἡ μεγαλειότης, ἀέναος ἡ εὐπρέπεια, ἀπρόσιτος ἡ κατοικία, ἀμετανάστευτος ἡ κατασκήνωσις, ἄναρχος ἡ γνῶσις, ἀναλλοίωτος ἡ ἀλήθεια, ἀμεσίτευτον τὸ ἔργον, ἀνεπιβούλευτον τὸ κράτος, ἀδιάδοχος ἡ μοναρχία, ἀτελεύτητος ἡ βασιλεία, ἀνανταγώνιστος ἡ ἰσχύς, πολυάριθμος ἡ στρατιά. 10. σὺ γὰρ εἶ ὁ σοφίας πατήρ, ὁ δημιουργίας τῆς διὰ μεσίτου κτίστης ὡς αἴτιος, ὁ προνοίας χορηγός, ὁ νόμων δοτήρ, ὁ ἐνδείας πληρωτής, ὁ τῶν ἀσεβῶν τιμωρὸς καὶ τῶν δικαίων μισθαποδότης, ὁ τοῦ Χριστοῦ θεὸς καὶ πατὴρ καὶ τῶν εἰς αὐτὸν εὐσεβούντων κύριος, οὗ ἀδιάψευστος ἡ ἐπαγγελία, ἀδωροδόκητος ἡ κρίσις, ἀμετάπιστος ἡ γνώμη, ἄπαυστος ἡ εὐσέβεια, ἀΐδιος ἡ εὐχαριστία, δι' οὗ σοι καὶ ἡ ἐπάξιος προσκύνησις ὀφείλεται παρὰ πάσης λογικῆς καὶ ἁγίας φύσεως.

---

1. Ἰεζ. 3, 12. 2. Β΄ Μακκ. 1, 3. 3. Ψαλμ. 67, 18. 4. Ἡσ. 40, 22. Ἰὼβ 38, 38. 5. Ψαλμ. 144, 3. 6. Δευτ. 4, 39. 7. Α΄ Βασ. 2, 3. 8. Δευτ. 33, 3.

XXXVI. Κύριε παντοκράτορ, κόσμον ἔκτισας διὰ Χριστοῦ καὶ σάββατον ὥρισας εἰς μνήμην τούτου, ὅτι ἐν αὐτῷ κατέπαυσας ἀπὸ τῶν ἔργων εἰς μελέτην τῶν σῶν νόμων, καὶ ἑορτὰς διετάξω εἰς εὐφροσύνην τῶν ἡμετέρων ψυχῶν, ὅπως εἰς μνήμην ἐρχώμεθα τῆς ὑπὸ σοῦ κτισθείσης σοφίας· 2. ὡς δι' ἡμᾶς γένεσιν ὑπέστη τὴν διὰ γυναικός, ἐπεφάνη τῷ βίῳ ἀναδεικνὺς ἑαυτὸν ἐν τῷ βαπτίσματι, ὡς θεός ἐστι καὶ ἄνθρωπος ὁ φανείς, ἔπαθεν δι' ἡμᾶς σῇ συγχωρήσει καὶ ἀπέθανεν καὶ ἀνέστη σῷ κράτει· διὸ καὶ τὴν ἀναστάσιμον ἑορτὴν πανηγυρίζοντες τῇ κυριακῇ χαίρομεν ἐπὶ τῷ νικήσαντι μὲν τὸν θάνατον, «φωτίσαντι δὲ ζωὴν καὶ ἀφθαρσίαν·[1]» δι' αὐτοῦ γὰρ προσηγάγου τὰ ἔθνη ἑαυτῷ εἰς «λαὸν περιούσιον[2]», τὸν ἀληθινὸν Ἰσραήλ, τὸν θεοφιλῆ, τὸν ὁρῶντα θεόν. 3. σὺ γάρ, κύριε, καὶ τοὺς πατέρας ἡμῶν «ἐξήγαγες ἐκ γῆς Αἰγύπτου[3]» καὶ ἐρρύσω «ἐκ καμίνου σιδηρᾶς[4]» καὶ ἐκ πηλοῦ καὶ πλινθουργίας, ἐλυτρώσω ἐκ χειρὸς Φαραὼ καὶ τῶν ὑπ' αὐτὸν καὶ διὰ θαλάσσης ὡς διὰ ξηρᾶς αὐτοὺς παρήγαγες καὶ «ἐτροποφόρησας αὐτοὺς ἐν τῇ ἐρήμῳ[5]» παντοίοις ἀγαθοῖς. 4. νόμον αὐτοῖς ἐδωρήσω δέκα λογίων σῇ φωνῇ φθεγχθέντα καὶ χειρὶ σῇ καταγραφέντα· σαββατίζειν ἐνετείλω, οὐ πρόφασιν ἀργίας διδούς, ἀλλ' ἀφορμὴν εὐσεβείας, εἰς γνῶσιν τῆς σῆς δυνάμεως, εἰς κώλυσιν κακῶν ὡς ἐν ἱερῷ καθείρξας περιβόλῳ διδασκαλίας χάριν εἰς ἀγαλλίαμα ἑβδομάδος· διὰ τοῦτο ἑβδομὰς μία καὶ ἑβδομάδες ἑπτὰ καὶ μὴν ἕβδομος καὶ ἐνιαυτὸς ἕβδομος καὶ τούτου κατὰ ἀνακύκλησιν ἔτος πεντηκοστὸν εἰς ἄφεσιν.[6] 5. ὅπως μηδεμίαν ἔχωσιν πρόφασιν ἄνθρωποι ἄγνοιαν σκήψασθαι, τούτου χάριν πᾶν σάββατον ἐπέτρεψας ἀργεῖν, ὅπως μηδὲ λόγον τις ἐν ὀργῇ ἐκ τοῦ στόματος αὐτοῦ προέσθαι θελήσῃ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων· σάββατον γάρ ἐστιν κατάπαυσις δημιουργίας, τελείωσις κόσμου, νόμων ζήτησις, αἶνος εἰς θεὸν εὐχάριστος ὑπὲρ ὧν ἀνθρώποις ἐδωρήσατο. 6. ὧν ἁπάντων ἡ κυριακὴ προὔχουσα, αὐτὸν τὸν μεσίτην, τὸν προνοητήν, τὸν νομοθέτην, τὸν ἀναστάσεως αἴτιον, τὸν «πρωτότοκον πάσης κτίσεως, τὸν θεὸν λόγον[7]» καὶ ἄνθρωπον τὸν ἐκ Μαρίας γεννηθέντα μόνον δίχα ἀνδρός, τὸν πολιτευσάμενον ὁσίως, τὸν σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου καὶ ἀποθανόντα καὶ ἀναστάντα ἐκ νεκρῶν ὑποδεικνύουσα, ὡς κυριακὴ παρακελεύεται σοί, δέσποτα, τὴν ὑπὲρ πάντων εὐχαριστίαν προσφέρειν. 7. αὕτη γὰρ ἡ ὑπὸ σοῦ παρασχεθεῖσα χάρις, ἥτις διὰ μέγεθος πᾶσαν εὐεργεσίαν ἐκάλυψεν.

XXXVII. Ὁ τὰς ἐπαγγελίας τὰς διὰ τῶν προφητῶν πληρώσας καὶ ἐλεήσας τὴν Σιὼν καὶ οἰκτειρήσας τὴν Ἱερουσαλὴμ τῷ τὸν θρόνον Δαυὶδ τοῦ παιδός σου ἀνυψῶσαι ἐν μέσῳ αὐτῆς τῇ γενέσει τοῦ Χριστοῦ «τοῦ ἐκ σπέρματος αὐτοῦ τὸ κατὰ σάρκα[8]» γεννηθέντος ἐκ μόνης

---

1. Β' Τιμ. 1, 10. 2. Δευτ. 7, 6. 3. Δευτ. 4, 20. 4. Ἐξ. 14, 29. 5. Πράξ. 13, 18. 6. Πρβλ. Λευΐτ. 25, 1 ἑξ. 7. Κολ. 1, 15. Ἰω. 1, 1. 8. Ῥωμ. 1, 3.

παρθένου· αὐτὸς καὶ νῦν, δέσποτα ὁ θεός, πρόσδεξαι τὰς διὰ χειλέων δεήσεις τοῦ λαοῦ σου τοῦ ἐξ ἐθνῶν, «τῶν ἐπικαλουμένων σε ἐν ἀληθείᾳ [1]», καθὼς προσεδέξω τὰ δῶρα τῶν δικαίων ἐν ταῖς γενεαῖς αὐτῶν. 2. Ἄβελ ἐν πρώτοις τὴν θυσίαν ἐπεῖδες καὶ προσεδέξω [2], Νῶε ἐξελθόντος τῆς κιβωτοῦ [3], Ἀβραὰμ μετὰ τὸ ἐξελθεῖν ἐκ γῆς Χαλδαίων [4], Ἰσαὰκ ἐν τῷ φρέατι τοῦ ὅρκου [5], Ἰακὼβ ἐν Βηθλεέμ [6], Μωσέως ἐν τῇ ἐρήμῳ [7], Ἀαρὼν ἀνὰ μέσον τῶν ζώντων καὶ τῶν τεθνεώτων [8], Ἰησοῦ τοῦ Ναυῆ ἐν Γαλγάλοις [9], Γεδεὼν ἐπὶ τῆς πέτρας καὶ τῶν πόκων πρὸ τῆς ἁμαρτίας [10], Μανωὲ καὶ τῆς αὐτοῦ γυναικὸς ἐν τῷ πεδίῳ [11], Σαμψὼν ἐν τῷ δίψει πρὸ τῆς πλημμελείας [12], Ἰεφθάε ἐν τῷ πολέμῳ πρὸ τῆς ἀκρίτου ἐπαγγελίας [13], Βαρὰκ καὶ Δεββώρας ἐπὶ τοῦ Σισάρα [14], Σαμουὴλ ἐν Μασσηφά· [15] 3. Δαυὶδ ἐν ἅλῳ Ὀρνὰ τοῦ Ἰεβουσαίου [16], Σολομῶνος ἐν Γαβαὼν καὶ ἐν Ἱερουσαλήμ [17], Ἠλία ἐν τῷ ὄρει τῷ Καρμηλίῳ [18], Ἐλισσαίου ἐπὶ τῆς ἀτεκνούσης πηγῆς [19], Ἰωσαφὰτ ἐν τῷ πολέμῳ [20], Ἐζεκία ἐν ἀρρωστίᾳ [21] καὶ ἐπὶ τοῦ Σενναχηρείμ [22], Μανασσῆ ἐν γῇ Χαλδαίων μετὰ τὴν πλημμέλειαν [23], Ἰωσία ἐν τῷ Φασσᾶ [24], Ἔσδρα ἐν τῇ ἐπανόδῳ· [25] 4. Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων [26], Ἰωνᾶ ἐν τῇ κοιλίᾳ τοῦ κήτους, τῶν τριῶν παίδων ἐν καμίνῳ πυρός [27], Ἄννας ἐν τῇ σκηνῇ ἐνώπιον τῆς κιβωτοῦ [28], Νεεμία ἐπὶ τῇ ἀνεγέρσει τῶν τειχῶν καὶ τοῦ Ζοροβάβελ, Ματταθία καὶ τῶν υἱῶν αὐτοῦ ἐν τῷ ζήλῳ σου [29], Ἰαὴλ ἐν εὐλογίαις.[30] 5. καὶ νῦν οὖν πρόσδεξαι τὰς τοῦ λαοῦ σου προσευχὰς μετ' ἐπιγνώσεώς σοι διὰ Χριστοῦ προσφερομένας ἐν τῷ πνεύματι.

XXXVIII. Εὐχαριστοῦμέν σοι περὶ πάντων, δέσποτα παντοκράτορ, ὅτι οὐκ ἐγκατέλιπες τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου ἀφ' ἡμῶν, ἀλλὰ καθ' ἑκάστην γενεὰν καὶ γενεὰν σώζεις, ῥύῃ, ἀντιλαμβάνῃ, σκεπάζεις. 2. ἀντελάβου γὰρ ἐν ἡμέραις Ἐνὼς καὶ Ἐνώχ, ἐν ἡμέραις Μωσῆ καὶ Ἰησοῦ, ἐν ἡμέραις τῶν κριτῶν, ἐν ἡμέραις Σαμουὴλ καὶ Ἠλία καὶ τῶν προφητῶν, ἐν ἡμέραις Δαυὶδ καὶ τῶν βασιλέων, ἐν ἡμέραις Ἐσθὴρ καὶ Μαρδοχαίου, ἐν ἡμέραις Ἰουδίθ, ἐν ἡμέραις Ἰούδα Μακκαβαίου καὶ τῶν ἀδελφῶν αὐτοῦ. 3. καὶ ἐν ταῖς ἡμέραις ἡμῶν ἀντελάβου ἡμῶν διὰ τοῦ μεγάλου σου ἀρχιερέως Ἰησοῦ Χριστοῦ τοῦ παιδός σου· καὶ ἀπὸ μαχαίρας γὰρ ἐρρύσατο καὶ ἐκ λιμοῦ ἐξείλατο διαθρέψας, ἐκ νόσου ἰάσατο, ἐκ γλώσσης πονηρᾶς

---

1. Ψαλμ. 144, 18. 2. Γεν. 4, 1 ἑξ. 3. Γεν. 8, 1 ἑξ. 4. Γεν. 12, 1 ἑξ. 5. Γεν. 22, 1 ἑξ. 6. Γεν. 35, 1 ἑξ. 7. Ἔξ. 12, 1 ἑξ. 8. Ἀριθ. 16, 1 ἑξ. 9. Ἰησ. Ν. 5, 1 ἑξ. 10. Κριτ. 6, 1 ἑξ. 8, 1 ἑξ. 11. Κριτ. 13, 1 ἑξ. 12. Κριτ. 15, 1 ἑξ. 13. Κριτ. 11, 1 ἑξ. 14. Κριτ. 4, 1 ἑξ. 15. Α' Βασ. 2, ἑξ. 16. Α' Παρλ. 21, 1 ἑξ. 17. Γ' Βασ. 3, 1 ἑξ. 8, 1 ἑξ. 18. Γ' Βασ. 18, 1 ἑξ. 19. Δ' Βασ. 2, 1 ἑξ. 20. Β' Παρλ. 18, 1 ἑξ. 21. Δ' Βασ. 20, 1 ἑξ. 22. Δ' Βασ. 19, 1. 23. Β' Παρλ. 3, 1 ἑξ. 24. Β' Παρλ. 35, 1 ἑξ. 25. Α' Ἔσδρ. 8, 1. 26. Δαν. 6, 11. 27. Δαν. 3, 1 ἑξ. 28. Α' Βασ. 1, 1 ἑξ. 29. Α' Μακκ. 2, 1 ἑξ. 30. Κριτ. 5, 24.

ἐσκέπασεν. 4. περὶ πάντων σοι διὰ Χριστοῦ εὐχαριστοῦμεν, ὁ καὶ φωνὴν ἔναρθρον εἰς ἐξομολόγησιν δωρησάμενος καὶ γλῶσσαν εὐάρμοστον δίκην πλήκτρου ὡς ὄργανον ὑποθείς, καὶ γεῦσιν πρόσφορον καὶ ἀφὴν κατάλληλον καὶ ὅρασιν θέας καὶ ἀκοὴν φωνῆς καὶ ὄσφρησιν ἀτμῶν καὶ χεῖρας εἰς ἔργον καὶ πόδας πρὸς ὁδοιπορίαν. 5. καὶ ταῦτα πάντα ἐκ μικρᾶς σταγόνος διαπλάσας ἐν μήτρᾳ καὶ ψυχὴν ἀθάνατον μετὰ τὴν μόρφωσιν χαρίζῃ καὶ προάγεις εἰς φῶς τὸ λογικὸν ζῷον, τὸν ἄνθρωπον· νόμοις ἐπαίδευσας, δικαιώμασιν ἐφαίδρυνας· πρὸς ὀλίγον ἐπάγων διάλυσιν, τὴν ἀνάστασιν ἐπηγγείλω. 6. ποῖος τοιγαροῦν αὐτάρκης βίος, αἰώνων δὲ μῆκος πόσον διαρκέσει ἀνθρώποις πρὸς εὐχαριστίαν; ἢ τὸ μὲν πρὸς ἀξίαν ἀδύνατον, τὸ δὲ κατὰ δύναμιν εὐαγές. 7. ἐρρύσω γὰρ ἀσεβείας πολυθέων, καὶ χριστοκτόνων αἱρέσεως ἐξείλω, πεπλανημένης ἀγνοίας ἠλευθέρωσας· τὸν Χριστὸν ἀπέστειλας εἰς ἀνθρώπους ὡς ἄνθρωπον, θεὸν ὄντα μονογενῆ, τὸν παράκλητον ἐνῴκισας ἡμῖν, ἀγγέλους ἐπέστησας, τὸν διάβολον ᾔσχυνας· οὐκ ὄντας ἐποίησας, γενομένους φυλάσσεις, ζωὴν ἐπιμετρεῖς, χορηγεῖς τροφήν, μετάνοιαν ἐπηγγείλω. 8. ὑπὲρ ἁπάντων σοι ἡ δόξα καὶ τὸ σέβας διὰ Ἰησοῦ Χριστοῦ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας· ἀμήν. 9. ταῦτα μελετᾶτε, ἀδελφοί· καὶ εἴη ὁ κύριος μεθ' ὑμῶν ἐπὶ γῆς καὶ ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτοῦ, τοῦ καὶ αὐτὸν ἀποστείλαντος καὶ ἡμᾶς δι' αὐτοῦ «ἐλευθερώσαντος ἐκ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης[1]», καὶ ζωὴν ἐπαγγειλαμένου τοῖς δι' αὐτοῦ πιστεύσασιν εἰς τὸν τῶν ὅλων θεόν.

XXXIX. Ὅπως μὲν οὖν ὀφείλουσι ζῆν οἱ κατὰ Χριστὸν μεμυημένοι καὶ οἵας εὐχαριστίας ἀναπέμπειν τῷ θεῷ διὰ Χριστοῦ, εἴρηται διὰ τῶν προλαβόντων· δίκαιον δὲ μηδὲ τοὺς ἀμυήτους καταλιπεῖν ἀβοηθήτους. 2. Ὁ μέλλων τοίνυν κατηχεῖσθαι τὸν λόγον τῆς εὐσεβείας παιδευέσθω πρὸ τοῦ βαπτίσματος τὴν περὶ θεοῦ τοῦ ἀγεννήτου γνῶσιν, τὴν περὶ υἱοῦ μονογενοῦς ἐπίγνωσιν, τὴν περὶ τοῦ ἁγίου πνεύματος πληροφορίαν· μανθανέτω δημιουργίας διαφόρου τάξιν, προνοίας εἱρμόν, νομοθεσίας διαφόρου δικαιωτήρια· παιδευέσθω, διὰ τί κόσμος γέγονεν καὶ δι' ὃ κοσμοπολίτης ὁ ἄνθρωπος κατέστη· ἐπιγινωσκέτω τὴν ἑαυτοῦ φύσιν, οἵα τις ὑπάρχει· 3. παιδευέσθω, ὅπως ὁ θεὸς τοὺς πονηροὺς ἐκόλασεν ὕδατι καὶ πυρί, τοὺς δὲ ἁγίους ἐδόξασεν καθ' ἑκάστην γενεάν, λέγω δὴ τὸν Σήθ, τὸν Ἐνώς, τὸν Ἐνώχ, τὸν Νῶε, τὸν Ἀβραὰμ καὶ τοὺς ἐκγόνους αὐτοῦ, τὸν Μελχισεδὲκ καὶ τὸν Ἰὼβ καὶ τὸν Μωσέα, Ἰησοῦν τε καὶ Χαλὲβ καὶ Φινεὲς τὸν ἱερέα καὶ τοὺς καθ' ἑκάστην γενεὰν ὁσίους, ὅπως τε προνοούμενος οὐκ ἀπεστράφη ὁ θεὸς τὸ τῶν ἀνθρώπων γένος, ἀλλ' ἀπὸ πλάνης καὶ ματαιότητος «εἰς ἐπίγνωσιν ἀληθείας[2]» ἐκάλει κατὰ διαφόρους καιρούς, ἀπὸ τῆς δουλείας καὶ ἀσεβείας εἰς ἐλευθερίαν καὶ εὐσέβειαν ἐπανάγων,

1. Ῥωμ. 8, 21. 2. Α' Τιμ. 2, 4.

ἀπὸ ἀδικίας εἰς δικαιοσύνην, ἀπὸ θανάτου αἰωνίου εἰς ζωὴν ἀΐδιον. 4. ταῦτα καὶ τὰ τούτοις ἀκόλουθα μανθανέτω ἐν τῇ κατηχήσει ὁ προσιών. προσκυνείτω δὲ ὁ χειροθετῶν αὐτὸν τὸν θεὸν τὸν τῶν ὅλων δεσπότην, εὐχαριστῶν ὑπὲρ τοῦ πλάσματος, ὅτι κατέπεμψεν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ Χριστόν, ἵνα σώσῃ τὸν ἄνθρωπον ἐξαλείψας τὰς ἀνομίας, καὶ ἵνα ἀφῇ τὰς ἀσεβείας καὶ τὰς ἁμαρτίας, καὶ «καθαρίσῃ ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος[1]», ἁγιάσῃ δὲ τὸν ἄνθρωπον κατ' εὐδοκίαν τῆς χρηστότητος αὐτοῦ, συνετίσῃ δὲ τὸ θέλημα αὐτοῦ, καὶ «φωτίσῃ τοὺς ὀφθαλμοὺς τῆς καρδίας αὐτοῦ[2]» εἰς κατανόησιν τῶν θαυμασίων αὐτοῦ, γνωρίσῃ αὐτῷ τὰ κρίματα τῆς δικαιοσύνης, ὅπως ἂν «μισήσῃ πᾶσαν ὁδὸν ἀδικίας[3]», πορεύηται δὲ «τὴν ὁδὸν τῆς ἀληθείας» εἰς τὸ καταξιωθῆναι αὐτὸν «τοῦ λουτροῦ τῆς παλιγγενεσίας εἰς υἱοθεσίαν τὴν ἐν Χριστῷ·[4]» ἵνα «σύμφυτος γενόμενος ἐν τῇ ὁμοιότητι τοῦ θανάτου τοῦ Χριστοῦ[5]» ἐπ' ἐλπίδι τῆς ἐνδόξου κοινωνίας νεκρωθῇ μὲν τῇ ἁμαρτίᾳ, «ζήσῃ δὲ τῷ θεῷ[6]» κατά τε νοῦν καὶ λόγον καὶ πρᾶξιν, καὶ ἐν τῇ βίβλῳ τῶν ζώντων συναριθμηθῇ. 5. καὶ μετὰ τὴν εὐχαριστίαν ταύτην παιδευσάτω αὐτὸν τὰ περὶ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως, τά τε περὶ τοῦ πάθους αὐτοῦ καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως καὶ ἀναλήψεως.

XL. Καὶ ὅταν ᾖ πρὸς αὐτὸ λοιπὸν τὸ βαπτισθῆναι ὁ κατηχηθείς, μανθανέτω τὰ περὶ τῆς ἀποταγῆς τοῦ διαβόλου καὶ τὰ περὶ τῆς συνταγῆς τοῦ Χριστοῦ· δεῖ γὰρ αὐτὸν πρῶτον μὲν ἀποσχέσθαι τῶν ἐναντίων καὶ τότε ἐντὸς γενέσθαι τῶν μυστηρίων, προκαθάραντα ἑαυτοῦ τὴν καρδίαν πάσης κακονοίας σπίλου τε καὶ ῥυτίδος καὶ τότε τῶν ἁγίων μεταλαχεῖν. 2. ὡς γὰρ γεωργὸς ἄριστος ἐκκαθαίρει τὴν ἄρουραν πρότερον τῶν ὑπερφυουσῶν ἐν αὐτῇ ἀκανθῶν καὶ τότε σπείρει τὸν πυρόν, οὕτως δεῖ καὶ ὑμᾶς, πρότερον πᾶσαν ἀσέβειαν ἐξελόντας ἀπ' αὐτῶν, τότε τὴν εὐσέβειαν αὐτοῖς ἐγκαταβάλλεσθαι καὶ τοῦ βαπτίσματος ἀξιῶσαι. 3. καὶ γὰρ καὶ ὁ κύριος ἡμῶν οὕτως ἡμῖν παρῄνεσεν εἰπών· «Μαθητεύσατε» πρότερον· «πάντα τὰ ἔθνη», καὶ τότε ἐπήγαγεν τὸ «καὶ βαπτίσατε αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.[7]»

XLI. Ἀπαγγελλέτω οὖν ὁ βαπτιζόμενος ἐν τῷ ἀποτάσσεσθαι· 2. Ἀποτάσσομαι τῷ σατανᾷ καὶ τοῖς ἔργοις αὐτοῦ καὶ ταῖς πομπαῖς αὐτοῦ καὶ ταῖς λατρείαις αὐτοῦ καὶ τοῖς ἀγγέλοις αὐτοῦ καὶ ταῖς ἐφευρέσεσιν αὐτοῦ καὶ πᾶσι τοῖς ὑπ' αὐτόν. 3. μετὰ δὲ τὴν ἀποταγὴν συντασσόμενος λεγέτω, ὅτι καὶ συντάσσομαι τῷ Χριστῷ· 4. καὶ πιστεύω καὶ βαπτίζομαι εἰς ἕνα ἀγέννητον μόνον ἀληθινὸν θεὸν παντοκράτορα, τὸν πατέρα τοῦ Χριστοῦ, κτίστην καὶ δημιουργὸν τῶν ἁπάντων, «ἐξ οὗ τὰ πάντα·[8]» 5. καὶ εἰς τὸν κύριον Ἰησοῦν τὸν

1. Β' Κορ. 7, 1. 2. Πρβλ. Ἐφ. 1, 18. 3. Ψαλμ. 118, 128. 4. Τιτ. 3, 5. 5. Ῥωμ. 6, 5. 6. Γαλ. 2, 19. 7. Ματθ. 28, 19. 8. Α' Κορ. 8, 6.

Χριστόν, τὸν μονογενῆ αὐτοῦ υἱόν, τὸν «πρωτότοκον πάσης κτίσεως [1]», τὸν πρὸ αἰώνων εὐδοκίᾳ τοῦ πατρὸς γεννηθέντα, οὐ κτισθέντα, «δι' οὗ τὰ πάντα [2]» ἐγένετο τὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὁρατά τε καὶ ἀόρατα· 6. τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατελθόντα ἐξ οὐρανῶν καὶ σάρκα ἀναλαβόντα, ἐκ τῆς ἁγίας παρθένου Μαρίας γεννηθέντα, καὶ πολιτευσάμενον ὁσίως κατὰ τοὺς νόμους τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ, καὶ σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου καὶ ἀποθανόντα ὑπὲρ ἡμῶν, καὶ ἀναστάντα ἐκ νεκρῶν μετὰ τὸ παθεῖν τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεσθέντα ἐν δεξιᾷ τοῦ πατρός, καὶ πάλιν ἐρχόμενον ἐπὶ συντελείᾳ τοῦ αἰῶνος μετὰ δόξης «κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· [3]» 7. βαπτίζομαι καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τοῦτ' ἔστιν τὸν παράκλητον, τὸ ἐνεργῆσαν ἐν πᾶσιν τοῖς ἀπ' αἰῶνος ἁγίοις, ὕστερον δὲ ἀποσταλὲν καὶ τοῖς ἀποστόλοις παρὰ τοῦ πατρὸς κατὰ τὴν ἐπαγγελίαν τοῦ σωτῆρος ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ, καὶ μετὰ τοὺς ἀποστόλους δὲ πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ ἁγίᾳ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ· 9. εἰς σαρκὸς ἀνάστασιν καὶ εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς βασιλείαν οὐρανῶν καὶ εἰς ζωὴν τοῦ μέλλοντος αἰῶνος.

XLII. Καὶ μετὰ τὴν ἐπαγγελίαν ταύτην κατ' ἀκολουθίαν ἔρχεται καὶ εἰς τὴν τοῦ ἐλαίου χρῖσιν. 2. εὐλογεῖται δὲ τοῦτο παρὰ τοῦ ἱερέως εἰς ἄφεσιν ἁμαρτιῶν καὶ προκατασκευὴν τοῦ βαπτίσματος. 3. ἐπικαλεῖται γὰρ οὗτος τὸν ἀγέννητον θεόν, τὸν πατέρα τοῦ Χριστοῦ, τὸν βασιλέα πάσης αἰσθητῆς καὶ νοητῆς φύσεως, ἵνα ἁγιάσῃ τὸ ἔλαιον «τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ [4]» καὶ δώσῃ χάριν πνευματικὴν καὶ δύναμιν ἐνεργητικήν, ἄφεσίν τε ἁμαρτιῶν καὶ προπαρασκευὴν ὁμολογίας βαπτίσματος, ὥστε τὸν χριόμενον ἀπολυθέντα πάσης ἀσεβείας ἄξιον γενέσθαι τῆς μυήσεως κατ' ἐντολὴν τοῦ μονογενοῦς.

XLIII. Εἶτα ἔρχεται εἰς τὸ ὕδωρ. 2. εὐλογεῖ καὶ δοξάζει τὸν δεσπότην θεὸν τὸν παντοκράτορα, τὸν πατέρα τοῦ μονογενοῦς θεοῦ, εὐχαριστῶν ὁ ἱερεύς, ὅτι ἀπέστειλεν ἐνανθρωπῆσαι τὸν υἱὸν αὐτοῦ δι' ἡμᾶς, ἵνα ἡμᾶς σώσῃ, ὅτι ἠνέσχετο τῆς ἐνανθρωπήσεως ὑπήκοον αὐτὸν γενέσθαι ἐν πᾶσι, «κηρῦξαι βασιλείαν οὐρανῶν, ἄφεσιν ἁμαρτιῶν, νεκρῶν ἀνάστασιν.[5]» 3. ἐπὶ τούτοις προσκυνεῖ αὐτὸν τὸν μονογενῆ θεὸν μετ' αὐτὸν καὶ δι' αὐτόν, εὐχαριστῶν αὐτῷ τῷ ἀναδέξασθαι αὐτὸν τὸν ὑπὲρ πάντων θάνατον διὰ τοῦ σταυροῦ, οὗ τύπον ἔδωκεν τὸ βάπτισμα τῆς παλιγγενεσίας. 4. δοξάζει τε, ὅτι ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ θεὸς ὁ τῶν ὅλων κύριος ἐν ἁγίῳ πνεύματι οὐκ ἀπέρριψεν τὸ τῶν ἀνθρώπων γένος, ἀλλὰ διαφόροις καιροῖς διαφόρους προνοίας ἐποιήσατο, τῷ τε Ἀδὰμ αὐτῷ ἐν παραδείσῳ πρῶτον μὲν τρυφῆς λόγῳ τὸν παράδεισον οἰκητήριον δούς, ἔπειτα προνοίας λόγῳ ἐντολὴν

1. Κολ. 1, 15. 2. Α' Κορ. 8, 6. 3. Β' Τιμ. 4, 1. Λουκ. 1, 33. 4. Πράξ. 8, 16. 5. Πρβλ. Λουκ. 9, 2. 1, 77. Ματθ. 22, 31.

ποιησάμενος, ἁμαρτόντα δὲ δικαιοσύνῃ ἐξώσας, ἀγαθότητι δὲ μὴ ἀπορρίψας εἰς τὸ παντελές, ἀλλὰ καὶ τοὺς ἐξ αὐτοῦ κατὰ διαδοχὴν διαφόρως παιδεύσας· δι' ὃν ἐπὶ τὸ τέρμα τοῦ αἰῶνος ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ ἄνθρωπον γενέσθαι δι' ἀνθρώπους καὶ πάντα τὰ ἀνθρώπινα πάθη ἀναδέξασθαι χωρὶς ἁμαρτίας. 5. αὐτὸν οὖν καὶ νῦν παρακαλείτω ὁ ἱερεὺς πρὸς τῷ βαπτίσματι καὶ λεγέτω, ὅτι Κάτιδε ἐξ οὐρανοῦ καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο, δὸς δὲ χάριν καὶ δύναμιν, ὥστε τὸν βαπτιζόμενον κατ' ἐντολὴν τοῦ Χριστοῦ σου αὐτῷ συσταυρωθῆναι καὶ συναποθανεῖν καὶ συνταφῆναι καὶ συναναστῆναι εἰς υἱοθεσίαν τὴν ἐν αὐτῷ, τῷ νεκρωθῆναι μὲν τῇ ἁμαρτίᾳ, ζῆσαι δὲ τῇ δικαιοσύνῃ.

XLIV. Καὶ μετὰ τοῦτο «βαπτίσας αὐτὸν ἐν τῷ ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος [1]», χρισάτω μύρῳ ἐπιλέγων· 2. Κύριε ὁ θεὸς ὁ ἀγέννητος καὶ ἀδέσποτος, ὁ τῶν ὅλων κύριος, ὁ τὴν ὀσμὴν τῆς γνώσεως τοῦ εὐαγγελίου ἐν πᾶσι τοῖς ἔθνεσιν εὔοσμον παρασχόμενος· σὺ καὶ νῦν τοῦτο τὸ μύριον δὸς ἐνεργὲς γενέσθω ἐπὶ τῷ βαπτιζομένῳ, ὥστε βεβαίαν καὶ πάγιον ἐν αὐτῷ τὴν εὐωδίαν μεῖναι τοῦ Χριστοῦ σου, καὶ συναποθανόντα αὐτὸν συναναστῆναι καὶ συζῆσαι αὐτῷ. 3. ταῦτα καὶ τὰ τούτοις ἀκόλουθα λεγέτω· ἑκάστου γὰρ ἡ δύναμις τῆς χειροθεσίας ἐστὶν αὕτη. ἐὰν γὰρ μὴ εἰς ἕκαστον τούτων ἐπίκλησις γένηται παρὰ τοῦ εὐσεβοῦς ἱερέως τοιαύτη τις, εἰς ὕδωρ μόνον καταβαίνει ὁ βαπτιζόμενος ὡς οἱ Ἰουδαῖοι, καὶ ἀποτίθεται μόνον τὸν ῥύπον τοῦ σώματος, οὐ τὸν ῥύπον τῆς ψυχῆς.

XLV. Μετὰ τοῦτο ἑστὼς προσευχέσθω τὴν εὐχήν, ἣν ἐδίδαξεν ἡμᾶς ὁ κύριος. ἀναγκαίως δὲ τὸν ἀναστάντα δεῖ ἑστάναι καὶ προσεύχεσθαι διὰ τὸ τὸν ἐγειρόμενον ὄρθιον εἶναι· καὶ αὐτὸς οὖν συναποθανὼν τῷ Χριστῷ καὶ συνεγερθεὶς ἕστηκεν. 2. προσευχέσθω δὲ κατὰ ἀνατολάς· καὶ γὰρ καὶ τοῦτο γέγραπται ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων, ὅτι μετὰ τὸ συντελεσθῆναι τὸν ναὸν τοῦ κυρίου ὑπὸ τοῦ βασιλέως Σολομῶνος ἐν αὐτῷ τῷ ἐγκαινισμῷ «οἱ ἱερεῖς καὶ οἱ λευῖται καὶ οἱ ψαλτῳδοὶ μετὰ κυμβάλων καὶ ψαλτηρίων εἱστήκεισαν κατὰ ἀνατολάς, αἰνοῦντες καὶ ἐξομολογούμενοι καὶ λέγοντες· Αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.[2]» 3. προσευχέσθω δὲ ταῦτα μετὰ τὴν προτέραν εὐχὴν λέγων· Ὁ θεὸς ὁ παντοκράτωρ, ὁ πατὴρ τοῦ Χριστοῦ σου τοῦ μονογενοῦς υἱοῦ σου, δός μοι σῶμα ἄσπιλον, «καρδίαν καθαράν [3]», νοῦν ἐγρήγορον, γνῶσιν ἀπλανῆ, πνεύματος ἁγίου ἐπιφοίτησιν πρὸς κτῆσιν καὶ πληροφορίαν τῆς ἀληθείας διὰ τοῦ Χριστοῦ σου, δι' οὗ σοι δόξα ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. 4. ταῦτα καὶ περὶ τῶν κατηχουμένων δίκαιον ἡγησάμεθα διατάξασθαι.

XLVI. Περὶ δὲ τῶν ὑφ' ἡμῶν χειροτονηθέντων ἐπισκόπων ἐν τῇ ζωῇ τῇ ἡμετέρᾳ γνωρίζομεν ὑμῖν, ὅτι εἰσὶν οὗτοι. 2. Ἱεροσολύμων μὲν Ἰάκωβος ὁ τοῦ κυρίου ἀδελφός, οὗ τελευτήσαντος δεύτερος

---

1. Ματθ. 28, 19. 2. Β' Παρλ. 5, 12-13. 3. Ψαλμ. 50, 2.

Συμεὼν ὁ τοῦ Κλωπᾶ, μεθ' ὃν τρίτος Ἰούδας Ἰακώβου· 3. Καισαρείας δὲ τῆς Παλαιστίνης πρότερον μὲν Ζακχαῖος ὅ ποτε τελώνης, μεθ' ὃν Κορνήλιος καὶ τρίτος Θεόφιλος· 4. Ἀντιοχείας δὲ Εὐόδιος μὲν ὑπ' ἐμοῦ Πέτρου, Ἰγνάτιος δὲ ὑπὸ Παύλου· 5. τῆς δὲ Ἀλεξανδρέων Ἀννιανὸς πρῶτος ὑπὸ Μάρκου τοῦ εὐαγγελιστοῦ κεχειροτόνηται, δεύτερος δὲ Ἀβίλιος ὑπὸ Λουκᾶ καὶ αὐτοῦ εὐαγγελιστοῦ· 6. τῆς δὲ Ῥωμαίων ἐκκλησίας Λῖνος μὲν ὁ Κλαυδίας πρῶτος ὑπὸ Παύλου, Κλήμης δὲ μετὰ τὸν Λίνου θάνατον ὑπ' ἐμοῦ Πέτρου δεύτερος κεχειροτόνηται· 7. τῆς δὲ Ἐφέσου Τιμόθεος μὲν ὑπὸ Παύλου, Ἰωάννης δὲ ὑπ' ἐμοῦ Ἰωάννου· 8. Σμύρνης δὲ Ἀρίστων πρῶτος, μεθ' ὃν Στραταίας ὁ Λωΐδος καὶ τρίτος Ἀρίστων· 9. Περγάμου δὲ Γάϊος καὶ Φιλαδελφείας Δημήτριος ὑπ' ἐμοῦ· 10. ὑπὸ δὲ Παύλου Λούκιος Κεγχρεῶν καὶ τῆς Κρήτης Τίτος· 11. Διονύσιος δὲ ἐν Ἀθήναις, τῆς δὲ ἐν Φοινίκῃ Τριπόλεως Μαρθόνης· 12. τῆς δὲ ἐν Φρυγίᾳ Λαοδικείας Ἄρχιππος, Κολασσαέων δὲ Φιλήμων· 13. Βεροίας δὲ τῆς κατὰ Μακεδονίαν Ὀνήσιμος ὁ Φιλήμονος, Κρήσκης δὲ τῶν κατὰ Γαλατίαν ἐκκλησιῶν· 14. Ἀκύλας δὲ καὶ Νικήτης τῶν κατὰ Ἀσίαν παροικιῶν, Κρίσπος δὲ τῆς κατὰ Αἴγιναν ἐκκλησίας. 15. οὗτοι οἱ ὑφ' ἡμῶν ἐμπιστευθέντες τὰς ἐν κυρίῳ παροικίας, ὧν τῆς διδασκαλίας μνημονεύοντες πάντοτε παραφυλάσσεσθε τοὺς ἡμετέρους λόγους· καὶ εἴη ὁ κύριος μεθ' ὑμῶν νῦν τε καὶ εἰς ἀτελευτήτους χρόνους, ὡς αὐτὸς εἴρηκεν ἡμῖν μέλλων ἀναλαμβάνεσθαι πρὸς τὸν ἑαυτοῦ θεὸν καὶ πατέρα· «Ἰδοὺ» γάρ, φησίν, «ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος·[1]» ἀμήν.

XLVII. «Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.[2]» 2. αἰνοῦμέν σε, ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, δοξολογοῦμέν σε, προσκυνοῦμέν σε διὰ τοῦ μεγάλου ἀρχιερέως, σὲ τὸν ὄντα θεὸν ἀγέννητον ἕνα, ἀπρόσιτον μόνον, διὰ τὴν μεγάλην σου δόξαν, κύριε βασιλεῦ ἐπουράνιε, θεὲ πάτερ παντοκράτορ. 3. κύριε ὁ θεὸς ὁ πατὴρ τοῦ Χριστοῦ τοῦ ἀμώμου «ἀμνοῦ, ὃς αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου[3]», πρόσδεξαι τὴν δέησιν ἡμῶν, «ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ·[4]» ὅτι σὺ μόνος ἅγιος, σὺ μόνος κύριος Ἰησοῦς, Χριστὸς τοῦ θεοῦ πάσης γενητῆς φύσεως, τοῦ βασιλέως ἡμῶν, δι' οὗ σοι δόξα, τιμὴ καὶ σέβας.

XLVIII. «Αἰνεῖτε, παῖδες, κύριον, αἰνεῖτε τὸ ὄνομα κυρίου.[5]» 2. αἰνοῦμέν σε, ὑμνοῦμέν σε, εὐλογοῦμέν σε διὰ τὴν μεγάλην σου δόξαν, κύριε βασιλεῦ ὁ πατὴρ τοῦ Χριστοῦ τοῦ ἀμώμου «ἀμνοῦ, ὃς αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου·[6]» 3. σοὶ πρέπει αἶνος, «σοὶ πρέπει ὕμνος[7]», σοὶ δόξα πρέπει τῷ θεῷ καὶ πατρὶ διὰ τοῦ υἱοῦ ἐν πνεύματι ἁγίῳ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. 4. «νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου

---

1. Ματθ. 28, 20. 2. Λουκ. 2, 14. 3. Πρβλ. Ἰω. 1, 29. 4. Ψαλμ. 79, 2. 5. Ψαλμ. 112, 1. 6. Ἰω. 1, 29. 7. Ψαλμ. 64, 2.

τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.[1]»

XLIV. «Εὐλογητὸς εἶ, κύριε[2] ὁ τρέφων με ἐκ νεότητός μου[3], ὁ διδοὺς τροφὴν πάσῃ σαρκί·[4] πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν[5], ἵνα πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύωμεν εἰς πᾶν ἔργον ἀγαθὸν[6]» ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, δι' οὗ σοι δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας· ἀμήν.

---

1. Λουκ. 2, 29-32. 2. Ψαλμ. 118, 12. 3. Πρβλ. Ἰὼβ 31, 18. 4. Ψαλμ. 135, 25. 5. Πράξ. 14, 17. 6. Β' Κορ. 9, 8.

ΒΙΒΛΙΟΝ Η'

ΠΕΡΙ ΧΑΡΙΣΜΑΤΩΝ ΚΑΙ ΧΕΙΡΟΤΟΝΙΩΝ ΚΑΙ ΚΑΝΟΝΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ

Ι. Τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ μέγα τῆς εὐσεβείας ἡμῖν παραδιδόντος μυστήριον [1] καὶ προσκαλουμένου Ἰουδαίους τε καὶ Ἕλληνας εἰς ἐπίγνωσιν τοῦ ἑνὸς καὶ μόνου ἀληθινοῦ θεοῦ, καθὼς αὐτός που φησὶν εὐχαριστῶν ἐπὶ τῇ σωτηρίᾳ τῶν πιστευσάντων· «Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις, τὸ ἔργον, ὃ ἔδωκάς μοι, ἐτελείωσα [2]», καὶ περὶ ἡμῶν λέγοντος τῷ πατρί· «Πάτερ ἅγιε, εἰ καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἀλλ' ἐγώ σε ἔγνων καὶ οὗτοί σε ἔγνωσαν [3]», εἰκότως, ὡς ἂν τετελειωμένων ἡμῶν, φησὶ πᾶσιν ἅμα περὶ τῶν ἐξ αὐτοῦ διὰ τοῦ πνεύματος διδομένων χαρισμάτων· «Σημεῖα δὲ τοῖς πιστεύσασιν ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσιν, γλώσσαις λαλήσουσιν καιναῖς, ὄφεις ἀροῦσιν· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει· ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσιν, καὶ καλῶς ἕξουσιν· [4]» 2. τούτων τῶν χαρισμάτων πρότερον μὲν ἡμῖν δοθέντων τοῖς ἀποστόλοις μέλλουσιν «τὸ εὐαγγέλιον καταγγέλλειν πάσῃ τῇ κτίσει [5]», ἔπειτα τοῖς δι' ἡμῶν πιστεύσασιν ἀναγκαίως χορηγουμένων, οὐκ εἰς τὴν τῶν ἐνεργούντων ὠφέλειαν, ἀλλ' εἰς τὴν τῶν ἀπίστων συγκατάθεσιν, ἵνα οὓς οὐκ ἔπεισεν ὁ λόγος, τούτους ἡ τῶν σημείων δυσωπήσῃ δύναμις. 3. τὰ γὰρ «σημεῖα οὐ τοῖς πιστοῖς» ἡμῖν, «ἀλλὰ τοῖς ἀπίστοις [6]» Ἰουδαίων τε καὶ Ἑλλήνων· οὔτε γὰρ τὸ δαίμονας ἐκβάλλειν ἡμέτερον κέρδος, ἀλλὰ τῶν ἐνεργείᾳ Χριστοῦ καθαιρομένων, καθὼς αὐτός που παιδεύων ἡμᾶς ὁ κύριος δείκνυσι λέγων· «Μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑπακούουσιν, ἀλλὰ χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τῷ οὐρανῷ [7]», ἐπειδὴ τὸ μὲν αὐτοῦ δυνάμει γίνεται, τὸ δὲ ἡμετέρᾳ εὐνοίᾳ καὶ σπουδῇ, δῆλον ὅτι βοηθουμένοις ὑπ' αὐτοῦ. 4. οὐκ ἐπάναγκες οὖν πάντα πιστὸν δαίμονας ἐκβάλλειν ἢ νεκροὺς ἀνιστᾶν ἢ γλώσσαις λαλεῖν, ἀλλὰ τὸν ἀξιωθέντα χαρίσματος ἐπί τινι αἰτίᾳ χρησίμῃ εἰς σωτηρίαν τῶν ἀπίστων, δυσωπουμένων πολλάκις οὐ τὴν τῶν λόγων ἀπόδειξιν, ἀλλὰ τὴν τῶν σημείων ἐνέργειαν, ἀξίων ὄντων σωτηρίας. 5. οὐδὲ γὰρ πάντες οἱ ἀσεβεῖς ὑπὸ τῶν θαυμάτων ἐντρέπονται· καὶ τούτου μάρτυς αὐτὸς ὁ θεός, ὡς ὅταν «λέγῃ ἐν τῷ Νόμῳ, ὅτι ἐν ἑτερογλώσσοις λαλήσω τῷ λαῷ τούτῳ καὶ ἐν χείλεσιν ἑτέροις, καὶ οὐ μὴ πιστεύσωσιν. [8]» 6. οὔτε γὰρ οἱ Αἰγύπτιοι

---

1. Α' Τιμ. 3, 16. 2. Ἰω. 17, 6, 4. 3. Ἰω. 17, 25. 4. Μάρκ. 16, 17-18. 5. Μάρκ. 16, 15. 6. Α' Κορ. 14, 22. 7. Λουκ. 10, 20. 8. Ἠσ. 28, 11-12. Α' Κορ. 14, 21.

ἐπίστευσαν τῷ θεῷ, Μωϋσέως τοσαῦτα σημεῖα καὶ τέρατα πεποιηκότος, οὔτε τὸ πλῆθος τῶν Ἰουδαίων τῷ ὡς Μωϋσεῖ Χριστῷ «πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν αὐτοῖς θεραπεύσαντι· [1]» καὶ οὔτε ἐκείνους ἐδυσώπησεν ῥάβδος ψυχουμένη εἰς ὄφιν καὶ χεὶρ λευκαινομένη καὶ Νεῖλος αἱματούμενος, οὔτε τούτους «τυφλοὶ ἀναβλέποντες καὶ χωλοὶ περιπατοῦντες καὶ νεκροὶ ἀνιστάμενοι· [2]» καὶ τῷ μὲν ἀνθίσταντο Ἰαννῆς καὶ Ἰαμβρής [3], τῷ δὲ Ἄννας καὶ Καϊάφας. 7. οὕτως οὐ πάντας δυσωπεῖ τὰ σημεῖα, ἀλλὰ μόνους τοὺς εὐγνώμονας, ὧν καὶ χάριν εὐδοκεῖ ὁ θεὸς ἐπιτελεῖσθαι δυνάμεις ὡς σοφὸς οἰκονόμος, οὐ τῇ τῶν ἀνθρώπων ἰσχύϊ, ἀλλὰ τῇ ἑαυτοῦ βουλήσει. 8. ταῦτα δέ φαμεν ἐπὶ τῷ μὴ ἐπαίρεσθαι τοὺς λαβόντας χαρίσματα τοιάδε κατὰ τῶν μὴ λαβόντων. 9 χαρίσματα δὲ λέγομεν τὰ διὰ τῶν σημείων, ἐπεὶ οὐκ ἔστιν ἄνθρωπος πιστεύσας διὰ Χριστοῦ εἰς τὸν θεόν, ὃς οὐκ εἴληφεν «χάρισμα πνευματικόν.[4]» 10. αὐτό τε γὰρ τὸ ἀπαλλαγῆναι πολυθέου ἀσεβείας καὶ πιστεῦσαι θεῷ πατρὶ διὰ Χριστοῦ χάρισμά ἐστι θεοῦ, τό τε ἀπορρίψαι τὸ ἰουδαϊκὸν κάλυμμα καὶ πιστεῦσαι, ὅτι εὐδοκίᾳ θεοῦ ὁ πρὸ αἰώνων μονογενὴς ἐν ὑστέρῳ καιρῷ ἐκ παρθένου γεγέννηται δίχα ὁμιλίας ἀνδρός, καὶ ὅτι ἐπολιτεύσατο ὡς ἄνθρωπος ἄνευ ἁμαρτίας «πληρώσας πᾶσαν δικαιοσύνην [5]» τὴν τοῦ νόμου, καὶ ὅτι συγχωρήσει θεοῦ σταυρὸν ὑπέμεινεν αἰσχύνης καταφρονήσας ὁ θεὸς λόγος, καὶ ὅτι ἀπέθανεν καὶ ἐτάφη καὶ ἀνέστη διὰ τριῶν ἡμερῶν καὶ μετὰ τὴν ἀνάστασιν, τεσσαράκοντα ἡμέρας παραμείνας τοῖς ἀποστόλοις καὶ πληρώσας πᾶσαν διάταξιν, ἀνελήφθη ἐπ' ὄψεσιν αὐτῶν πρὸς τὸν ἀποστείλαντα αὐτὸν θεὸν καὶ πατέρα. 11. ὁ ταῦτα πιστεύσας, οὐχ ἁπλῶς οὐδὲ ἀλόγως, ἀλλὰ κρίσει καὶ πληροφορίᾳ, χάρισμα εἴληφεν ἐκ θεοῦ, ὡσαύτως δὲ καὶ ὁ πάσης αἱρέσεως ἀπαλλαγείς. 12. μὴ οὖν τις τῶν ποιούντων σημεῖα καὶ τέρατα κρινέτω τινὰ τῶν πιστῶν μὴ ἀξιωθέντα ἐνεργεῖν· διάφορα γάρ ἐστιν τὰ τοῦ θεοῦ χαρίσματα παρ' αὐτοῦ διὰ Χριστοῦ διδόμενα, καὶ σὺ μὲν εἴληφας τοῦτο, ἐκεῖνος δὲ ἄλλο τι, ἢ γὰρ «λόγον σοφίας ἢ γνώσεως ἢ διακρίσεως πνευμάτων [6]» ἢ πρόγνωσιν τῶν μελλόντων ἢ λόγον διδακτικὸν ἢ ἀνεξικακίαν ἢ ἐγκράτειαν ἔννομον. 13. καὶ γὰρ Μωϋσῆς, «ὁ τοῦ θεοῦ ἄνθρωπος [7]», ἐν Αἰγύπτῳ ἐπιτελῶν τὰ σημεῖα οὐ κατεπήρθη τῶν ὁμοφύλων, καὶ «θεὸς [8]» κληθεὶς οὐκ ἠλαζονεύσατο κατὰ τοῦ ἰδίου προφήτου Ἀαρών. 14. ἀλλ' οὔτε ὁ τοῦ Ναυῆ Ἰησοῦς, ἡγησάμενος μετ' αὐτὸν τοῦ λαοῦ κἂν τῷ πρὸς Ἰεβουσαίους πολέμῳ «στήσας τὸν ἥλιον κατὰ Γαβαὼν καὶ τὴν σελήνην κατὰ φάραγγα Αἰλὼν [9]» διὰ τὸ μὴ αὐταρκεῖν πρὸς τὴν νίκην τὴν ἡμέραν, ἐπήρθη κατὰ τοῦ Φινεὲς ἢ τοῦ Χαλέβ· οὔτε Σαμουὴλ τοσαῦτα παράδοξα ποιήσας παρ' οὐδὲν ἡγήσατο τὸν θεοφιλῆ Δαυίδ, καίτοι ἀμφότεροι προφῆται

---

1. Ματθ. 4, 23. 2. Ματθ. 11, 5. 3. Β' Τιμ. 3, 8. 4. Ῥωμ. 1, 11. 5. Ματθ. 3, 15. 6. Α' Κορ. 12, 8, 10. 7. Δευτ. 33, 1. 8. Ἔξ. 7, 1. 9. Ἰησ. Ν. 10, 12.

καὶ ὁ μὲν ἀρχιερεύς, ὁ δὲ βασιλεύς. 15. καί, «ἑπτὰ χιλιάδων ὑπαρχουσῶν ἐν Ἰσραὴλ ἁγίων τῶν μὴ καμψάντων γόνυ τῇ Βάαλ [1]» μόνος Ἠλίας ἐν αὐτοῖς καὶ ὁ τούτου μαθητὴς Ἐλισσαῖος θαυματοποιοὶ γεγένηνται, ἀλλ' οὔτε Ἠλίας τὸν οἰκονόμον Ἀβδιοὺ ἐξεμυκτήρισεν φοβούμενον μὲν τὸν θεόν, οὐ ποιοῦντα δὲ σημεῖα, οὔτε Ἐλισσαῖος τὸν ἑαυτοῦ μαθητὴν φρίττοντα τοὺς πολεμίους ὑπερεῖδεν. 16. ἀλλὰ γὰρ οὔτε Δανιὴλ ὁ σοφὸς ῥυσθεὶς δεύτερον ἐκ στόματος λεόντων, οὔτε οἱ τρεῖς παῖδες ἐκ καμίνου πυρὸς ἐξουδένωσαν τοὺς λοιποὺς τῶν ὁμοφύλων· ἠπίσταντο γάρ, ὅτι οὐ τῇ οἰκείᾳ δυνάμει περιεγένοντο τῶν δεινῶν, ἀλλὰ τῇ τοῦ θεοῦ ἰσχύϊ, καὶ σημεῖα ἐπετέλουν καὶ τῶν δυσχερῶν ἀπηλλάττοντο. 17. οὐκοῦν μηδεὶς ὑμῶν ἐπαιρέσθω κατὰ τοῦ ἀδελφοῦ, κἂν προφήτης ᾖ κἂν θαυματοποιός· εἰ γὰρ δοθῇ μηκέτι εἶναί που ἄπιστον, περιττὴ λοιπὸν ἔσται πᾶσα σημείων ἐνέργεια. 18. τὸ μὲν γὰρ εἶναι εὐσεβῆ ἐκ τῆς τοῦ τινος εὐνοίας, τὸ δὲ θαυματοποιεῖν ἐκ τῆς τοῦ ἐνεργοῦντος δυνάμεως· ὧν τὸ μὲν πρῶτον ἡμᾶς αὐτοὺς ὁρᾷ, τὸ δὲ δεύτερον θεὸν τὸν ἐνεργοῦντα δι' ἃς προείπομεν αἰτίας. 19. οὐκοῦν μήτε βασιλεὺς ἐξουθενείτω τοὺς ὑπ' αὐτὸν στρατηγούς, μήτε ἄρχοντες τοὺς ὑπηκόους· μὴ ὄντων γὰρ τῶν ἀρχομένων περιττοὶ οἱ ἄρχοντες, καὶ μὴ ὄντων στρατηγῶν οὐ στήσεται βασιλεία. 20. ἀλλὰ μηδὲ ἐπίσκοπος ἐπαιρέσθω κατὰ τῶν διακόνων ἢ τῶν πρεσβυτέρων, μήτε μὴν οἱ πρεσβύτεροι κατὰ τοῦ λαοῦ· ἐξ ἀλλήλων γάρ ἐστιν ἡ σύστασις τοῦ συναθροίσματος. 21. ὅ τε γὰρ ἐπίσκοπος καὶ οἱ πρεσβύτεροί τινών εἰσιν ἱερεῖς, καὶ οἱ λαϊκοί τινών εἰσιν λαϊκοί· καὶ τὸ μὲν εἶναι χριστιανὸν ἐφ' ἡμῖν, τὸ δὲ ἀπόστολον ἢ ἐπίσκοπον ἢ ἄλλο τι οὐκ ἐφ' ἡμῖν, ἀλλ' ἐπὶ τῷ διδόντι θεῷ τὰ χαρίσματα. 22. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον εἰρήσθω διὰ τοὺς ἀξιωθέντας χαρισμάτων ἢ ἀξιωμάτων.

ΙΙ. Ἐκεῖνο δὲ προστίθεμεν τῷ λόγῳ, ὅτι οὔτε πᾶς ὁ προφητεύων ὅσιος οὔτε πᾶς ὁ δαίμονας ἐλαύνων ἅγιος. 2. καὶ γὰρ καὶ Βαλαὰμ ὁ τοῦ Βεὼρ ὁ μάντις προεφήτευσεν δυσσεβὴς ὢν [2] καὶ Καϊάφας ὁ ψευδώνυμος ἀρχιερεύς [3], πολλὰ δὲ καὶ ὁ διάβολος προλέγει καὶ οἱ ἀμφ' αὐτὸν δαίμονες· καὶ οὐ παρὰ τοῦτο μέτεστιν αὐτοῖς εὐσεβείας σπινθήρ, ἀγνοίᾳ γάρ εἰσιν πεπεισμένοι δι' ἑκούσιον μοχθηρίαν. 3. δῆλον οὖν, ὅτι οἱ ἀσεβεῖς, κἂν προφητεύωσιν, οὐ καλύπτουσιν διὰ τῆς προφητείας τὴν ἑαυτῶν ἀσέβειαν, οὐδὲ οἱ δαίμονες ἐλαύνοντες ἐκ τῆς τούτων ὑποχωρήσεως ὁσιωθήσονται· ἀλλήλους γὰρ ἀπατῶσιν, καθάπερ οἱ τὰς παιδιὰς γέλωτος ἕνεκα ἐπιδεικνύμενοι, καὶ τοὺς προσανέχοντας αὐτοῖς ἀπολλύουσιν. 4. οὔτε δὲ βασιλεὺς δυσσεβὴς ἔτι βασιλεὺς ὑπάρχει, ἀλλὰ τύραννος, οὔτε ἐπίσκοπος ἀγνοίᾳ ἢ κακονοίᾳ πεπιεσμένος ἔτι ἐπίσκοπός ἐστιν, ἀλλὰ ψευδώνυμος, οὐ παρὰ θεοῦ, ἀλλὰ παρὰ ἀνθρώπων προβληθείς, ὡς Ἀνανίας καὶ Σαμαίας ἐν Ἱερουσαλήμ, καὶ Σεδεκίας καὶ Ἀχίας οἱ ἐν Βαβυλῶνι ψευδοπροφῆται. 5. ἀλλὰ καὶ

1. Γ' Βασ. 19, 18. 2. Ἀριθ. 23, 1 ἑξ. 3. Ἰω. 11, 51.

Βαλαὰμ ὁ μάντις τιμωρίαν ἔτισε διαφθείρας τὸν Ἰσραὴλ ἐν τῷ Βεελφεγώρ, καὶ Καϊάφας ὕστερον αὐτοφονευτὴς ἑαυτοῦ γέγονεν, καὶ οἱ υἱοὶ Σκευᾶ ἐπιχειροῦντες δαίμονας ἐλαύνειν[1] ὑπ' αὐτῶν τραυματίαι γενόμενοι ἔφυγον ἀπρεπῶς, καὶ οἱ βασιλεῖς τοῦ Ἰσραὴλ καὶ τοῦ Ἰούδα ἀσεβήσαντες παντοίας τιμωρίας ἔτισαν. 6. δῆλον οὖν, ὡς καὶ οἱ ψευδώνυμοι ἐπίσκοποι καὶ πρεσβύτεροι οὐκ ἐκφεύξονται τὴν παρὰ θεοῦ δίκην· ῥηθήσεται γὰρ αὐτοῖς καὶ νῦν· «Ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντές μου τὸ ὄνομα, παραδώσω ὑμᾶς εἰς σφαγὴν ὡς Σεδεκίαν καὶ Ἀχίαν, οὓς ἀπετηγάνισεν βασιλεὺς Βαβυλῶνος[2]», ὥς φησιν Ἱερεμίας ὁ προφήτης. 7. ταῦτα δέ φαμεν οὐ τὰς ἀληθεῖς προφητείας ἐξουθενοῦντες, ἴσμεν γὰρ αὐτὰς κατ' ἐπίπνοιαν θεοῦ ἐν τοῖς ὁσίοις ἐνεργεῖσθαι, ἀλλὰ τὸ θράσος τῶν ἀλαζονευομένων καταστέλλοντες καὶ προστιθέντες ἐκεῖνο, ὅτι τῶν τοιούτων θεὸς περιαιρεῖ τὴν χάριν· «ὑπερηφάνοις γὰρ ὁ θεὸς ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.[3]» 8. Σίλας μὲν οὖν καὶ Ἄγαβος ἐφ' ἡμῶν προφητεύσαντες οὐ παρεξέτειναν ἑαυτοὺς τοῖς ἀποστόλοις[4] οὔτε ὑπερέβησαν τὰ ἑαυτῶν μέτρα, καίτοι θεοφιλεῖς ὄντες. 9. προεφήτευσαν δὲ καὶ γυναῖκες, τὸ μὲν παλαιὸν Μαριὰμ ἡ Μωϋσέως καὶ Ἀαρὼν ἀδελφή[5], μετὰ δὲ ταύτην Δεββώρα[6], καὶ μετὰ ταύτας Ὀλδὰ[7] καὶ Ἰουδὶθ[8], ἡ μὲν ἐπὶ Ἰωσίου, ἡ δὲ ἐπὶ Δαρείου· καὶ ἡ μήτηρ δὲ τοῦ κυρίου προεφήτευσεν καὶ Ἐλισαβὲτ ἡ συγγενὴς αὐτῆς[9] καὶ Ἄννα, καὶ ἐφ' ἡμῶν αἱ Φιλίππου θυγατέρες·[10] ἀλλ' οὐκ ἐπήρθησαν κατὰ τῶν ἀνδρῶν αὗται, ἀλλ' ἐφύλαξαν τὰ οἰκεῖα μέτρα. 10. οὐκοῦν καὶ ἐν ὑμῖν κἂν ἀνήρ τις ἢ κἂν γυνή, καὶ τύχῃ τοιαύτης τινὸς χάριτος, ταπεινοφρονείτω, ἵνα ἐπ' αὐτῷ εὐδοκῇ ὁ θεός. «Ἐπὶ τίνα» γάρ, φησίν, «ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους;[11]»

III. Τὰ μὲν οὖν πρῶτα τοῦ λόγου ἐξεθέμεθα περὶ τῶν χαρισμάτων, ὅσαπερ ὁ θεὸς κατ' ἰδίαν βούλησιν πάρεσχεν ἀνθρώποις, καὶ ὅπως τῶν ψευδῆ ἐπιχειρούντων λέγειν ἢ ἀλλοτρίῳ πνεύματι κινουμένων ἤλεγξε τὸν τρόπον, καὶ ὅτι πονηροῖς πολλάκις ἀπεχρήσατο ὁ θεὸς πρός τε προφητείαν καὶ τερατοποιΐαν. 2. νυνὶ δὲ ἐπὶ τὸ κορυφαιότατον τῆς ἐκκλησιαστικῆς διατυπώσεως ὁ λόγος ἡμᾶς ἐπείγει, ὅπως καὶ ταύτην μαθόντες παρ' ἡμῶν τὴν διάταξιν, οἱ ταχθέντες δι' ἡμῶν γνώμῃ Χριστοῦ ἐπίσκοποι, πάντα κατὰ τὰς παραδοθείσας ἡμῖν ἐντολὰς ποιῆσθε, εἰδότες, ὅτι «ὁ ἡμῶν ἀκούων Χριστοῦ ἀκούει, ὁ δὲ Χριστοῦ ἀκούων τοῦ θεοῦ αὐτοῦ καὶ πατρὸς ἀκούει[12]», ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

IV. Ἅμα τοίνυν ὑπάρχοντες ἡμεῖς οἱ δεκαδύο τοῦ κυρίου ἀπόστολοι τάσδε τὰς θείας ὑμῖν ἐντελλόμεθα διατάξεις περὶ παντὸς ἐκκλησια-

---

1. Πράξ. 19,14. 2. Μαλ. 1,6. Ἱερ. 36,22. 3. Παρμ. 3,31. 4. Πράξ. 15,32. 21,10. 5. Ἔξ. 15,20. 6. Κριτ. 4,4. 7. Δ' Βασ. 22,14. 8. Ἰουδ. 8,1 ἑξ. 9. Λουκ. 1,42. 10. Πράξ. 21,9. 11. Ἡσ. 66,2. 12. Λουκ. 10,16.

στικοῦ τύπου, συμπαρόντος ἡμῖν καὶ τοῦ τῆς «ἐκλογῆς σκεύους[1]» Παύλου τοῦ συναποστόλου ἡμῶν καὶ Ἰακώβου τοῦ ἐπισκόπου καὶ τῶν λοιπῶν πρεσβυτέρων καὶ τῶν ἑπτὰ διακόνων. 2. πρῶτος οὖν ἐγώ φημι Πέτρος ἐπίσκοπον χειροτονεῖσθαι, ὡς ἐν τοῖς προλαβοῦσιν ἅμα πάντες διεταξάμεθα, ἐν πᾶσιν ἄμεμπτον, ὑπὸ παντὸς τοῦ λαοῦ ἐκλελεγμένον. 3. οὗ ὀνομασθέντος καὶ ἀρέσαντος συνελθὼν ὁ λαὸς ἅμα τῷ πρεσβυτερίῳ καὶ τοῖς παροῦσιν ἐπισκόποις ἐν ἡμέρᾳ κυριακῇ, ὁ πρόκριτος τῶν λοιπῶν ἐρωτάτω τὸ πρεσβυτέριον καὶ τὸν λαόν, εἰ αὐτός ἐστιν, ὃν αἰτοῦνται εἰς ἄρχοντα. 4. καὶ ἐπινευσάντων προσεπερωτάτω, εἰ μαρτυρεῖται ὑπὸ πάντων ἄξιος εἶναι τῆς μεγάλης ταύτης καὶ λαμπρᾶς ἡγεμονίας, εἰ τὰ κατὰ τὴν εἰς θεὸν αὐτῷ εὐσέβειαν κατώρθωται, εἰ τὰ πρὸς ἀνθρώπους δίκαια πεφύλακται, εἰ τὰ κατὰ τὸν οἶκον αὐτοῦ καλῶς ᾠκονόμηται, εἰ τὰ κατὰ τὸν βίον ἀνεπιλήπτως. 5. καὶ πάντων ἅμα κατὰ ἀλήθειαν, ἀλλ' οὐ κατὰ πρόληψιν μαρτυρησάντων τοιοῦτον αὐτὸν εἶναι, ὡς ἐπὶ δικαστῇ θεῷ καὶ Χριστῷ, παρόντος δηλαδὴ καὶ τοῦ ἁγίου πνεύματος καὶ πάντων τῶν ἁγίων καὶ λειτουργικῶν πνευμάτων, ἐκ τρίτου πάλιν πυθέσθωσαν, εἰ ἄξιός ἐστιν ἀληθῶς τῆς λειτουργίας, «ἵνα ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα.[2]» καὶ συνθεμένων αὐτῶν ἐκ τρίτου ἄξιον εἶναι, ἀπαιτείσθωσαν οἱ πάντες σύνθημα, καὶ δόντες προθύμως ἀκουέσθωσαν. 6. καὶ σιωπῆς γενομένης εἷς τῶν πρώτων ἐπισκόπων ἅμα καὶ δυσὶν ἑτέροις πλησίον τοῦ θυσιαστηρίου ἑστώς, τῶν λοιπῶν ἐπισκόπων καὶ πρεσβυτέρων σιωπῇ προσευχομένων, τῶν δὲ διακόνων τὰ θεῖα Εὐαγγέλια ἐπὶ τῆς τοῦ χειροτονουμένου κεφαλῆς ἀνεπτυγμένα κατεχόντων, λεγέτω πρὸς θεόν·

V. Ὁ ὤν, δέσποτα κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἀγέννητος καὶ ἀβασίλευτος, ὁ ἀεὶ ὢν καὶ πρὸ τῶν αἰώνων ὑπάρχων, ὁ πάντῃ ἀνενδεὴς καὶ πάσης αἰτίας καὶ γενέσεως κρείττων, ὁ μόνος ἀληθινός, ὁ μόνος σοφός, ὁ ὢν μόνος ὕψιστος, ὁ τῇ φύσει ἀόρατος, οὗ ἡ γνῶσις ἄναρχος, ὁ μόνος ἀγαθὸς καὶ ἀσύγκριτος, «ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν, ὁ τῶν κρυπτῶν γνώστης[3]», ὁ ἀπρόσιτος, ὁ ἀδέσποτος· 2. ὁ θεὸς καὶ πατὴρ τοῦ μονογενοῦς υἱοῦ σου τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν, ὁ δημιουργὸς τῶν ὅλων δι' αὐτοῦ, ὁ προνοητής, ὁ κηδεμών, «ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ θεὸς πάσης παρακλήσεως, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν·[4]» 3. σὺ ὁ δοὺς ὅρους ἐκκλησίας διὰ τῆς ἐνσάρκου παρουσίας τοῦ Χριστοῦ σου ἀπὸ μάρτυρι τῷ παρακλήτῳ διὰ τῶν σῶν ἀποστόλων καὶ ἡμῶν τῶν χάριτι σῇ παρεστώτων ἐπισκόπων, ὁ προορίσας ἐξ ἀρχῆς ἱερεῖς εἰς ἐπιστασίαν λαοῦ σου, Ἄβελ ἐν πρώτοις, Σὴθ καὶ Ἐνὼς καὶ Ἐνὼχ καὶ Νῶε καὶ Μελχισεδὲκ καὶ Ἰώβ· 4. ὁ ἀναδείξας Ἀβραὰμ καὶ τοὺς λοιποὺς πατριάρχας σὺν τοῖς πιστοῖς σου θεράπουσιν Μωϋσεῖ καὶ Ἀαρὼν καὶ Ἐλεαζάρῳ καὶ Φινεές,

1. Πράξ. 9, 15. 2. Ματθ. 18, 16. 3. Δαν. 1, 42. 4. Β' Κορ. 1, 3. Ψαλμ. 112, 5-6.

ὁ ἐξ αὐτῶν προχειρισάμενος ἄρχοντας καὶ ἱερεῖς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ὁ τὸν Σαμουὴλ ἐκλεξάμενος εἰς ἱερέα καὶ προφήτην, ὁ τὸ ἁγίασμά σου ἀλειτούργητον μὴ ἐγκαταλιπών, ὁ εὐδοκήσας ἐν οἷς ᾑρετίσω δοξασθῆναι· 5. αὐτὸς καὶ νῦν μεσιτείᾳ τοῦ Χριστοῦ σου δι' ἡμῶν ἐπίχεε τὴν δύναμιν τοῦ «ἡγεμονικοῦ σου πνεύματος[1]», ὅπερ διακονεῖται τῷ ἠγαπημένῳ σου παιδὶ Ἰησοῦ Χριστῷ, ὅπερ ἐδωρήσατο γνώμῃ σου τοῖς ἁγίοις ἀποστόλοις σου τοῦ αἰωνίου θεοῦ. 6. δὸς ἐν τῷ ὀνόματί σου, καρδιογνῶστα θεέ, ἐπὶ τὸν δοῦλόν σου τόνδε, ὃν ἐξελέξω εἰς ἐπίσκοπον, ποιμαίνειν τὴν ἁγίαν σου ποίμνην καὶ ἀρχιερατεύειν σοι, ἀμέμπτως λειτουργοῦντα νυκτὸς καὶ ἡμέρας καὶ ἐξιλασκόμενόν σου τὸ πρόσωπον, ἐπισυναγαγεῖν τὸν ἀριθμὸν τῶν σωζομένων καὶ προσφέρειν σοι τὰ δῶρα τῆς ἁγίας σου ἐκκλησίας. 7. δὸς αὐτῷ, δέσποτα παντοκράτορ, διὰ τοῦ Χριστοῦ σου τὴν μετουσίαν τοῦ ἁγίου πνεύματος, ὥστε ἔχειν ἐξουσίαν «ἀφιέναι ἁμαρτίας[2]» κατὰ τὴν ἐντολήν σου, διδόναι κλήρους κατὰ τὸ πρόσταγμά σου, «λύειν δὲ πάντα σύνδεσμον[3]» κατὰ τὴν ἐξουσίαν, ἣν ἔδωκας τοῖς ἀποστόλοις, εὐαρεστεῖν δέ σοι ἐν πραότητι καὶ καθαρᾷ καρδίᾳ, ἀτρέπτως, ἀμέμπτως, ἀνεγκλήτως προσφέροντά σοι «καθαρὰν[4]» καὶ ἀναίμακτον «θυσίαν», ἣν διὰ Χριστοῦ διετάξω, τὸ μυστήριον τῆς καινῆς διαθήκης, «εἰς ὀσμὴν εὐωδίας διὰ τοῦ ἁγίου παιδός σου Ἰησοῦ[5]» Χριστοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν, δι' οὗ σοι δόξα, τιμὴ καὶ σέβας ἐν ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 8. καὶ ταῦτα ἐπευξαμένου οἱ λοιποὶ ἱερεῖς ἐπιλεγέτωσαν· Ἀμήν, καὶ σὺν αὐτοῖς ἅπας ὁ λαός. 9. καὶ μετὰ τὴν προσευχὴν εἷς τῶν ἐπισκόπων ἀναφερέτω τὴν θυσίαν ἐπὶ τῶν χειρῶν τοῦ χειροτονηθέντος. 10. καὶ τῇ ἕωθεν ἐνθρονιζέσθω εἰς τὸν αὐτῷ διαφέροντα τόπον παρὰ τῶν λοιπῶν ἐπισκόπων, πάντων αὐτὸν φιλησάντων τῷ ἐν κυρίῳ φιλήματι. 11. καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ Νόμου καὶ τῶν Προφητῶν, τῶν τε Ἐπιστολῶν ἡμῶν καὶ τῶν Πράξεων καὶ τῶν Εὐαγγελίων ἀσπασάσθω ὁ χειροτονηθεὶς τὴν ἐκκλησίαν, λέγων· «Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν[6]», καὶ πάντες ἀποκρινέσθωσαν· Καὶ μετὰ τοῦ πνεύματός σου. 12. καὶ μετὰ τὴν πρόσρησιν προσλαλησάτω τῷ λαῷ λόγους παρακλήσεως.

VI. Καὶ πληρώσαντος αὐτοῦ τὸν τῆς διδασκαλίας λόγον φημὶ ἐγὼ Ἀνδρέας ὁ ἀδελφὸς Πέτρου· 2. Ἀναστάντων ἁπάντων ὁ διάκονος ἐφ' ὑψηλοῦ τινος ἀνελθὼν κηρυττέτω· Μήτις τῶν ἀκροωμένων, μήτις τῶν ἀπίστων. 3. καὶ ἡσυχίας γενομένης λεγέτω· Εὔξασθε, οἱ κατηχούμενοι. 4. καὶ πάντες οἱ πιστοὶ κατὰ διάνοιαν ὑπὲρ αὐτῶν προσευχέσθωσαν λέγοντες· Κύριε ἐλέησον. διακονείτω δὲ ὑπὲρ αὐτῶν λέγων· 5. Ὑπὲρ τῶν κατηχουμένων πάντες ἐκτενῶς τὸν θεὸν παρακαλέσωμεν,

1. Ψαλμ. 50,14. 2. Ἰω. 20,23. 3. Ἡσ. 58,6. 4. Μαλ. 1,11. 5. Ἐφ. 5,2. Πράξ. 4,30. 6. Β' Κορ. 13,13.

ἵνα ὁ ἀγαθὸς καὶ φιλάνθρωπος εὐμενῶς «εἰσακούσῃ τῶν δεήσεων αὐτῶν» καὶ τῶν παρακλήσεων, καὶ προσδεξάμενος αὐτῶν τὴν ἱκεσίαν ἀντιλάβηται αὐτῶν καὶ «δῷ αὐτοῖς τὰ αἰτήματα τῶν καρδιῶν αὐτῶν[1]» πρὸς τὸ συμφέρον, ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ αὐτοῦ, φωτίσῃ αὐτοὺς καὶ συνετίσῃ, παιδεύσῃ αὐτοὺς τὴν θεογνωσίαν, «διδάξῃ αὐτοὺς» τὰ προστάγματα αὐτοῦ καὶ «τὰ δικαιώματα[2]», ἐγκαταφυτεύσῃ ἐν αὐτοῖς τὸν ἁγνὸν αὐτοῦ καὶ σωτήριον φόβον, διανοίξῃ τὰ ὦτα τῶν καρδιῶν αὐτῶν πρὸς τὸ ἐν τῷ νόμῳ αὐτοῦ καταγίνεσθαι ἡμέρας καὶ νυκτός· 6. βεβαιώσῃ δὲ αὐτοὺς ἐν τῇ εὐσεβείᾳ, ἑνώσῃ καὶ ἐγκαταριθμήσῃ αὐτοὺς τῷ ἁγίῳ αὐτοῦ ποιμνίῳ, καταξιώσας αὐτοὺς «τοῦ λουτροῦ τῆς παλιγγενεσίας[3]», τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, τῆς ὄντως ζωῆς· ῥύσηται δὲ αὐτοὺς ἀπὸ πάσης ἀσεβείας καὶ μὴ δῷ τόπον τῷ ἀλλοτρίῳ κατ' αὐτῶν, «καθαρίσῃ δὲ αὐτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐνοικήσῃ τε ἐν αὐτοῖς καὶ ἐμπεριπατήσῃ[4]» διὰ τοῦ Χριστοῦ αὐτοῦ, «εὐλογήσῃ τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους καὶ κατευθύνῃ αὐτοῖς[5]» τὰ προκείμενα εἰς τὸ συμφέρον. 7. ἔτι ἐκτενῶς ὑπὲρ αὐτῶν ἱκετεύσωμεν, ἵνα ἀφέσεως τυχόντες τῶν πλημμελημάτων, διὰ τῆς μυήσεως ἀξιωθῶσιν τῶν ἁγίων μυστηρίων καὶ τῆς μετὰ τῶν ἁγίων διαμονῆς. 8. ἐγείρεσθε, οἱ κατηχούμενοι· τὴν εἰρήνην τοῦ θεοῦ διὰ τοῦ Χριστοῦ αὐτοῦ αἰτήσασθε, εἰρηνικὴν τὴν ἡμέραν καὶ ἀναμάρτητον καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ὑμῶν, χριστιανὰ ὑμῶν τὰ τέλη, ἵλεω καὶ εὐμενῆ τὸν θεόν, ἄφεσιν πλημμελημάτων ἑαυτοὺς τῷ μόνῳ ἀγεννήτῳ θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ παράθεσθε. κλίνατε καὶ εὐλογεῖσθε. 9. ἐφ' ἑκάστῳ δὲ τούτων ὧν ὁ διάκονος προσφωνεῖ, ὡς προείπομεν, λεγέτω ὁ λαός· Κύριε ἐλέησον, καὶ πρὸ πάντων τὰ παιδία. 10. κλινόντων δὲ αὐτῶν τὰς κεφαλὰς εὐλογείτω αὐτοὺς ὁ χειροτονηθεὶς ἐπίσκοπος εὐλογίαν τοιάνδε· 11. Ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ἀγέννητος καὶ ἀπρόσιτος, ὁ μόνος ἀληθινὸς θεός, ὁ θεὸς καὶ πατὴρ τοῦ Χριστοῦ σου τοῦ μονογενοῦς υἱοῦ σου, ὁ θεὸς τοῦ παρακλήτου καὶ τῶν ὅλων κύριος, ὁ διὰ Χριστοῦ διδασκάλους τοὺς μαθητὰς ἐπιστήσας πρὸς μάθησιν τῆς εὐσεβείας· 12. αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους τὸ εὐαγγέλιον τοῦ Χριστοῦ σου, καὶ «δὸς αὐτοῖς καρδίαν καινὴν καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις αὐτῶν[6]» πρὸς τὸ εἰδέναι σε καὶ ποιεῖν τὸ θέλημά σου «ἐν καρδίᾳ πλήρει καὶ ψυχῇ θελούσῃ·[7]» 13. καταξίωσον αὐτοὺς τῆς ἁγίας μυήσεως καὶ ἕνωσον τῇ ἁγίᾳ σου ἐκκλησίᾳ καὶ μετόχους ποίησον τῶν θείων μυστηρίων διὰ «Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν[8]», τοῦ ὑπὲρ αὐτῶν ἀποθανόντος, δι' οὗ σοι δόξα καὶ τὸ σέβας ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. 14. καὶ

---

1. Ψαλμ. 36, 4. 2. Ψαλμ. 118, 12. 3. Τίτ. 3, 5. 4. Β' Κορ. 7, 1. 6, 16. 5. Ψαλμ. 120, 8. 89, 17. 6. Ψαλμ. 50, 12. 7. Β' Μακκ. 1, 3. 8. Α' Τιμ. 1, 1.

μετὰ τοῦτο ὁ διάκονος λεγέτω· Προέλθετε, οἱ κατηχούμενοι, ἐν εἰρήνῃ.

VII. Καὶ μετὰ τὸ ἐξελθεῖν αὐτοὺς λεγέτω· 2. Εὔξασθε, οἱ ἐνεργούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων. ἐκτενῶς πάντες ὑπὲρ αὐτῶν δεηθῶμεν, ὅπως ὁ φιλάνθρωπος θεὸς διὰ Χριστοῦ ἐπιτιμήσῃ τοῖς ἀκαθάρτοις καὶ πονηροῖς πνεύμασιν καὶ ῥύσηται τοὺς αὐτοῦ ἱκέτας ἀπὸ τῆς τοῦ ἀλλοτρίου καταδυναστείας· ὁ ἐπιτιμήσας τῷ λεγεῶνι τῶν δαιμόνων καὶ τῷ ἀρχεκάκῳ διαβόλῳ, ἐπιτιμήσῃ αὐτὸς καὶ νῦν τοῖς ἀποστάταις τῆς εὐσεβείας καὶ ῥύσηται τὰ ἑαυτοῦ πλάσματα ἀπὸ τῆς ἐνεργείας αὐτῶν καὶ καθαρίσῃ αὐτά, ἃ μετὰ πολλῆς σοφίας ἐποίησεν. 3. ἔτι ἐκτενῶς ὑπὲρ αὐτῶν δεηθῶμεν· σῶσον καὶ ἀνάστησον αὐτούς, ὁ θεός, ἐν τῇ δυνάμει σου. κλίνατε, οἱ ἐνεργούμενοι, καὶ εὐλογεῖσθε. 4. καὶ ὁ ἐπίσκοπος ἐπευχέσθω λέγων· 5. «Ὁ τὸν ἰσχυρὸν δήσας καὶ πάντα τὰ σκεύη αὐτοῦ διαρπάσας, ὁ δοὺς ἡμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ [1]», ὁ τὸν ἀνθρωποκτόνον ὄφιν δεσμώτην παραδοὺς ἡμῖν «ὡς στρουθίον παιδίοις, ὃν φρίττει καὶ τρέμει πάντα ἀπὸ προσώπου δυνάμεώς σου [2]», ὁ ῥήξας αὐτὸν «ὡς ἀστραπὴν ἐξ οὐρανοῦ [3]» εἰς γῆν, οὐ τοπικῷ ῥήγματι, ἀλλὰ ἀπὸ τιμῆς εἰς ἀτιμίαν δι' ἑκούσιον αὐτοῦ κακόνοιαν· 6. οὗ τὸ βλέμμα ξηραίνει ἀβύσσους καὶ ἡ ἀπειλὴ τήκει ὄρη καὶ «ἡ ἀλήθεια μένει εἰς τὸν αἰῶνα [4]», ὃν αἰνεῖ τὰ νήπια καὶ εὐλογεῖ τὰ θηλάζοντα [5], ὃν ὑμνοῦσιν καὶ προσκυνοῦσιν ἄγγελοι· 7. «ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται [6], ἀπειλῶν θαλάσσῃ καὶ ξηραίνων αὐτὴν καὶ πάντας τοὺς ποταμοὺς αὐτῆς ἐξερημῶν, οὗ νεφέλαι κονιορτὸς τῶν ποδῶν, ὁ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπ' ἐδάφους· [7]» 8. μονογενῆ θεέ, μεγάλου πατρὸς υἱέ, ἐπιτίμησον τοῖς πονηροῖς πνεύμασιν καὶ ῥῦσαι «τὰ ἔργα τῶν χειρῶν σου [8]» ἐκ τῆς τοῦ ἀλλοτρίου πνεύματος ἐνεργείας, ὅτι σοὶ δόξα, τιμὴ καὶ σέβας καὶ διὰ σοῦ τῷ σῷ πατρὶ ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. 9. καὶ ὁ διάκονος λεγέτω· Προέλθετε, οἱ ἐνεργούμενοι.

VIII. Καὶ μετ' αὐτοὺς προσφωνείτω· 2. Εὔξασθε, οἱ φωτιζόμενοι. ἐκτενῶς οἱ πιστοὶ πάντες ὑπὲρ αὐτῶν παρακαλέσωμεν, ὅπως ὁ κύριος καταξιώσῃ αὐτούς, μυηθέντας εἰς τὸν τοῦ Χριστοῦ θάνατον, συναναστῆναι αὐτῷ καὶ μετόχους γενέσθαι τῆς βασιλείας αὐτοῦ καὶ κοινωνοὺς τῶν μυστηρίων αὐτοῦ, ἑνώσῃ καὶ συγκαταλέξῃ αὐτοὺς μετὰ τῶν σωζομένων ἐν τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ. 3. ἔτι ἐκτενῶς ὑπὲρ αὐτῶν δεηθῶμεν· σῶσον καὶ ἀνάστησον αὐτοὺς ἐν τῇ σῇ χάριτι. 4. κατασφραγισάμενοι τῷ θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ, κλίναντες εὐλογείσθωσαν παρὰ τοῦ ἐπισκόπου τήνδε τὴν εὐλογίαν· 5. Ὁ προειπὼν διὰ τῶν ἁγίων σου προφητῶν τοῖς μυομένοις· «Λούσα-

---

1. Ματθ. 12, 29. Λουκ. 10, 19. 2. Πρβλ. Ἰὼβ 40, 24. 3. Λουκ. 10, 18. 4. Ψαλμ. 116, 2. 5. Ψαλμ. 8, 3. 6. Ψαλμ. 103, 2. 7. Ἰὼβ 9, 8. 8. Ψαλμ. 8, 7.

σθε, καθαροὶ γένεσθε[1]», καὶ διὰ τοῦ Χριστοῦ νομοθετήσας τὴν πνευματικὴν ἀναγέννησιν· αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τοὺς βαπτιζομένους καὶ εὐλόγησον αὐτοὺς καὶ ἁγίασον, καὶ παρασκεύασον ἀξίους γενέσθαι τῆς πνευματικῆς σου δωρεᾶς καὶ τῆς ἀληθινῆς σου υἱοθεσίας, τῶν πνευματικῶν σου μυστηρίων, τῆς μετὰ τῶν σωζομένων ἐπισυναγωγῆς διὰ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, δι' οὗ σοι δόξα, τιμὴ καὶ σέβας ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. 6. καὶ λεγέτω ὁ διάκονος· Προέλθετε, οἱ φωτιζόμενοι.

IX. Καὶ μετὰ τοῦτο κηρυττέτω· 2. Εὔξασθε, οἱ ἐν μετανοίᾳ. ἐκτενῶς πάντες ὑπὲρ τῶν ἐν μετανοίᾳ ἀδελφῶν ἡμῶν παρακαλέσωμεν, ὅπως ὁ φιλοικτίρμων θεὸς ὑποδείξῃ αὐτοῖς ὁδὸν μετανοίας, προσδέξηται αὐτῶν τὴν παλινῳδίαν καὶ τὴν ἐξομολόγησιν, καὶ «συντρίψῃ τὸν σατανᾶν ὑπὸ τοὺς πόδας αὐτῶν ἐν τάχει[2]» καὶ λυτρώσηται αὐτοὺς ἀπὸ «τῆς παγίδος τοῦ διαβόλου[3]» καὶ τῆς ἐπηρείας τῶν δαιμόνων, καὶ ἐξέληται αὐτοὺς ἀπὸ παντὸς ἀθεμίτου λόγου καὶ πάσης ἀτόπου πράξεως καὶ πονηρᾶς ἐννοίας· 3. συγχωρήσῃ δὲ αὐτοῖς πάντα τὰ παραπτώματα αὐτῶν τά τε ἑκούσια καὶ τὰ ἀκούσια καὶ «ἐξαλείψῃ τὸ κατ' αὐτῶν χειρόγραφον[4]» καὶ «ἐγγράψηται αὐτοὺς ἐν βίβλῳ ζωῆς, καθάρῃ δὲ αὐτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος[5]» καὶ ἑνώσῃ αὐτοὺς ἀποκαταστήσας εἰς τὴν ἁγίαν αὐτοῦ ποίμνην· 4. «ὅτι αὐτὸς γινώσκει τὸ πλάσμα ἡμῶν[6]», ὅτι «τίς καυχήσεται ἁγνὴν ἔχειν καρδίαν, ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας; πάντες» γὰρ «ἐσμὲν ἐν ἐπιτιμίοις.[7]» 5. ἔτι ὑπὲρ αὐτῶν ἐκτενέστερον δεηθῶμεν, «ὅτι χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι[8]», ὅπως ἀποστραφέντες πᾶν ἔργον ἀθέμιτον προσοικειωθῶσιν πάσῃ πράξει ἀγαθῇ, ἵνα ὁ φιλάνθρωπος θεὸς ᾖ τάχος εὐμενῶς προσδεξάμενος αὐτῶν τὰς λιτάς, ἀποκαταστήσῃ αὐτοὺς εἰς τὴν προτέραν ἀξίαν καὶ «ἀποδώσῃ αὐτοῖς τὴν ἀγαλλίασιν τοῦ σωτηρίου καὶ πνεύματι ἡγεμονικῷ στηρίξῃ αὐτούς, ἵνα μηκέτι σαλευθῶσιν τὰ διαβήματα αὐτῶν[9]», ἀλλὰ καταξιωθῶσιν κοινωνοὶ γενέσθαι τῶν ἁγίων αὐτοῦ ἱερῶν καὶ μέτοχοι τῶν θείων μυστηρίων, ἵνα ἄξιοι ἀποφανθέντες τῆς υἱοθεσίας τύχωσιν τῆς αἰωνίου ζωῆς. 6. ἔτι ἐκτενῶς πάντες ὑπὲρ αὐτῶν εἴπωμεν· κύριε ἐλέησον· σῶσον αὐτούς, ὁ θεός, καὶ ἀνάστησον τῷ ἐλέει σου. ἀναστάντες τῷ θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ κλίνατε καὶ εὐλογεῖσθε. 7. ἐπευχέσθω οὖν ὁ ἐπίσκοπος τοιάδε· 8. Παντοκράτορ θεὲ αἰώνιε, δέσποτα τῶν ὅλων, κτίστα καὶ πρύτανι τῶν πάντων, ὁ τὸν ἄνθρωπον κόσμου κόσμον ἀναδείξας διὰ Χριστοῦ καὶ νόμον δοὺς αὐτῷ ἔμφυτον καὶ γραπτὸν πρὸς τὸ ζῆν αὐτὸν ἐνθέσμως ὡς λογικόν, καὶ ἁμαρτόντι ὑποθήκην δοὺς πρὸς μετάνοιαν τὴν σαυτοῦ ἀγαθότητα· ἔπιδε ἐπὶ

1. Ἡσ. 1, 16. 2. Ῥωμ. 16, 20. 3. Β' Τιμ. 2, 26. 4. Κολ. 2, 14. 5. Δαν. 12, 1. Β' Κορ. 7, 1. 6. Ψαλμ. 102, 14. 7. Παρμ. 20, 9. Σοφ. Σειρ. 8, 5. 8. Λουκ. 15, 7. 9. Ψαλμ. 50, 14. 16, 5.

τοὺς κεκλικότας σοι αὐχένα ψυχῆς καὶ σώματος, ὅτι «οὐ βούλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν, ὥστε ἀποστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ ζῆν.[1]» 9. ὁ Νινευιτῶν προσδεξάμενος τὴν μετάνοιαν, «ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ τὸν υἱὸν προσδεξάμενος τὸν καταφαγόντα τὸν βίον αὐτοῦ ἀσώτως[2]» πατρικοῖς σπλάγχνοις διὰ τὴν μετάνοιαν, αὐτὸς καὶ νῦν πρόσδεξαι τῶν ἱκετῶν σου τὴν μετάγνωσιν, «ὅτι οὐκ ἔστιν, ὃς οὐχ ἁμαρτήσεταί σοι·[3] ἐὰν» γάρ, «ἀνομίας παρατηρήσῃ, κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν·[4]» 10. καὶ ἀποκατάστησον αὐτοὺς τῇ ἁγίᾳ σου ἐκκλησίᾳ ἐν τῇ προτέρᾳ ἀξίᾳ καὶ τιμῇ διὰ τοῦ Χριστοῦ, τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν, δι' οὗ σοι δόξα καὶ προσκύνησις ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. 11. καὶ ὁ διάκονος λεγέτω· Ἀπολύεσθε, οἱ ἐν μετανοίᾳ.

X. Καὶ προστιθέτω· 2. Μήτις τῶν μὴ δυναμένων προσελθέτω. ὅσοι πιστοί, κλίνωμεν γόνυ· δεηθῶμεν τοῦ θεοῦ διὰ τοῦ Χριστοῦ αὐτοῦ, πάντες συντόνως τὸν θεὸν διὰ τοῦ Χριστοῦ αὐτοῦ παρακαλέσωμεν. 3. ὑπὲρ τῆς εἰρήνης καὶ τῆς εὐσταθείας τοῦ κόσμου καὶ τῶν ἁγίων ἐκκλησιῶν δεηθῶμεν, ὅπως ὁ τῶν ὅλων θεὸς ἀΐδιον καὶ ἀναφαίρετον τὴν ἑαυτοῦ εἰρήνην ἡμῖν παράσχοιτο, ἵνα ἐν πληροφορίᾳ τῆς κατ' εὐσέβειαν ἀρετῆς διατελοῦντας ἡμᾶς συντηρήσῃ. 4. ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων δεηθῶμεν, ὅπως ὁ κύριος ἄσειστον αὐτὴν καὶ ἀκλυδώνιστον διαφυλάξῃ καὶ διατηρήσῃ «μέχρι τῆς συντελείας τοῦ αἰῶνος τεθεμελιωμένην ἐπὶ τὴν πέτραν.[5]» 5. καὶ ὑπὲρ τῆς ἐνθάδε ἁγίας παροικίας δεηθῶμεν, ὅπως καταξιώσῃ ἡμᾶς ὁ τῶν ὅλων κύριος ἀνενδότως τὴν ἐπουράνιον αὐτοῦ ἐλπίδα μεταδιώκειν καὶ ἀδιάλειπτον αὐτῷ τῆς δεήσεως ἀποδιδόναι τὴν ὀφειλήν. 6. ὑπὲρ πάσης ἐπισκοπῆς τῆς ὑπὸ τὸν οὐρανὸν τῶν «ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας[6]» δεηθῶμεν. 7. καὶ ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν Ἰακώβου καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν, ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν Κλήμεντος καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν, ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν Εὐοδίου καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν, ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν Ἀννιανοῦ καὶ τῶν παροικιῶν αὐτοῦ δεηθῶμεν, ὅπως ὁ οἰκτίρμων θεὸς χαρίσηται αὐτοὺς ταῖς ἁγίαις αὐτοῦ ἐκκλησίαις σώους, ἐντίμους, μακροημερεύοντας, καὶ «τίμιον» αὐτοῖς «τὸ γῆρας[7]» παράσχηται ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ. 8. καὶ ὑπὲρ τῶν πρεσβυτέρων ἡμῶν δεηθῶμεν, ὅπως ὁ κύριος ῥύσηται αὐτοὺς ἀπὸ παντὸς ἀτόπου καὶ πονηροῦ πράγματος καὶ σῶον καὶ ἔντιμον τὸ πρεσβυτέριον αὐτοῖς παράσχοι. 9. ὑπὲρ πάσης τῆς ἐν Χριστῷ διακονίας καὶ ὑπηρεσίας δεηθῶμεν, ὅπως ὁ κύριος ἄμεμπτον αὐτοῖς τὴν διακονίαν παράσχηται. 10. ὑπὲρ ἀναγνωστῶν, ψαλτῶν,

1. Ἰεζ. 33, 11. 2. Α' Τιμ. 2, 4. Λουκ. 15, 13, 20. 3. Γ' Βασ. 8, 46. 4. Ψαλμ. 129, 3, 4. 5. Ματθ. 28, 20. 7, 25. 6. Β' Τιμ. 2, 15. 7. Σοφ. Σολ. 4, 8.

παρθένων, χηρῶν τε καὶ ὀρφανῶν δεηθῶμεν, ὑπὲρ τῶν ἐν συζυγίαις καὶ τεκνογονίαις δεηθῶμεν, ὅπως ὁ κύριος τοὺς πάντας αὐτοὺς ἐλεήσῃ. 11. ὑπὲρ εὐνούχων ὁσίως πορευομένων δεηθῶμεν, ὑπὲρ τῶν ἐν ἐγκρατείᾳ καὶ εὐλαβείᾳ δεηθῶμεν. 12. ὑπὲρ τῶν καρποφορούντων ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ ποιούντων τοῖς πένησιν τὰς ἐλεημοσύνας δεηθῶμεν, καὶ ὑπὲρ τῶν τὰς θυσίας καὶ τὰς ἀπαρχὰς προσφερόντων κυρίῳ τῷ θεῷ ἡμῶν δεηθῶμεν, ὅπως ὁ πανάγαθος θεὸς ἀμείψηται αὐτοὺς ταῖς ἐπουρανίαις αὐτοῦ δωρεαῖς καὶ δῷ αὐτοῖς ἐν τῷ παρόντι ἑκατονταπλασίονα καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον, καὶ χαρίσηται αὐτοῖς ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια, ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια. 13. ὑπὲρ τῶν νεοφωτίστων ἀδελφῶν ἡμῶν δεηθῶμεν, ὅπως ὁ κύριος στηρίξῃ αὐτοὺς καὶ βεβαιώσῃ. 14. ὑπὲρ τῶν ἐν ἀρρωστίᾳ ἐξεταζομένων ἀδελφῶν ἡμῶν δεηθῶμεν, ὅπως ὁ κύριος ῥύσηται αὐτοὺς «πάσης νόσου καὶ πάσης μαλακίας [1]» καὶ σώους ἀποκαταστήσῃ τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ. 15. ὑπὲρ πλεόντων καὶ ὁδοιπορούντων δεηθῶμεν, ὑπὲρ τῶν ἐν μετάλλοις καὶ ἐξορίαις καὶ φυλακαῖς καὶ δεσμοῖς ὄντων διὰ τὸ ὄνομα τοῦ κυρίου δεηθῶμεν, ὑπὲρ τῶν ἐν πικρᾷ δουλείᾳ καταπονουμένων δεηθῶμεν. 16. ὑπὲρ ἐχθρῶν καὶ μισούντων ἡμᾶς δεηθῶμεν, ὑπὲρ τῶν «διωκόντων ἡμᾶς διὰ τὸ ὄνομα τοῦ κυρίου [2]» δεηθῶμεν, ὅπως ὁ κύριος πραΰνας τὸν θυμὸν αὐτῶν διασκεδάσῃ τὴν καθ' ἡμῶν ὀργήν. 17. ὑπὲρ τῶν ἔξω ὄντων καὶ πεπλανημένων δεηθῶμεν, ὅπως ὁ κύριος αὐτοὺς ἐπιστρέψῃ. 18. τῶν νηπίων τῆς ἐκκλησίας μνημονεύσωμεν, ὅπως ὁ κύριος τελειώσας αὐτὰ ἐν τῷ φόβῳ αὐτοῦ «εἰς μέτρον ἡλικίας [3]» ἀγάγοι. 19. ὑπὲρ ἀλλήλων δεηθῶμεν, ὅπως ὁ κύριος διατηρήσῃ ἡμᾶς καὶ φυλάξῃ τῇ αὐτοῦ χάριτι εἰς τέλος καὶ «ῥύσηται ἡμᾶς τοῦ πονηροῦ [4]» καὶ «πάντων τῶν σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν [5]» καὶ σώσῃ εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον. 20. ὑπὲρ πάσης ψυχῆς χριστιανῆς δεηθῶμεν. 21. σῶσον καὶ ἀνάστησον ἡμᾶς, ὁ θεός, τῷ ἐλέει σου. 22. ἐγειρώμεθα· δεηθέντες ἐκτενῶς ἑαυτοὺς καὶ ἀλλήλους τῷ ζῶντι θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ παραθώμεθα.

XI. Ἐπευχέσθω οὖν ὁ ἀρχιερεὺς καὶ λεγέτω. 2. Κύριε παντοκράτορ, «ὕψιστε ὁ ἐν ὑψηλοῖς κατοικῶν, ἅγιε ἐν ἁγίοις ἀναπαυόμενε [6]», ἄναρχε, μόναρχε, ὁ διὰ Χριστοῦ κήρυγμα γνώσεως δοὺς ἡμῖν εἰς ἐπίγνωσιν τῆς σῆς δόξης καὶ τοῦ ὀνόματός σου οὗ ἐφανέρωσεν ἡμῖν εἰς κατάληψιν· 3. αὐτὸς καὶ νῦν ἔπιδε δι' αὐτοῦ ἐπὶ τὸ ποίμνιόν σου τοῦτο καὶ λύτρωσαι αὐτὸ πάσης ἀγνοίας καὶ πονηρᾶς πράξεως, καὶ δὸς φόβῳ φοβεῖσθαί σε καὶ ἀγάπῃ ἀγαπᾶν σε καὶ στέλλεσθαι ἀπὸ προσώπου δόξης σου· 4. εὐμενὴς αὐτοῖς γενοῦ καὶ ἵλεως καὶ ἐπήκοος ἐν ταῖς προσευχαῖς αὐτῶν, καὶ φύλαξον αὐτοὺς ἀτρέπτους,

1. Ματθ. 4, 23. 2. Ματθ. 10, 22. 3. Ἐφ. 4, 13. 4. Ματθ. 6, 13. 5. Ψαλμ. 140, 9. 6. Ἠσ. 57, 15.

ἀμέμπτους, ἀνεγκλήτους, ἵνα ὦσιν ἅγιοι σώματι καὶ ψυχῇ, «μὴ ἔχοντες σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων[1]», ἀλλ' ἵνα ὦσιν ἄρτιοι καὶ μηδεὶς ἐν αὐτοῖς ᾖ κολοβὸς ἢ ἀτελής. 5. ἀρωγὲ δυνατὲ ἀπροσωπόληπτε, γενοῦ ἀντιλήπτωρ τοῦ λαοῦ σου τούτου, ὃν ἐξελέξω ἐκ μυριάδων, ὃν ἐξηγόρασας τῷ τιμίῳ τοῦ Χριστοῦ σου αἵματι, προστάτης, ἐπίκουρος, ταμίας, φύλαξ, τεῖχος ἐρυμνότατον, φραγμὸς ἀσφαλείας, ὅτι «ἐκ τῆς σῆς χειρὸς οὐδεὶς ἁρπάσαι δύναται·[2]» οὐδὲ γὰρ ἔστι θεὸς ὥσπερ σὺ ἕτερος, «ὅτι ἐν σοὶ ἡ ὑπομονὴ ἡμῶν. 6. ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου, ὅτι ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστιν[3]», ἀπροσχάριστε, ἀπαραλόγιστε· ῥῦσαι αὐτοὺς «πάσης νόσου καὶ πάσης μαλακίας[4]», παντὸς παραπτώματος, πάσης ἐπηρείας καὶ ἀπάτης, ἀπὸ «φόβου ἐχθροῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου·[5]» καὶ καταξίωσον αὐτοὺς τῆς αἰωνίου ζωῆς τῆς ἐν Χριστῷ σου, τῷ υἱῷ σου τῷ μονογενεῖ, τῷ θεῷ καὶ σωτῆρι ἡμῶν, δι' οὗ σοι δόξα καὶ σέβας ἐν ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. 7. Καὶ μετὰ τοῦτο λεγέτω ὁ διάκονος· Πρόσχωμεν. 8. καὶ ἀσπαζέσθω ὁ ἐπίσκοπος τὴν ἐκκλησίαν καὶ λεγέτω· Ἡ εἰρήνη τοῦ θεοῦ μετὰ πάντων ὑμῶν, καὶ ὁ λαὸς ἀποκρινάσθω· Καὶ μετὰ τοῦ πνεύματός σου. 9. καὶ ὁ διάκονος εἰπάτω πᾶσιν· «Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ[6]», καὶ ἀσπαζέσθωσαν οἱ τοῦ κλήρου τὸν ἐπίσκοπον, οἱ λαϊκοὶ ἄνδρες τοὺς λαϊκούς, αἱ γυναῖκες τὰς γυναῖκας. 10. τὰ παιδία δὲ στηκέτωσαν πρὸς τῷ βήματι, καὶ διάκονος αὐτοῖς ἕτερος ἔστω ἐφεστώς, ὅπως μὴ ἀτακτῶσιν· καὶ ἄλλοι διάκονοι περιπατείτωσαν καὶ σκοπείτωσαν τοὺς ἄνδρας καὶ τὰς γυναῖκας, ὅπως μὴ θόρυβός τις γένηται καὶ μή τις νεύσῃ ἢ ψιθυρίσῃ ἢ νυστάξῃ. 11. οἱ δὲ διάκονοι ἱστάσθωσαν εἰς τὰς τῶν ἀνδρῶν θύρας καὶ οἱ ὑποδιάκονοι εἰς τὰς τῶν γυναικῶν, ὅπως μή τις ἐξέλθοι μήτε ἀνοιχθείη ἡ θύρα, κἂν πιστός τις ᾖ, κατὰ τὸν καιρὸν τῆς ἀναφορᾶς. 12. εἷς δὲ ὑποδιάκονος διδότω ἀπόρρυψιν χειρῶν τοῖς ἱερεῦσιν, σύμβολον καθαρότητος ψυχῶν θεῷ ἀνακειμένων.

XII. Φημὶ δὴ κἀγὼ Ἰάκωβος, ὁ ἀδελφὸς Ἰωάννου τοῦ Ζεβεδαίου, ἵνα εὐθὺς ὁ διάκονος λέγῃ· Μή τις τῶν κατηχουμένων, μή τις τῶν ἀκροωμένων, μή τις τῶν ἀπίστων, μή τις τῶν ἑτεροδόξων. οἱ τὴν πρώτην εὐχὴν εὐχόμενοι προσέλθετε· τὰ παιδία προσλαμβάνεσθε, αἱ μητέρες· μή τις κατά τινος, μή τις ἐν ὑποκρίσει· ὀρθοὶ πρὸς κύριον μετὰ φόβου καὶ τρόμου ἑστῶτες ὦμεν προσφέρειν. 3. ὧν γενομένων οἱ διάκονοι προσαγέτωσαν τὰ δῶρα τῷ ἐπισκόπῳ πρὸς τὸ θυσιαστήριον, καὶ οἱ πρεσβύτεροι ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ εὐωνύμων στηκέτωσαν, ὡς ἂν μαθηταὶ παρεστῶτες διδασκάλῳ· δύο δὲ διάκονοι ἐξ ἑκατέρων τῶν μερῶν τοῦ θυσιαστηρίου κατεχέτωσαν ἐξ ὑμένων λεπτῶν ῥιπίδιον

1. Ἐφ. 5, 27. 2. Ἰω. 10, 29. 3. Ψαλμ. 61, 6. Ἰω. 17, 17. 4. Ματθ. 4, 23. 5. Ψαλμ. 63, 2. 90, 5-6. 6. Α' Κορ. 16, 20.

ἢ πτερὸν ταῶνος ἢ ὀθόνης, καὶ ἠρέμα ἀποσοβείτωσαν τὰ μικρὰ τῶν ἱπταμένων ζῴων, ὅπως ἂν μὴ ἐγχρίμπτωνται εἰς τὰ κύπελλα. 4. εὐξάμενος οὖν καθ' ἑαυτὸν ὁ ἀρχιερεὺς ἅμα τοῖς ἱερεῦσιν καὶ λαμπρὰν ἐσθῆτα μετενδὺς καὶ στὰς πρὸς τῷ θυσιαστηρίῳ, τὸ τρόπαιον τοῦ σταυροῦ κατὰ τοῦ μετώπου τῇ χειρὶ ποιησάμενος εἰπάτω· «Ἡ χάρις τοῦ παντοκράτορος θεοῦ καὶ ἡ ἀγάπη τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος ἔστω μετὰ πάντων ὑμῶν[1]», καὶ πάντες συμφώνως λεγέτωσαν, ὅτι Καὶ μετὰ τοῦ πνεύματός σου. 5. καὶ ὁ ἀρχιερεύς· Ἄνω τὸν νοῦν, καὶ πάντες· Ἔχομεν πρὸς τὸν κύριον. καὶ ὁ ἀρχιερεύς· Εὐχαριστήσωμεν τῷ κυρίῳ, καὶ πάντες· Ἄξιον καὶ δίκαιον. καὶ ὁ ἀρχιερεὺς εἰπάτω· 6. Ἄξιον ὡς ἀληθῶς καὶ δίκαιον πρὸ πάντων ἀνυμνεῖν σε τὸν ὄντως ὄντα θεὸν τὸν πρὸ τῶν γενητῶν ὄντα, «ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται[2]», τὸν μόνον ἀγέννητον καὶ ἄναρχον καὶ ἀβασίλευτον καὶ ἀδέσποτον, τὸν ἀνενδεῆ, τὸν παντὸς ἀγαθοῦ χορηγόν, τὸν πάσης αἰτίας καὶ γενέσεως κρείττονα, τὸν πάντοτε κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντα· «ἐξ οὗ τὰ πάντα[3]», καθάπερ ἔκ τινος ἀφετηρίας, εἰς τὸ εἶναι παρῆλθεν. 7. σὺ γὰρ εἶ ἡ ἄναρχος γνῶσις, ἡ ἀΐδιος ὅρασις, ἡ ἀγέννητος ἀκοή, ἡ ἀδίδακτος σοφία, ὁ πρῶτος τῇ φύσει καὶ μόνος τῷ εἶναι καὶ κρείττων παντὸς ἀριθμοῦ· ὁ τὰ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν διὰ τοῦ μονογενοῦς σου υἱοῦ, αὐτὸν δὲ πρὸ πάντων αἰώνων γεννήσας βουλήσει καὶ δυνάμει καὶ ἀγαθότητι ἀμεσιτεύτως, «υἱὸν μονογενῆ, λόγον θεόν[4]», σοφίαν ζῶσαν, «πρωτότοκον πάσης κτίσεως, ἄγγελον τῆς μεγάλης βουλῆς[5]» σου, ἀρχιερέα σόν, βασιλέα δὲ καὶ κύριον πάσης νοητῆς καὶ αἰσθητῆς φύσεως, «τὸν πρὸ πάντων, δι' οὗ τὰ πάντα.[6]» 8. σὺ γάρ, θεὲ αἰώνιε, δι' αὐτοῦ τὰ πάντα πεποίηκας καὶ δι' αὐτοῦ τῆς προσηκούσης προνοίας τὰ ὅλα ἀξιοῖς· δι' οὗ γὰρ τὸ εἶναι ἐχαρίσω, δι' αὐτοῦ καὶ τὸ εὖ εἶναι ἐδωρήσω· ὁ θεὸς καὶ πατὴρ τοῦ μονογενοῦς υἱοῦ σου, ὁ δι' αὐτοῦ πρὸ πάντων ποιήσας τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ, αἰῶνάς τε καὶ στρατιάς, δυνάμεις τε καὶ «ἐξουσίας, ἀρχάς τε καὶ θρόνους[7]», ἀρχαγγέλους τε καὶ ἀγγέλους, καὶ μετὰ ταῦτα πάντα ποιήσας δι' αὐτοῦ τὸν φαινόμενον τοῦτον κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ. 9. σὺ γὰρ εἶ «ὁ τὸν οὐρανὸν ὡς καμάραν στήσας[8]» καὶ «ὡς δέρριν ἐκτείνας[9]» καὶ «τὴν γῆν ἐπ' οὐδενὸς ἱδρύσας[10]» γνώμῃ μόνῃ, ὁ πήξας στερέωμα καὶ νύκτα καὶ ἡμέραν κατασκευάσας, ὁ ἐξαγαγὼν φῶς ἐκ θησαυρῶν καὶ τῇ τούτου συστολῇ ἐπαγαγὼν τὸ σκότος εἰς ἀνάπαυλαν τῶν ἐν τῷ κόσμῳ κινουμένων ζῴων, ὁ τὸν ἥλιον τάξας «εἰς ἀρχὰς τῆς ἡμέρας» ἐν οὐρανῷ καὶ τὴν σελήνην «εἰς ἀρχὰς τῆς νυκτὸς[11]» καὶ τὸν χορὸν τῶν ἀστέρων ἐν οὐρανῷ κατα-

---

1. Β' Κορ. 13, 13. 2. Ἐφ. 3, 15. 3. Α' Κορ. 8, 6. 4. Ἰω. 1, 1, 18. 5. Κολ. 1, 15. Ἡσ. 9, 6. 6. Κολ. 1, 17. Α' Κορ. 8, 6. 7. Κολ. 1, 16. 8. Ἡσ. 40, 22. 9. Ψαλμ. 103, 2. 10. Ἰὼβ 26, 7. 11. Γεν. 1, 16.

γράψας εἰς αἶνον τῆς σῆς μεγαλοπρεπείας· 10. ὁ ποιήσας ὕδωρ πρὸς πόσιν καὶ κάθαρσιν, ἀέρα ζωτικὸν πρὸς εἰσπνοὴν καὶ ἀναπνοὴν καὶ φωνῆς ἀπόδοσιν διὰ γλώττης πληττούσης τὸν ἀέρα καὶ ἀκοὴν συνεργουμένην ὑπ' αὐτοῦ ὡς ἐπαΐειν εἰσδεχομένην τὴν προσπίπτουσαν αὐτῇ λαλιάν· 11. ὁ ποιήσας πῦρ πρὸς σκότους παραμυθίαν, πρὸς ἐνδείας ἀναπλήρωσιν καὶ τὸ θερμαίνεσθαι ἡμᾶς καὶ φωτίζεσθαι ὑπ' αὐτοῦ· 12. ὁ τὴν μεγάλην θάλασσαν χωρίσας τῆς γῆς καὶ τὴν μὲν ἀναδείξας πλωτήν, τὴν δὲ ποσὶ βάσιμον ποιήσας, καὶ τὴν μὲν «ζῴοις μικροῖς καὶ μεγάλοις[1]» πληθύνας, τὴν δὲ ἡμέροις καὶ ἀτιθάσσοις πληρώσας, φυτοῖς τε διαφόροις στέψας καὶ βοτάναις στεφανώσας καὶ ἄνθεσι καλλύνας καὶ σπέρμασι πλουτίσας· 13. ὁ συστησάμενος ἄβυσσον καὶ μέγα κύτος αὐτῇ περιθείς, ἁλμυρῶν ὑδάτων σεσωρευμένα πελάγη, «περιφράξας δὲ αὐτὴν πύλαις[2]» ἄμμου λεπτοτάτης· ὁ πνεύμασί ποτε μὲν αὐτὴν κορυφῶν εἰς ὀρέων μέγεθος, ποτὲ δὲ στρωννύων αὐτὴν εἰς πεδίον, καί ποτε μὲν ἐκμαίνων χειμῶνι, ποτὲ δὲ πραΰνων γαλήνῃ ὡς ναυσιπόροις πλωτῆρσιν εὔκολον εἶναι πρὸς πορείαν· 14. ὁ ποταμοῖς διαζώσας τὸν ὑπὸ σοῦ διὰ Χριστοῦ γενόμενον κόσμον καὶ χειμάρροις ἐπικλύσας καὶ πηγαῖς ἀενάοις μεθύσας, ὄρεσιν δὲ περισφίγξας εἰς ἕδραν ἀτρεμῆ γῆς ἀσφαλεστάτην. 15. ἐπλήρωσας γάρ σου τὸν κόσμον καὶ διεκόσμησας αὐτὸν βοτάναις εὐόσμοις καὶ ἰασίμοις, ζῴοις πολλοῖς καὶ διαφόροις, ἀλκίμοις καὶ ἀσθενεστέροις, ἐδωδίμοις καὶ ἐνεργοῖς, ἡμέροις καὶ ἀτιθάσσοις, ἑρπετῶν συριγμοῖς, πτηνῶν ποικίλων κλαγγαῖς, ἐνιαυτῶν κύκλοις, μηνῶν καὶ ἡμερῶν ἀριθμοῖς, τροπῶν τάξεσιν, νεφῶν ὀμβροτόκων διαδρομαῖς εἰς καρπῶν γονὰς καὶ ζῴων σύστασιν, «σταθμὸν ἀνέμων[3]» διαπνεόντων ὅτε προσταχθῶσιν παρὰ σοῦ, τῶν φυτῶν καὶ τῶν βοτανῶν τὸ πλῆθος. 16. καὶ οὐ μόνον τὸν κόσμον ἐδημιούργησας, ἀλλὰ καὶ τὸν κοσμοπολίτην ἄνθρωπον ἐν αὐτῷ ἐποίησας, κόσμου κόσμον αὐτὸν ἀναδείξας· εἶπας γὰρ τῇ σῇ σοφίᾳ· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ.[4]» 17. διὸ καὶ πεποίηκας αὐτὸν ἐκ ψυχῆς ἀθανάτου καὶ σώματος σκεδαστοῦ, τῆς μὲν ἐκ τοῦ μὴ ὄντος, τοῦ δὲ ἐκ τῶν τεσσάρων στοιχείων· καὶ δέδωκας αὐτῷ κατὰ μὲν τὴν ψυχὴν τὴν λογικὴν διάγνωσιν, εὐσεβείας καὶ ἀσεβείας διάκρισιν, δικαίου καὶ ἀδίκου παρατήρησιν, κατὰ δὲ τὸ σῶμα τὴν πένταθλον ἐχαρίσω αἴσθησιν καὶ τὴν μεταβατικὴν κίνησιν. 18. σὺ γάρ, θεὲ παντοκράτορ, διὰ Χριστοῦ «παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς ἐφύτευσας[5]» παντοίων φυτῶν ἐδωδίμων κόσμῳ, καὶ ἐν αὐτῷ, ὡς ἂν ἐν ἑστίᾳ πολυτελεῖ, εἰσήγαγες αὐτόν, κἂν τῷ ποιεῖν νόμον δέδωκας αὐτῷ ἔμφυτον, ὅπως οἴκοθεν καὶ παρ' ἑαυτοῦ ἔχοι τὰ σπέρματα τῆς θεογνωσίας.

1. Ψαλμ. 103, 25. 2. Ἰὼβ 38, 8. 3. Ἰὼβ 28, 25. 4. Γεν. 1, 26. 5. Γεν. 2, 8.

19. εἰσαγαγὼν δὲ εἰς «τὸν τῆς τρυφῆς παράδεισον[1]», πάντων μὲν ἀνῆκας αὐτῷ τὴν ἐξουσίαν πρὸς μετάληψιν, ἑνὸς δὲ μόνου τὴν γεῦσιν ἀπεῖπας ἐπ' ἐλπίδι κρειττόνων, ἵνα, ἐὰν φυλάξῃ τὴν ἐντολήν, μισθὸν ταύτης τὴν ἀθανασίαν κομίσηται. 20. ἀμελήσαντα δὲ τῆς ἐντολῆς καὶ γευσάμενον ἀπηγορευμένου καρποῦ ἀπάτῃ ὄφεως καὶ συμβουλίᾳ γυναικὸς τοῦ μὲν παραδείσου δικαίως ἐξώσας αὐτόν, ἀγαθότητι δὲ εἰς τὸ παντελὲς ἀπολλύμενον οὐχ ὑπερεῖδες, σὸν γὰρ ἦν δημιούργημα, ἀλλὰ καθυποτάξας αὐτῷ τὴν κτίσιν δέδωκας αὐτῷ οἰκείοις ἱδρῶσιν καὶ πόνοις πορίζειν ἑαυτῷ τὴν τροφήν, σοῦ πάντα φύοντος καὶ αὔξοντος καὶ πεπαίνοντος· χρόνῳ δὲ πρὸς ὀλίγον αὐτὸν κοιμίσας ὅρκῳ εἰς παλιγγενεσίαν ἐκάλεσας, ὅρον θανάτου λύσας ζωὴν ἐξ ἀναστάσεως ἐπηγγείλω. 21. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοὺς ἐξ αὐτοῦ εἰς πλῆθος ἀνάριθμον χέας, τοὺς ἐμμείναντάς σοι ἐδόξασας, τοὺς δὲ ἀποστάντας σου ἐκόλασας, καὶ τοῦ μὲν Ἄβελ ὡς ὁσίου προσδεξάμενος τὴν θυσίαν, τοῦ δὲ ἀδελφοκτόνου Καϊν ἀποστραφεὶς τὸ δῶρον ὡς ἐναγοῦς· καὶ πρὸς τούτοις τὸν Σὴθ καὶ τὸν Ἐνὼς προσελάβου καὶ τὸν «Ἐνὼχ μετατέθεικας.[2]» 22. σὺ γὰρ εἶ ὁ δημιουργὸς τῶν ἀνθρώπων καὶ τῆς ζωῆς χορηγὸς καὶ τῆς ἐνδείας πληρωτὴς καὶ τῶν νόμων δοτὴρ καὶ τῶν φυλαττόντων αὐτοὺς μισθαποδότης καὶ τῶν παραβαινόντων αὐτοὺς ἔκδικος, ὁ τὸν μέγαν «κατακλυσμὸν ἐπαγαγὼν τῷ κόσμῳ[3]» διὰ τὸ πλῆθος τῶν ἀσεβησάντων, καὶ τὸν δίκαιον Νῶε ῥυσάμενος ἐκ τοῦ κατακλυσμοῦ ἐν λάρνακι σὺν «ὀκτὼ ψυχαῖς[4]», τέλος μὲν τῶν παρῳχηκότων, ἀρχὴν δὲ τῶν μελλόντων ἐπιγίνεσθαι· ὁ τὸ φοβερὸν πῦρ κατὰ τῆς σοδομηνῆς πενταπόλεως ἐξάψας καὶ «γῆν καρποφόρον εἰς ἅλμην θέμενος ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ[5]», καὶ τὸν ὅσιον Λὼτ ἐξαρπάσας τοῦ ἐμπρησμοῦ. 23. σὺ εἶ ὁ τὸν Ἀβραὰμ ῥυσάμενος προγονικῆς ἀσεβείας καὶ κληρονόμον τοῦ κόσμου καταστήσας καὶ ἐμφανίσας αὐτῷ τὸν Χριστόν σου, ὁ τὸν Μελχισεδὲκ ἀρχιερέα σῆς λατρείας προχειρισάμενος[6], τὸν πολύτλαν θεράποντά σου Ἰὼβ νικητὴν τοῦ ἀρχεκάκου ὄφεως ἀναδείξας, τὸν Ἰσαὰκ ἐπαγγελίας υἱὸν ποιησάμενος, τὸν Ἰακὼβ πατέρα δώδεκα παίδων καὶ τοὺς ἐξ αὐτοῦ εἰς πλῆθος χέας καὶ εἰσαγαγὼν εἰς Αἴγυπτον ἐν «ἑβδομήκοντα πέντε ψυχαῖς.[7]» 24. σύ, κύριε, τὸν Ἰωσὴφ οὐχ ὑπερεῖδες, ἀλλὰ μισθὸν τῆς διὰ σὲ σωφροσύνης ἔδωκας αὐτῷ τὸ τῶν Αἰγυπτίων ἄρχειν· σύ, κύριε, Ἑβραίους ὑπὸ Αἰγυπτίων καταπονουμένους οὐ περιεῖδες διὰ τὰς πρὸς τοὺς πατέρας αὐτῶν ἐπαγγελίας, ἀλλ' ἐρρύσω, κολάσας Αἰγυπτίους. 25. παραφθειράντων δὲ τῶν ἀνθρώπων τὸν φυσικὸν νόμον καὶ τὴν κτίσιν ποτὲ μὲν αὐτόματον νομισάντων, ποτὲ δὲ πλεῖον ἢ δεῖ τιμησάντων καὶ σοί, τῷ θεῷ τῶν πάντων, συνταττόντων, οὐκ εἴασας πλανᾶσθαι, ἀλλὰ ἀναδείξας τὸν ἅγιόν σου θεράποντα Μωϋσῆν,

1. Γεν. 2, 15. 2. Γεν. 5, 24. 3. Β' Πέτρ. 2, 5. 4. Α' Πέτρ. 3, 20. 5. Ψαλμ. 106, 34. 6. Πρβλ. Γεν. 14, 18. 7. Πρβλ. Γεν. 46, 27.

δι' αὐτοῦ πρὸς βοήθειαν τοῦ φυσικοῦ τὸν γραπτὸν νόμον δέδωκας, καὶ τὴν κτίσιν ἔδειξας σὸν ἔργον εἶναι, τὴν δὲ πολύθεον πλάνην ἐξώρισας· τὸν Ἀαρὼν καὶ τοὺς ἐξ αὐτοῦ ἱερατικῇ τιμῇ ἐδόξασας, Ἑβραίους ἁμαρτόντας ἐκόλασας, ἐπιστρέφοντας ἐδέξω. 26. τοὺς Αἰγυπτίους δεκαπλήγῳ ἐτιμωρήσω, θάλασσαν διελὼν Ἰσραηλίτας διεβίβασας, Αἰγυπτίους ἐπιδιώξαντας ὑποβρυχίους ἀπώλεσας, ξύλῳ πικρὸν ὕδωρ ἐγλύκανας, ἐκ πέτρας ἀκροτόμου ὕδωρ ἀνέχεας, ἐξ οὐρανοῦ τὸ μάννα ὕσας, τροφὴν ἐξ ἀέρος ὀρτυγομήτραν, «στῦλον πυρὸς τὴν νύκτα πρὸς φωτισμὸν καὶ στῦλον νεφέλης ἡμέρας[1]» πρὸς σκιασμὸν θάλπους· τὸν Ἰησοῦν στρατηγὸν ἀναδείξας, ἑπτὰ ἔθνη Χαναναίων δι' αὐτοῦ καθεῖλες, Ἰορδάνην «διέρρηξας, τοὺς ποταμοὺς Ἠθὰμ ἐξήρανας[2]», τείχη κατέρρηξας ἄνευ μηχανημάτων καὶ χειρὸς ἀνθρωπίνης. 27. ὑπὲρ ἁπάντων σοι ἡ δόξα, δέσποτα παντοκράτορ. σὲ προσκυνοῦσιν ἀνάριθμοι στρατιαὶ ἀγγέλων, ἀρχαγγέλων, «θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν[3]», δυνάμεων, στρατιῶν αἰωνίων· «τὰ Χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ ταῖς μὲν δυσὶν κατακαλύπτοντα τοὺς πόδας, ταῖς δὲ δυσὶ τὰς κεφαλάς, ταῖς δὲ δυσὶ πετόμενα[4]», καὶ λέγοντα ἅμα χιλίαις χιλιάσιν ἀρχαγγέλων καὶ μυρίαις μυριάσιν ἀγγέλων[5] ἀκαταπαύστως καὶ ἀσιγήτως βοώσαις, καὶ πᾶς ὁ λαὸς ἅμα εἰπάτω· «Ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ· εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν.[6]» 28. Καὶ ὁ ἀρχιερεὺς ἑξῆς λεγέτω· 19. Ἅγιος γὰρ εἶ ὡς ἀληθῶς καὶ πανάγιος, ὕψιστος «καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.[7]» 30. ἅγιος δὲ καὶ ὁ μονογενής σου υἱός, ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς ὁ Χριστός, ὃς εἰς πάντα ὑπηρετησάμενός σοι τῷ θεῷ αὐτοῦ καὶ πατρὶ εἴς τε δημιουργίαν διάφορον καὶ πρόνοιαν κατάλληλον οὐ περιεῖδεν τὸ γένος τῶν ἀνθρώπων ἀπολλύμενον, ἀλλὰ μετὰ φυσικὸν νόμον, μετὰ νομικὴν παραίνεσιν, μετὰ προφητικοὺς ἐλέγχους καὶ τὰς τῶν ἀγγέλων ἐπιστασίας (παραφθειρόντων σὺν τῷ θετῷ καὶ τὸν φυσικὸν νόμον καὶ τῆς μνήμης ἐκβαλλόντων τὸν κατακλυσμόν, τὴν ἐκπύρωσιν, τὰς κατ' Αἰγυπτίων πληγάς, τὰς κατὰ Παλαιστινῶν σφαγάς, καὶ μελλόντων ὅσον οὐδέπω ἀπόλλυσθαι πάντων) εὐδόκησεν αὐτὸς γνώμῃ σῇ ὁ δημιουργὸς ἀνθρώπου ἄνθρωπος γενέσθαι, ὁ νομοθέτης ὑπὸ νόμους, ὁ ἀρχιερεὺς ἱερεῖον, ὁ ποιμὴν πρόβατον· 31. καὶ ἐξευμενίσατό σε τὸν ἑαυτοῦ θεὸν καὶ πατέρα καὶ τῷ κόσμῳ κατήλλαξεν καὶ τῆς ἐπικειμένης ὀργῆς τοὺς πάντας ἠλευθέρωσεν γενόμενος ἐκ παρθένου, «γενόμενος ἐν σαρκὶ ὁ θεὸς λόγος, ὁ ἀγαπητὸς υἱός, ὁ πρωτότοκος πάσης κτίσεως[8]», κατὰ τὰς περὶ αὐτοῦ ὑπ' αὐτοῦ προρρηθείσας προφητείας «ἐκ σπέρματος Δαυὶδ[9]» καὶ Ἀβραάμ, φυλῆς Ἰούδα· καὶ

1. Νεεμ. 9, 19. 2. Ψαλμ. 73, 15. 3. Κολ. 1, 16. 4. Ἠσ. 6, 2. 5. Πρβλ. Δαν. 7, 10. 6. Ἠσ. 6, 3. Ῥωμ. 1, 25. 7. Δαν. 3, 28. 8. Ἰω. 1, 1, 14. Ματθ. 3, 17. Κολ. 1, 15. 9. Ῥωμ. 1, 3.

γέγονεν ἐν μήτρᾳ παρθένου ὁ διαπλάσσων πάντας τοὺς γεννωμένους, καὶ ἐσαρκώθη ὁ ἄσαρκος, ὁ ἀχρόνως γεννηθεὶς ἐν χρόνῳ γεγέννηται. 32. πολιτευσάμενος ὁσίως καὶ παιδεύσας ἐνθέσμως, «πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν[1]» ἐξ ἀνθρώπων ἀπελάσας, «σημεῖά τε καὶ τέρατα ἐν τῷ λαῷ[2]» ποιήσας, τροφῆς καὶ ποτοῦ καὶ ὕπνου μεταλαβὼν ὁ τρέφων πάντας τοὺς χρῄζοντας τροφῆς «καὶ ἐμπιπλῶν πᾶν ζῷον εὐδοκίας, ἐφανέρωσέν σου τὸ ὄνομα[3]» τοῖς ἀγνοοῦσιν αὐτό, τὴν ἄγνοιαν ἐφυγάδευσεν, τὴν εὐσέβειαν ἀνεζωπύρωσεν, τὸ θέλημά σου ἐπλήρωσεν, «τὸ ἔργον ὃ ἔδωκας αὐτῷ ἐτελείωσεν.[4]» 33. καὶ ταῦτα πάντα κατορθώσας, χερσὶν ἀνόμων κατασχεθεὶς ἱερέων καὶ ἀρχιερέων ψευδωνύμων καὶ λαοῦ παρανόμου προδοσίᾳ τοῦ τὴν κακίαν νοσήσαντος καὶ πολλὰ παθὼν ὑπ' αὐτῶν καὶ πᾶσαν ἀτιμίαν ὑποστὰς σῇ συγχωρήσει, παραδοθεὶς Πιλάτῳ τῷ ἡγεμόνι καὶ κριθεὶς ὁ κριτὴς καὶ κατακριθεὶς ὁ σωτήρ, σταυρῷ προσηλώθη ὁ ἀπαθὴς καὶ ἀπέθανεν ὁ τῇ φύσει ἀθάνατος καὶ ἐτάφη ὁ ζωοποιός, ἵνα πάθους λύσῃ καὶ θανάτου ἐξέληται τούτους, δι' οὓς παρεγένετο, καὶ ῥήξῃ τὰ δεσμὰ τοῦ διαβόλου καὶ ῥύσηται τοὺς ἀνθρώπους ἐκ τῆς ἀπάτης αὐτοῦ. 34. καὶ ἀνέστη ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ τεσσαράκοντα ἡμέρας ἐνδιατρίψας τοῖς μαθηταῖς, «ἀνελήφθη εἰς τοὺς οὐρανοὺς καὶ ἐκαθέσθη ἐκ δεξιῶν σου τοῦ θεοῦ[5]» καὶ πατρὸς αὐτοῦ. 35. μεμνημένοι οὖν ὧν δι' ἡμᾶς ὑπέμεινεν, εὐχαριστοῦμέν σοι, θεὲ παντοκράτορ, οὐχ ὅσον ὀφείλομεν, ἀλλ' ὅσον δυνάμεθα, καὶ τὴν διάταξιν αὐτοῦ πληροῦμεν. 36. «ἐν ᾗ γὰρ νυκτὶ παρεδίδοτο, λαβὼν ἄρτον[6]» ταῖς ἁγίαις καὶ ἀμώμοις αὐτοῦ χερσὶν καὶ ἀναβλέψας πρὸς σέ, τὸν θεὸν αὐτοῦ καὶ πατέρα, «καὶ κλάσας ἔδωκεν τοῖς μαθηταῖς[7]» εἰπών· «Τοῦτο τὸ μυστήριον τῆς καινῆς διαθήκης, λάβετε» ἐξ αὐτοῦ, «φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου[8]» τὸ περὶ πολλῶν θρυπτόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. 37. «ὡσαύτως καὶ τὸ ποτήριον[9]» κεράσας ἐξ οἴνου καὶ ὕδατος καὶ ἁγιάσας ἐπέδωκεν αὐτοῖς λέγων· «Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἐὰν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ πίνητε τὸ ποτήριον τοῦτο, τὸν θάνατον τὸν ἐμὸν καταγγέλλετε, ἄχρις ἂν ἔλθω.[10]» 38. μεμνημένοι τοίνυν τοῦ πάθους αὐτοῦ καὶ τοῦ θανάτου καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως καὶ τῆς εἰς οὐρανοὺς ἐπανόδου καὶ τῆς μελλούσης αὐτοῦ δευτέρας παρουσίας, ἐν ᾗ «ἔρχεται μετὰ δόξης καὶ δυνάμεως κρῖναι ζῶντας καὶ νεκροὺς» καὶ «ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ[11]», προσφέρομέν σοι, τῷ βασιλεῖ καὶ θεῷ, κατὰ τὴν αὐτοῦ διάταξιν τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο, «εὐχαρι-

---

1. Ματθ. 4, 23. 2. Πράξ. 5, 12. 3. Ψάλμ. 144, 16. Ἰω. 17, 6. 4. Ἰω. 17, 4. 5. Μάρκ. 16, 19. 6. Α΄ Κορ. 11, 23. 7. Ματθ. 26, 26. 8. Α΄ Κορ, 11, 25. Ματθ. 26, 27. 9. Α΄ Κορ. 11, 25. 10. Ματθ. 26, 27-28. Α΄ Κορ. 11, 26. 11. Μάρκ. 13, 26. Ῥωμ. 2, 6.

στοῦντές σοι δι' αὐτοῦ[1]» ἐφ' οἷς κατηξίωσας ἡμᾶς ἑστάναι ἐνώπιόν σου καὶ ἱερατεύειν σοι· 39. καὶ ἀξιοῦμεν σε, ὅπως εὐμενῶς ἐπιβλέψῃς ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα ἐνώπιόν σου, σὺ ὁ ἀνενδεὴς θεός, καὶ εὐδοκήσῃς ἐπ' αὐτοῖς εἰς τιμὴν τοῦ Χριστοῦ σου καὶ καταπέμψῃς τὸ ἅγιόν σου πνεῦμα ἐπὶ τὴν θυσίαν ταύτην, «τὸν μάρτυρα τῶν παθημάτων τοῦ κυρίου Ἰησοῦ[2]», ὅπως ἀποφήνῃ τὸν ἄρτον τοῦτον σῶμα τοῦ Χριστοῦ σου καὶ τὸ ποτήριον τοῦτο αἷμα τοῦ Χριστοῦ σου· ἵνα οἱ μεταλαβόντες αὐτοῦ βεβαιωθῶσιν πρὸς εὐσέβειαν, ἀφέσεως ἁμαρτημάτων τύχωσιν, τοῦ διαβόλου καὶ τῆς πλάνης αὐτοῦ ῥυσθῶσιν, πνεύματος ἁγίου πληρωθῶσιν, ἄξιοι τοῦ Χριστοῦ σου γένωνται, ζωῆς αἰωνίου τύχωσιν, σοῦ καταλλαγέντος αὐτοῖς, δέσποτα παντοκράτορ. 40. ἔτι δεόμεθά σου, κύριε, καὶ ὑπὲρ τῆς ἁγίας σου ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων, «ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι[3]» τοῦ Χριστοῦ σου, ὅπως αὐτὴν διαφυλάξῃς ἄσειστον καὶ ἀκλυδώνιστον «ἄχρι τῆς συντελείας τοῦ αἰῶνος·[4]» καὶ ὑπὲρ πάσης ἐπισκοπῆς «τῆς ὀρθοτομούσης τὸν λόγον τῆς ἀληθείας.[5]» 41. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῆς ἐμῆς τοῦ προσφέροντός σοι οὐδενίας καὶ ὑπὲρ παντὸς τοῦ πρεσβυτερίου, ὑπὲρ τῶν διακόνων καὶ παντὸς τοῦ κλήρου, ἵνα πάντας σοφίσας πνεύματος ἁγίου πληρώσῃς. 42. ἔτι «παρακαλοῦμέν» σε, κύριε, «ὑπὲρ τοῦ βασιλέως καὶ τῶν ἐν ὑπεροχῇ[6]» καὶ παντὸς τοῦ στρατοπέδου, ἵνα εἰρηνεύωνται τὰ πρὸς ἡμᾶς, ὅπως ἐν ἡσυχίᾳ καὶ ὁμονοίᾳ διάγοντες τὸν πάντα χρόνον τῆς ζωῆς ἡμῶν δοξάζωμέν σε διὰ «Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν.[7]» 43. ἔτι προσφέρομέν σοι καὶ ὑπὲρ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων σοι ἁγίων, πατριαρχῶν, προφητῶν, δικαίων, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, ἐπισκόπων, πρεσβυτέρων, διακόνων, ὑποδιακόνων, ἀναγνωστῶν, ψαλτῶν, παρθένων, χηρῶν, λαϊκῶν καὶ πάντων ὧν αὐτὸς ἐπίστασαι τὰ ὀνόματα. 44. ἔτι προσφέρομέν σοι ὑπὲρ τοῦ λαοῦ τούτου, ἵνα ἀναδείξῃς αὐτὸν εἰς ἔπαινον τοῦ Χριστοῦ σου «βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον·[8]» ὑπὲρ τῶν ἐν παρθενίᾳ καὶ ἁγνείᾳ, ὑπὲρ τῶν χηρῶν τῆς ἐκκλησίας, ὑπὲρ τῶν ἐν σεμνοῖς γάμοις καὶ τεκνογονίαις, ὑπὲρ τῶν νηπίων τοῦ λαοῦ σου, ὅπως μηδένα ἡμῶν ἀπόβλητον ποιήσῃς. 45. ἔτι ἀξιοῦμέν σε καὶ ὑπὲρ τῆς πόλεως ταύτης καὶ τῶν ἐνοικούντων, ὑπὲρ τῶν ἐν ἀρρωστίαις, ὑπὲρ τῶν ἐν πικρᾷ δουλείᾳ, ὑπὲρ τῶν ἐν ἐξορίαις, ὑπὲρ τῶν ἐν δημεύσει, ὑπὲρ πλεόντων καὶ ὁδοιπορούντων, ὅπως πάντων ἐπίκουρος γένῃ, πάντων «βοηθὸς καὶ ἀντιλήπτωρ.[9]» 46. ἔτι παρακαλοῦμέν σε ὑπὲρ τῶν «μισούντων ἡμᾶς καὶ διωκόντων ἡμᾶς διὰ τὸ ὄνομά σου[10]», ὑπὲρ τῶν ἔξω ὄντων καὶ πεπλανημένων, ὅπως ἐπιστρέψῃς αὐτοὺς εἰς ἀγαθὸν καὶ τὸν θυμὸν αὐτῶν πραΰνῃς. 47. ἔτι παρα-

---

1. Κολ. 3, 17. 2. Πρβλ. Α' Πέτρ. 5, 1. 3. Πράξ. 20, 28. 4. Ματθ. 28, 20. 5. Β' Τιμ. 2, 15. 6. Α' Τιμ. 2, 1, 2. 7. Α' Τιμ. 1, 1. 8. Α' Πέτρ. 2, 9. 9. Ψαλμ. 118, 114. 10. Ματθ. 10, 22.

καλοῦμέν σε καὶ ὑπὲρ τῶν κατηχουμένων τῆς ἐκκλησίας καὶ ὑπὲρ τῶν χειμαζομένων ὑπὸ τοῦ ἀλλοτρίου καὶ ὑπὲρ τῶν ἐν μετανοίᾳ ἀδελφῶν ἡμῶν, ὅπως τοὺς μὲν τελειώσης ἐν τῇ πίστει, τοὺς δὲ καθαρίσης ἐκ τῆς ἐνεργείας τοῦ πονηροῦ, τῶν δὲ τὴν μετάνοιαν προσδέξη, καὶ συγχωρήσης καὶ αὐτοῖς καὶ ἡμῖν τὰ παραπτώματα ἡμῶν.

48. ἔτι προσφέρομέν σοι καὶ ὑπὲρ τῆς εὐκρασίας τοῦ ἀέρος καὶ τῆς εὐφορίας τῶν καρπῶν, ὅπως ἀνελλειπῶς μεταλαμβάνοντες τῶν παρὰ σοῦ ἀγαθῶν αἰνῶμέν σε ἀπαύστως «τὸν διδόντα τροφὴν πάσῃ σαρκί.[1]»

49. ἔτι παρακαλοῦμέν σε καὶ ὑπὲρ τῶν δι' εὔλογον αἰτίαν ἀπόντων, ὅπως ἅπαντας ἡμᾶς διατηρήσας ἐν τῇ εὐσεβείᾳ ἐπισυναγάγῃς ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ σου, τοῦ θεοῦ πάσης αἰσθητῆς καὶ νοητῆς φύσεως, τοῦ βασιλέως ἡμῶν, ἀτρέπτους, ἀμέμπτους, ἀνεγκλήτους. 50. ὅτι σοὶ πᾶσα δόξα, σέβας καὶ εὐχαριστία, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀνελλειπεῖς καὶ ἀτελευτήτους αἰῶνας τῶν αἰώνων.

51. καὶ πᾶς ὁ λαὸς λεγέτω· Ἀμήν.

XIII. Καὶ ὁ ἐπίσκοπος εἰπάτω· Ἡ εἰρήνη τοῦ θεοῦ εἴη μετὰ πάντων ὑμῶν, καὶ πᾶς ὁ λαὸς λεγέτω· Καὶ μετὰ τοῦ πνεύματός σου. 2. καὶ ὁ διάκονος κηρυσσέτω πάλιν· 3. Ἔτι καὶ ἔτι δεηθῶμεν τοῦ θεοῦ διὰ τοῦ Χριστοῦ αὐτοῦ· ὑπὲρ τοῦ δώρου τοῦ προσκομισθέντος κυρίῳ τῷ θεῷ ἡμῶν δεηθῶμεν, ὅπως ὁ ἀγαθὸς θεὸς προσδέξηται αὐτὸ διὰ τῆς μεσιτείας τοῦ Χριστοῦ αὐτοῦ εἰς τὸ ἐπουράνιον αὐτοῦ θυσιαστήριον «εἰς ὀσμὴν εὐωδίας.[2]» 4. ὑπὲρ τῆς ἐκκλησίας ταύτης καὶ τοῦ λαοῦ δεηθῶμεν· ὑπὲρ πάσης ἐπισκοπῆς, παντὸς πρεσβυτερίου, πάσης τῆς ἐν Χριστῷ διακονίας καὶ ὑπηρεσίας, παντὸς τοῦ πληρώματος τῆς ἐκκλησίας δεηθῶμεν, ὅπως ὁ κύριος πάντας διατηρήσῃ καὶ διαφυλάξῃ. 5. «ὑπὲρ βασιλέων καὶ τῶν ἐν ὑπεροχῇ δεηθῶμεν[3]», ἵνα εἰρηνεύωνται τὰ πρὸς ἡμᾶς, «ὅπως ἤρεμον καὶ ἡσύχιον βίον ἔχοντες διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.[4]» 6. τῶν ἁγίων μαρτύρων μνημονεύσωμεν, ὅπως κοινωνοὶ γενέσθαι τῆς ἀθλήσεως αὐτῶν καταξιωθῶμεν· ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων δεηθῶμεν. 7. ὑπὲρ τῆς εὐκρασίας τῶν ἀέρων καὶ τελεσφορίας τῶν καρπῶν δεηθῶμεν. 8. ὑπὲρ τῶν νεοφωτίστων δεηθῶμεν, ὅπως βεβαιωθῶσιν ἐν τῇ πίστει· πάντες ὑπὲρ ἀλλήλων παρακαλέσωμεν. 9. ἀνάστησον ἡμᾶς, ὁ θεός, ἐν τῇ χάριτί σου. ἀναστάντες ἑαυτοὺς τῷ θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ παραθώμεθα. 10. καὶ ὁ ἐπίσκοπος λεγέτω· «Ὁ θεὸς ὁ μέγας καὶ μεγαλώνυμος, ὁ μέγας τῇ βουλῇ καὶ κραταιὸς τοῖς ἔργοις[5]», ὁ θεὸς καὶ πατὴρ «τοῦ ἁγίου παιδός σου Ἰησοῦ[6]» τοῦ σωτῆρος ἡμῶν, ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸ ποίμνιόν σου τοῦτο, ὃ δι' αὐτοῦ ἐξελέξω εἰς δόξαν τοῦ ὀνόματός σου· καὶ ἁγιάσας ἡμῶν τὸ σῶμα καὶ τὴν

1. Ψαλμ. 135, 25. 2. Ἐφ. 5, 2. 3. Α' Τιμ. 2, 1, 2. 4. Α' Τιμ. 2, 2. 5. Ἰερ. 39, 19. Πράξ. 4. 27, 30.

ψυχὴν καταξίωσον, «καθαροὺς γενομένους ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος[1]», τυχεῖν τῶν προκειμένων ἀγαθῶν· καὶ μηδένα ἡμῶν ἀνάξιον κρίνης, ἀλλὰ βοηθὸς ἡμῶν γενοῦ, ἀντιλήπτωρ, ὑπερασπιστὴς διὰ τοῦ Χριστοῦ σου, μεθ' οὗ σοὶ δόξα, τιμή, αἶνος, δοξολογία, εὐχαριστία καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν·. 11. καὶ μετὰ τὸ πάντας εἰπεῖν· Ἀμήν, ὁ διάκονος λεγέτω· Πρόσχωμεν. 12. καὶ ὁ ἐπίσκοπος προσφωνησάτω τῷ λαῷ οὕτω· Τὰ ἅγια τοῖς ἁγίοις. 13. καὶ ὁ λαὸς ὑπακουέτω· Εἷς ἅγιος, εἷς κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν θεοῦ πατρὸς εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας· ἀμήν. «Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· ὡσαννὰ τῷ υἱῷ Δαυίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου θεὸς κύριος καὶ ἐπεφάνη ἐν ἡμῖν, ὡσαννὰ ἐν τοῖς ὑψίστοις.[2]» 14. καὶ μετὰ τοῦτο μεταλαμβανέτω ὁ ἐπίσκοπος, ἔπειτα οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι καὶ οἱ ὑποδιάκονοι καὶ οἱ ἀναγνῶσται καὶ οἱ ψάλται καὶ οἱ ἀσκηταί, καὶ ἐν ταῖς γυναιξὶν αἱ διάκονοι καὶ αἱ παρθένοι καὶ αἱ χῆραι, εἶτα τὰ παιδία, καὶ τότε πᾶς ὁ λαὸς κατὰ τάξιν μετὰ αἰδοῦς καὶ εὐλαβείας ἄνευ θορύβου. 15. καὶ ὁ μὲν ἐπίσκοπος διδότω τὴν προσφορὰν λέγων· Σῶμα Χριστοῦ, καὶ ὁ δεχόμενος λεγέτω· Ἀμήν· ὁ δὲ διάκονος κατεχέτω τὸ ποτήριον καὶ ἐπιδιδοὺς λεγέτω· Αἷμα Χριστοῦ, ποτήριον ζωῆς, καὶ ὁ πίνων λεγέτω· Ἀμήν. 16. ψαλμὸς δὲ λεγέσθω λγ' ἐν τῷ μεταλαμβάνειν πάντας τοὺς λοιπούς. 17. καὶ ὅταν πάντες μεταλάβωσιν καὶ πᾶσαι, λαβόντες οἱ διάκονοι τὰ περισσεύσαντα εἰσφερέτωσαν εἰς τὰ παστοφόρια.

XIV. Καὶ ὁ διάκονος λεγέτω παυσαμένου τοῦ ψάλλοντος· 2. Μεταλαβόντες τοῦ τιμίου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Χριστοῦ εὐχαριστήσωμεν τῷ καταξιώσαντι ἡμᾶς μεταλαβεῖν τῶν ἁγίων αὐτοῦ μυστηρίων, καὶ παρακαλέσωμεν μὴ εἰς κρίμα[3], ἀλλ' εἰς σωτηρίαν ἡμῖν γενέσθαι, εἰς ὠφέλειαν ψυχῆς καὶ σώματος, εἰς φυλακὴν εὐσεβείας, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ζωὴν τοῦ μέλλοντος αἰῶνος. 3. ἐγειρώμεθα· ἐν χάριτι Χριστοῦ ἑαυτοὺς τῷ μόνῳ ἀγεννήτῳ θεῷ καὶ τῷ Χριστῷ αὐτοῦ παραθώμεθα.

XV. Καὶ ὁ ἐπίσκοπος εὐχαριστείτω· 2. Δέσποτα ὁ θεὸς ὁ παντοκράτωρ, ὁ πατὴρ τοῦ Χριστοῦ σου τοῦ εὐλογητοῦ παιδός, ὁ τῶν μετ' εὐθύτητος ἐπικαλουμένων σε ἐπήκοος, ὁ καὶ τῶν σιωπώντων ἐπιστάμενος τὰς ἐντεύξεις· εὐχαριστοῦμέν σοι, ὅτι κατηξίωσας ἡμᾶς μεταλαβεῖν τῶν ἁγίων σου μυστηρίων, ἃ παρέσχου ἡμῖν εἰς πληροφορίαν τῶν καλῶς ἐγνωσμένων, εἰς φυλακὴν τῆς εὐσεβείας, εἰς ἄφεσιν πλημμελημάτων, ὅτι τὸ ὄνομα τοῦ Χριστοῦ σου ἐπικέκληται ἐφ' ἡμᾶς καὶ σοὶ προσῳκειώμεθα. 3. ὁ χωρίσας ἡμᾶς τῆς τῶν ἀσεβῶν κοινωνίας, ἕνωσον ἡμᾶς μετὰ τῶν καθωσιωμένων σοι, στήριξον ἡμᾶς

1. Β' Κορ. 7, 1. 2. Λουκ. 2, 19. Ματθ. 21, 9. Ψαλμ. 117, 27. 3. Πρβλ. Α' Κορ. 11, 29.

ἐν τῇ ἀληθείᾳ τῇ τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσει, τὰ ἀγνοούμενα ἀποκάλυψον, τὰ λείποντα προσαναπλήρωσον, τὰ ἐγνωσμένα κράτυνον. 4. τοὺς ἱερεῖς ἀμώμους διαφύλαξον ἐν τῇ λατρείᾳ σου, τοὺς βασιλεῖς διατήρησον ἐν εἰρήνῃ, τοὺς ἄρχοντας ἐν δικαιοσύνῃ, τοὺς ἀέρας ἐν εὐκρασίᾳ, τοὺς καρποὺς ἐν εὐφορίᾳ, τὸν κόσμον ἐν παναλκεῖ προνοίᾳ· τὰ ἔθνη τὰ πολεμικὰ πράϋνον, τὰ πεπλανημένα ἐπίστρεψον. 5. τὸν λαόν σου ἁγίασον, τοὺς ἐν παρθενίᾳ διατήρησον, τοὺς ἐν γάμῳ διαφύλαξον ἐν πίστει, τοὺς ἐν ἁγνείᾳ ἐνδυνάμωσον, τὰ νήπια ἅδρυνον, τοὺς νεοτελεῖς βεβαίωσον, τοὺς ἐν κατηχήσει παίδευσον καὶ τῆς μυήσεως ἀξίους ἀνάδειξον, καὶ πάντας ἡμᾶς ἐπισυνάγαγε εἰς τὴν τῶν οὐρανῶν βασιλείαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ σοὶ δόξα, τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. 6. καὶ ὁ διάκονος λεγέτω· Τῷ θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ κλίνατε καὶ εὐλογεῖσθε. 7. καὶ ὁ ἐπίσκοπος ἐπευχέσθω λέγων· Ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ἀληθινὸς καὶ ἀσύγκριτος, ὁ πανταχοῦ ὢν καὶ τοῖς πᾶσι παρὼν καὶ ἐν οὐδενὶ ὡς ἐνόν τι ὑπάρχων, ὁ τόποις μὴ περιγραφόμενος, ὁ χρόνοις μὴ παλαιούμενος, ὁ αἰῶσιν μὴ περατούμενος, ὁ λόγοις μὴ παραγόμενος, ὁ γενέσει μὴ ὑποκείμενος, ὁ φυλακῆς μὴ δεόμενος, ὁ φθορᾶς ἀνώτερος, ὁ τροπῆς ἀνεπίδεκτος, ὁ φύσει ἀναλλοίωτος, «ὁ φῶς οἰκῶν ἀπρόσιτον[1]», ὁ τῇ φύσει ἀόρατος, ὁ γνωστὸς πάσαις ταῖς μετ' εὐνοίας ἐκζητούσαις σε λογικαῖς φύσεσιν, ὁ καταλαμβανόμενος ὑπὸ τῶν ἐν εὐνοίᾳ ἐπιζητούντων σε, ὁ θεὸς Ἰσραὴλ τοῦ ἀληθινῶς ὁρῶντος, τοῦ εἰς Χριστὸν πιστεύσαντος λαοῦ σου· 8. εὐμενὴς γενόμενος ἐπάκουσόν μου διὰ τὸ ὄνομά σου καὶ εὐλόγησον τούς σοι κεκλικότας τοὺς ἑαυτῶν αὐχένας, καὶ «δὸς αὐτοῖς τὰ αἰτήματα τῶν καρδιῶν αὐτῶν[2]» τὰ ἐπὶ συμφέροντι καὶ μηδένα αὐτῶν ἀπόβλητον ποιήσῃς ἐκ τῆς βασιλείας σου, ἀλλὰ ἁγίασον αὐτούς, φρούρησον, σκέπασον, ἀντιλαβοῦ, ῥῦσαι τοῦ ἀλλοτρίου, παντὸς ἐχθροῦ, τοὺς οἴκους αὐτῶν φύλαξον, «τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους φρούρησον·[3]» 9. ὅτι σοὶ δόξα, αἶνος, μεγαλοπρέπεια, σέβας, προσκύνησις καὶ τῷ σῷ παιδὶ Ἰησοῦ τῷ Χριστῷ σου, τῷ κυρίῳ ἡμῶν καὶ θεῷ καὶ βασιλεῖ, καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. 10. καὶ ὁ διάκονος ἐρεῖ· Ἀπολύεσθε ἐν εἰρήνῃ. 11. ταῦτα περὶ τῆς μυστικῆς λατρείας διατασσόμεθα ἡμεῖς οἱ ἀπόστοστολοι ὑμῖν τοῖς ἐπισκόποις καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις.

XVI. Περὶ δὲ χειροτονίας πρεσβυτέρων ἐγὼ ὁ φιλούμενος ὑπὸ τοῦ κυρίου διατάσσομαι ὑμῖν τοῖς ἐπισκόποις. 2. πρεσβύτερον χειροτονῶν, ὦ ἐπίσκοπε, τὴν χεῖρα ἐπὶ τῆς κεφαλῆς ἐπιτίθει αὐτός, τοῦ πρεσβυτερίου παρεστῶτός σοι καὶ τῶν διακόνων, καὶ εὐχόμενος λέγε· 3. Κύριε παντοκράτορ, ὁ θεὸς ἡμῶν ὁ διὰ Χριστοῦ τὰ πάντα δημιουργήσας καὶ δι' αὐτοῦ τῶν ὅλων προνοῶν καταλλήλως· ᾧ γὰρ δύναμις

1. Α' Τιμ. 6, 16. 2. Ψαλμ. 36, 4. 3. Ψαλμ. 120, 8.

διάφορα ποιῆσαι, τούτῳ δύναμις καὶ διαφόρως προνοῆσαι· διὰ γὰρ αὐτοῦ, ὁ θεός, προνοεῖς τῶν μὲν ἀθανάτων φυλακῇ μόνῃ, τῶν δὲ θνητῶν διαδοχῇ, τῆς ψυχῆς φροντίδι νόμων, τοῦ σώματος ἀναπληρώσει τῆς ἐνδείας· αὐτὸς οὖν καὶ νῦν ἐπίβλεψον ἐπὶ τὴν ἁγίαν σου ἐκκλησίαν καὶ αὔξησον αὐτήν, καὶ πλήθυνον τοὺς ἐν αὐτῇ προεστῶτας καὶ δὸς δύναμιν πρὸς τὸ κοπιᾶν αὐτοὺς λόγῳ καὶ ἔργῳ εἰς οἰκοδομὴν τοῦ λαοῦ σου. 4. αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τοῦτον τὸν ψήφῳ καὶ κρίσει τοῦ κλήρου παντὸς εἰς πρεσβυτέριον ἐπιδοθέντα, καὶ ἔμπλησον αὐτὸν πνεῦμα χάριτος καὶ συμβουλίας τοῦ ἀντιλαμβάνεσθαι καὶ κυβερνᾶν τὸν λαόν σου ἐν καθαρᾷ καρδίᾳ, ὃν τρόπον ἐπεῖδες ἐπὶ λαὸν ἐκλογῆς σου καὶ προσέταξας Μωϋσεῖ αἱρήσασθαι πρεσβυτέρους, οὓς ἐνέπλησας πνεύματος.[1] 5. καὶ νῦν, κύριε, παράσχου, ἀνελλιπὲς τηρῶν ἐν ἡμῖν τὸ πνεῦμα τῆς χάριτός σου, ὅπως, πλησθεὶς ἐνεργημάτων ἰατικῶν καὶ λόγου διδακτικοῦ, ἐν πραότητι παιδεύῃ σου τὸν λαὸν καὶ δουλεύῃ σοι εἰλικρινῶς «ἐν καθαρᾷ διανοίᾳ καὶ ψυχῇ θελούσῃ[2]», καὶ τὰς ὑπὲρ τοῦ λαοῦ σου ἱερουργίας ἀμώμους ἐκτελῇ διὰ τοῦ Χριστοῦ σου, μεθ' οὗ σοὶ δόξα, τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

XVII. Περὶ δὲ χειροτονίας διακόνων ἐγὼ Φίλιππος διατάσσομαι. 2. διάκονον καταστήσεις, ὦ ἐπίσκοπε, ἐπιθεὶς αὐτῷ τὰς χεῖρας, παρεστῶτός σοι παντὸς τοῦ πρεσβυτερίου καὶ τῶν διακόνων, καὶ ἐπευξάμενος ἐρεῖς·

XVIII. Ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ἀληθινὸς καὶ ἀψευδής, «ὁ πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους σε[3]» ἐν ἀληθείᾳ, «ὁ φοβερὸς ἐν βουλαῖς, ὁ σοφὸς διανοίᾳ, ὁ κραταιὸς καὶ μέγας·[4]» 2. «εἰσάκουσον προσευχῆς ἡμῶν, κύριε, καὶ ἐνώτισαι τὴν δέησιν ἡμῶν[5]» καὶ «ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου[6]» τόνδε, τὸν προχειριζόμενόν σοι εἰς διακονίαν, καὶ πλῆσον αὐτὸν πνεύματος καὶ δυνάμεως, ὡς ἔπλησας Στέφανον τὸν μάρτυρα καὶ μιμητὴν τῶν παθημάτων τοῦ Χριστοῦ σου· 3. καὶ καταξίωσον αὐτόν, εὐαρέστως λειτουργήσαντα τὴν ἐγχειρισθεῖσαν αὐτῷ διακονίαν ἀτρέπτως, ἀμέμπτως, ἀνεγκλήτως, μείζονος ἀξιωθῆναι βαθμοῦ διὰ τῆς μεσιτείας τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ σοὶ δόξα, τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

XIX. Περὶ δὲ διακονίσσης Βαρθολομαῖος διατάσσομαι. 2. ὦ ἐπίσκοπε, ἐπιθήσεις αὐτῇ τὰς χεῖρας, παρεστῶτος τοῦ πρεσβυτερίου καὶ τῶν διακόνων καὶ τῶν διακονισσῶν, καὶ ἐρεῖς·

XX. «Ὁ θεὸς» ὁ αἰώνιος, «ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[7]», ὁ ἀνδρὸς καὶ γυναικὸς δημιουργός, ὁ πληρώσας πνεύματος Μαριὰμ καὶ Δεββώραν καὶ Ἄνναν καὶ Ὀλδάν, ὁ μὴ ἀπαξιώσας

1. Ἀριθ. 11, 16. 2. Β' Μακκ. 1, 3. 3. Ῥωμ. 10, 12. 4. Ψαλμ. 65, 5. Ἰὼβ 9, 4. 5. Ψαλμ. 142, 1. 6. Ψαλμ. 30, 17. 7. Β' Κορ. 1, 3.

τὸν μονογενῆ σου υἱὸν γεννηθῆναι ἐκ γυναικός, ὁ καὶ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου καὶ ἐν τῷ ναῷ προχειρισάμενος τὰς φρουροὺς τῶν ἁγίων σου πυλῶν· 2. αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὴν δούλην σου τήνδε τὴν προχειριζομένην εἰς διακονίαν, καὶ δὸς αὐτῇ πνεῦμα ἅγιον καὶ «καθάρισον αὐτὴν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος[1]» πρὸς τὸ ἐπαξίως ἐπιτελεῖν αὐτὴν τὸ ἐγχειρισθὲν αὐτῇ ἔργον εἰς δόξαν σὴν καὶ ἔπαινον τοῦ Χριστοῦ σου, μεθ' οὗ σοὶ δόξα καὶ προσκύνησις καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

XXI. Περὶ δὲ ὑποδιακόνων ἐγὼ Θωμᾶς διατάσσομαι ὑμῖν τοῖς ἐπισκόποις. 2. ὑποδιάκονον χειροτονῶν, ὦ ἐπίσκοπε, ἐπιθήσεις ἐπ' αὐτῷ τὰς χεῖρας καὶ ἐρεῖς· 3. Δέσποτα θεέ, οὐρανοῦ καὶ γῆς δημιουργὲ καὶ πάντων τῶν ἐν αὐτοῖς, ὁ καὶ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου τοὺς νεωκόρους ἀναδείξας τῶν ἁγίων σου σκευῶν φύλακας· 4. αὐτὸς καὶ νῦν ἐπίβλεψον ἐπὶ τὸν δοῦλόν σου τόνδε, τὸν προχειρισθέντα ὑποδιάκονον, καὶ δὸς αὐτῷ πνεῦμα ἅγιον πρὸς τὸ ἐπαξίως ἐφάπτεσθαι τῶν λειτουργικῶν σου σκευῶν καὶ ποιεῖν τὸ θέλημά σου διαπαντὸς διὰ τοῦ Χριστοῦ σου, μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

XXII. Περὶ δὲ ἀναγνωστῶν ἐγὼ Ματθαῖος ὁ καὶ Λευὶς ὅ ποτε τελώνης διατάσσομαι. 2. ἀναγνώστην προχείρισαι ἐπιθεὶς αὐτῷ τὴν χεῖρα, καὶ ἐπευξάμενος πρὸς τὸν θεὸν λέγε· 3. Ὁ θεὸς ὁ αἰώνιος, ὁ πολὺς «ἐν ἐλέει καὶ οἰκτιρμοῖς[2]», ὁ τὴν τοῦ κόσμου σύστασιν διὰ τῶν ἐνεργουμένων φανεροποιήσας καὶ τὸν ἀριθμὸν τῶν ἐκλεκτῶν σου διαφυλάττων· αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τὸν ἐγχειριζόμενον τὰς ἁγίας σου γραφὰς ἀναγινώσκειν τῷ λαῷ σου, καὶ δὸς αὐτῷ πνεῦμα ἅγιον, πνεῦμα προφητικόν· 4. ὁ σοφίσας Ἔσδραν τὸν θεράποντά σου ἐπὶ τὸ ἀναγινώσκειν τοὺς νόμους σου τῷ λαῷ σου[3], καὶ νῦν παρακαλούμενος ὑφ' ἡμῶν σόφισον τὸν δοῦλόν σου καὶ δὸς αὐτῷ, ἀκατάγνωστον διανύσαντα τὸ ἐγχειρισθὲν αὐτῷ ἔργον, ἄξιον ἀναδειχθῆναι μείζονος βαθμοῦ διὰ Χριστοῦ, μεθ' οὗ σοὶ ἡ δόξα καὶ τὸ σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

XXIII. Ἰάκωβος δὲ ὁ Ἀλφαίου κἀγὼ διατάσσομαι περὶ ὁμολογητῶν. 2. ὁμολογητὴς οὐ χειροτονεῖται, γνώμης γὰρ τοῦτο καὶ ὑπομονῆς· τιμῆς δὲ μεγάλης ἐπάξιος ὡς ὁμολογήσας τὸ ὄνομα τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ «ἐνώπιον ἐθνῶν καὶ βασιλέων.[4]» 3. ἐὰν δὲ χρεία αὐτοῦ ᾖ εἰς ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, χειροτονεῖται. 4. εἰ δέ τις ὁμολογητὴς μὴ χειροτονηθεὶς ἁρπάσῃ ἑαυτῷ ἀξίωμά τι τοιοῦτον ὡς διὰ τὴν ὁμολογίαν, οὗτος καθαιρείσθω καὶ ἀποβαλλέσθω· οὐ γάρ ἐστιν, ἐπείπερ ἤρνηται τὴν Χριστοῦ διάταξιν «καὶ ἔστιν ἀπίστου χείρων.[5]»

---

1. Β' Κορ. 7, 1. 2. Ψαλμ. 102, 4. 3. Β' Ἔσδρ. 9, 6. 4. Πράξ. 9, 15. 5. Α' Τιμ. 5, 8.

XXIV. Ὁ αὐτὸς περὶ παρθένων. 2. παρθένος οὐ χειροτονεῖται, «ἐπιταγὴν» γὰρ «κυρίου οὐκ ἔχομεν·[1]» γνώμης γάρ ἐστι τὸ ἔπαθλον, οὐκ ἐπὶ διαβολῇ τοῦ γάμου, ἀλλ' ἐπὶ σχολῇ τῆς εὐσεβείας.

XXV. Κἀγὼ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος τάδε περὶ χηρῶν διατάσσομαι. 2. χήρα οὐ χειροτονεῖται, ἀλλ' εἰ μὲν ἐκ πολλοῦ ἀπέβαλεν τὸν ἄνδρα καὶ σωφρόνως καὶ ἀκαταγνώστως ἔζησεν καὶ τῶν οἰκείων ἄριστα ἐπεμελήθη, ὡς Ἰουδὶθ καὶ Ἄννα[2] αἱ σεμνόταται, κατατασσέσθω εἰς τὸ χηρικόν. 3. εἰ δὲ νεωστὶ ἀπέβαλεν τὸν ὁμόζυγον, μὴ πιστευέσθω, ἀλλὰ χρόνῳ νεότης κρινέσθω· τὰ γὰρ πάθη ἔσθ' ὅτε καὶ συγγηρᾷ ἀνθρώποις, μὴ ὑπὸ κρείττονος χαλινοῦ εἰργόμενα.

XXVI. Ὁ αὐτὸς περὶ ἐπορκιστοῦ. 2. ἐπορκιστὴς οὐ χειροτονεῖται, εὐνοίας γὰρ ἑκουσίου τὸ ἔπαθλον καὶ χάριτος θεοῦ διὰ Χριστοῦ ἐπιφοιτήσει τοῦ ἁγίου πνεύματος· ὁ γὰρ λαβὼν χάρισμα ἰαμάτων δι' ἀποκαλύψεως ὑπὸ θεοῦ ἀναδείκνυται, φανερᾶς οὔσης πᾶσιν τῆς ἐν αὐτῷ χάριτος. 3. ἐὰν δὲ χρεία αὐτοῦ γένηται εἰς ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, χειροτονεῖται.

XXVII. Σίμων δὲ ὁ Κανανίτης κἀγὼ διατάσσομαι, ὑπὸ πόσων ὀφείλει χειροτονεῖσθαι ὁ ἐπίσκοπος. 2. ἐπίσκοπος ὑπὸ τριῶν ἢ δύο ἐπισκόπων χειροτονείσθω· ἐὰν δέ τις ὑπὸ ἑνὸς χειροτονηθῇ ἐπισκόπου, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας αὐτόν. 3. ἐὰν δὲ ἀνάγκη καταλάβῃ ὑπὸ ἑνὸς χειροτονηθῆναι διὰ τὸ μὴ δύνασθαι πλείονας παραγενέσθαι, διωγμοῦ ὄντος ἢ ἄλλης τοιαύτης αἰτίας, ψήφισμα κομιζέτω τῆς ἐπιτροπῆς πλειόνων ἐπισκόπων.

XXVIII. Ὁ αὐτὸς περὶ κανόνων. 2. ἐπίσκοπος εὐλογεῖ, οὐκ εὐλογεῖται· χειροθετεῖ, χειροτονεῖ, προσφέρει· εὐλογίαν παρὰ ἐπισκόπων λαμβάνει, παρὰ δὲ πρεσβυτέρων οὐδαμῶς. ἐπίσκοπος καθαιρεῖ πάντα κληρικὸν ἄξιον ὄντα καθαιρέσεως πλὴν ἐπισκόπου· μόνος γὰρ οὐχ οἷός τε. 3. πρεσβύτερος εὐλογεῖ, οὐκ εὐλογεῖται, εὐλογίας δέχεται παρὰ ἐπισκόπου καὶ συμπρεσβυτέρου, ὡσαύτως ἐπιδίδωσιν συμπρεσβυτέρῳ· χειροθετεῖ, οὐ χειροτονεῖ, οὐ καθαιρεῖ, ἀφορίζει δὲ τοὺς ὑποβεβηκότας, ἐὰν ὦσιν ὑπεύθυνοι τῇ τοιαύτῃ τιμωρίᾳ. 4. διάκονος οὐκ εὐλογεῖ· οὐ δίδωσιν εὐλογίαν, λαμβάνει δὲ παρὰ ἐπισκόπου καὶ πρεσβυτέρου· οὐ βαπτίζει, οὐ προσφέρει· τοῦ δὲ ἐπισκόπου προσενεγκόντος ἢ τοῦ πρεσβυτέρου, αὐτὸς ἐπιδίδωσιν τῷ λαῷ, οὐχ ὡς ἱερεύς, ἀλλ' ὡς διακονούμενος ἱερεῦσιν. 5. τῶν δὲ ἄλλων κληρικῶν τὸ τοῦ διακόνου ἔργον ποιῆσαι οὐδενὶ ἐξόν. 6. διακόνισσα οὐκ εὐλογεῖ, ἀλλ' οὐδέ τι ὧν ποιοῦσιν οἱ πρεσβύτεροι ἢ οἱ διάκονοι ἐπιτελεῖ, ἀλλ' ἢ τοῦ φυλάττειν τὰς θύρας καὶ ἐξυπηρετεῖσθαι τοῖς πρεσβυτέροις ἐν τῷ βαπτίζεσθαι τὰς γυναῖκας διὰ τὸ εὐπρεπές. 7. διάκονος ἀφορίζει ὑποδιάκονον, ἀναγνώστην, ψάλτην, διακόνισσαν, ἐὰν ᾖ τι τοιοῦτον μὴ παρόντος πρεσβυτέρου. 8. ὑποδιακόνῳ οὐκ ἔξεστιν ἀφορίσαι,

1. Α' Κορ. 7, 25. 2. Ἰουδ. 8, 1 ἑξ. Λουκ. 2, 36.

οὔτε μὴν ἀναγνώστῃ οὔτε ψάλτῃ οὔτε διακονίσσῃ, οὐ κληρικόν, οὐ λαϊκόν· ὑπηρέται γάρ εἰσιν διακόνων.

XXIX. Περὶ δὲ ὕδατος καὶ ἐλαίου ἐγὼ Ματθίας διατάσσομαι. 2. εὐλογείτω ὁ ἐπίσκοπος τὸ ὕδωρ ἢ τὸ ἔλαιον· ἐὰν δὲ μὴ παρῇ, εὐλογείτω ὁ πρεσβύτερος παρεστῶτος τοῦ διακόνου· ἐπὰν δὲ ὁ ἐπίσκοπος παρῇ, παριστάσθω ὁ πρεσβύτερος καὶ ὁ διάκονος. 3. λεγέτω δὲ οὕτως· Κύριε Σαβαώθ, ὁ θεὸς τῶν δυνάμεων, κτίστα τῶν ὑδάτων καὶ χορηγὲ τοῦ ἐλαίου, οἰκτίρμον καὶ φιλάνθρωπε, ὁ δοὺς τὸ ὕδωρ πρὸς πόσιν καὶ κάθαρσιν, καὶ «ἔλαιον τοῦ ἱλαρῦναι πρόσωπον[1]» εἰς ἀγαλλίαμα εὐφροσύνης· αὐτὸς καὶ νῦν διὰ Χριστοῦ ἁγίασον τὸ ὕδωρ τοῦτο καὶ τὸ ἔλαιον ἐπ' ὀνόματι τοῦ προσκομίσαντος ἢ τῆς προσκομισάσης, καὶ δὸς δύναμιν ὑγείας ἐμποιητικήν, νόσων ἀπελαστικήν, δαιμόνων φυγαδευτικήν, πάσης ἐπιβουλῆς διωκτικὴν διὰ «Χριστοῦ τῆς ἐλπίδος ἡμῶν[2]», μεθ' οὗ σοὶ δόξα, τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

XXX. Ὁ αὐτὸς περὶ ἀπαρχῶν καὶ δεκατῶν. 2. ἔτι προστάσσω, πᾶσαν ἀπαρχὴν προσκομίζεσθαι τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις εἰς διατροφὴν αὐτῶν, πᾶσαν δὲ δεκάτην προσφέρεσθαι εἰς διατροφὴν τῶν λοιπῶν κληρικῶν καὶ τῶν παρθένων καὶ τῶν χηρῶν καὶ τῶν ἐν πενίᾳ ἐξεταζομένων· αἱ γὰρ ἀπαρχαὶ τῶν ἱερέων εἰσὶν καὶ τῶν αὐτοῖς ἐξυπηρετουμένων διακόνων.

XXXI. Ὁ αὐτὸς περὶ περισσευμάτων. 2. τὰς περισσευούσας ἐν τοῖς μυστικοῖς εὐλογίας κατὰ γνώμην τοῦ ἐπισκόπου ἢ τῶν πρεσβυτέρων οἱ διάκονοι διανεμέτωσαν τῷ κλήρῳ, τῷ ἐπισκόπῳ μέρη τέσσαρα, πρεσβυτέρῳ μέρη τρία, διακόνῳ μέρη δύο, τοῖς δὲ ἄλλοις, ὑποδιακόνοις ἢ ἀναγνώσταις ἢ ψάλταις ἢ διακονίσσαις, μέρος ἕν. 3. «τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ θεοῦ[3]», ἕκαστον τιμᾶσθαι κατὰ τὴν αὐτοῦ ἀξίαν· ἡ γὰρ ἐκκλησία οὐκ ἀταξίας, ἀλλ' εὐταξίας ἐστὶ διδασκαλεῖον.

XXXII. Κἀγὼ Παῦλος «ὁ τῶν ἀποστόλων ἐλάχιστος[4]», τάδε διατάσσομαι ὑμῖν τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις περὶ κανόνων. 2. οἱ πρώτως προσιόντες τῷ μυστηρίῳ τῆς εὐσεβείας διὰ τῶν διακόνων προσαγέσθωσαν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις, καὶ τὰς αἰτίας ἐξεταζέσθωσαν, οὗ χάριν προσῆλθον τῷ κυριακῷ λόγῳ, οἵ τε προσενεγκόντες μαρτυρείτωσαν αὐτοῖς, ἀκριβώσαντες τὰ κατ' αὐτούς. ἐξεταζέσθωσαν δὲ αὐτῶν καὶ οἱ τρόποι καὶ ὁ βίος καὶ εἰ δοῦλοί εἰσιν ἢ ἐλεύθεροι. 3. καὶ ἐὰν ᾖ τις δοῦλος, ἐρωτάσθω, οὗ δεσπότου, καὶ ἐὰν πιστοῦ δοῦλος ᾖ, ἐρωτάσθω ὁ κύριος αὐτοῦ, εἰ μαρτυρεῖ αὐτῷ· ἐὰν δὲ μή, ἀποβαλλέσθω, ἕως ἂν ἑαυτὸν ἄξιον ἐπιδείξῃ τῷ δεσπότῃ· εἰ δὲ μαρτυρεῖ αὐτῷ, προσδεχέσθω. εἰ δὲ ἐθνικοῦ ἢ οἰκέτης, διδασκέ-

---

1. Ψαλμ. 103, 15. 2. Α' Τιμ. 1, 1. 3. Α' Τιμ. 2, 3. 4. Α' Κορ. 15, 9.

σθω «εὐαρεστεῖν τῷ δεσπότῃ, ἵνα μὴ βλασφημῆται ὁ λόγος.[1]» 4. εἰ μὲν οὖν ἔχει γυναῖκα ἢ ἡ γυνὴ ἄνδρα, διδασκέσθωσαν ἀρκεῖσθαι ἑαυτοῖς· εἰ δὲ ἄγαμοί εἰσιν, μανθανέτωσαν μὴ πορνεύειν, ἀλλὰ γαμεῖν νόμῳ. 5. εἰ δὲ ὁ δεσπότης αὐτοῦ, πιστὸς ὢν καὶ εἰδώς, ὅτι πορνεύει, οὐ δίδωσιν αὐτῷ γυναῖκα ἢ τῇ γυναικὶ ἄνδρα, ἀφοριζέσθω. 6. ἐὰν δέ τις δαίμονα ἔχῃ, διδασκέσθω μὲν τὴν εὐσέβειαν, μὴ προσδεχέσθω δὲ εἰς κοινωνίαν, πρὶν ἂν καθαρισθῇ· εἰ δὲ θάνατος κατεπείγοι, προσδεχέσθω. 7. εἴ τις πορνοβοσκός, ἢ παυσάσθω τοῦ μαστροπεύειν ἢ ἀποβαλλέσθω. πόρνη προσιοῦσα ἢ παυσάσθω ἢ ἀποβαλλέσθω. 8. εἰδωλοποιὸς προσιὼν ἢ παυσάσθω ἢ ἀποβαλλέσθω. 9. τῶν ἐπὶ σκηνῆς ἐάν τις προσίῃ ἀνὴρ ἢ γυνὴ ἢ ἡνίοχος ἢ μονομάχος ἢ σταδιοδρόμος ἢ λουδεμπιστὴς ἢ ὀλυμπικὸς ἢ χοραύλης ἢ κιθαριστὴς ἢ λυριστὴς ἢ ὁ τὴν ὄρχησιν ἐπιδεικνύμενος ἢ κάπηλος, ἢ παυσάσθωσαν ἢ ἀποβαλλέσθωσαν. 10. στρατιώτης προσιὼν διδασκέσθω «μὴ ἀδικεῖν, μὴ συκοφαντεῖν, ἀρκεῖσθαι δὲ τοῖς διδομένοις ὀψωνίοις·[2]» πειθόμενος προσδεχέσθω, ἀντιλέγων δὲ ἀποβαλλέσθω. 11. ἀρρητοποιός, κίναιδος, βλάξ, μάγος, ἐπαοιδός, ἀστρολόγος, μάντις, θηρεπῳδός, λῶταξ, ὀχλαγωγός, περιάμματα ποιῶν, περικαθαίρων, οἰωνιστής, συμβολοδείκτης, παλμῶν ἑρμηνεύς, φυλαττόμενος ἐν συναντήσει λώβας ὄψεως ἢ ποδῶν ἢ ὀρνίθων ἢ γαλῶν ἢ ἐπιφωνήσεων ἢ παρακροαμάτων συμβολικῶν, χρόνῳ δοκιμαζέσθωσαν, δυσέκνιπτος γὰρ ἡ κακία· παυσάμενοι οὖν προσδεχέσθωσαν, μὴ πειθόμενοι δὲ ἀποβαλλέσθωσαν. 12. παλλακή τινος ἀπίστου δούλη, ἐκείνῳ μόνῳ σχολάζουσα, προσδεχέσθω· εἰ δὲ καὶ πρὸς ἄλλους ἀσελγαίνει, ἀποβαλλέσθω. 13. πιστὸς ἐὰν ἔχῃ παλλακήν, εἰ μὲν δούλην, παυσάσθω καὶ νόμῳ γαμείτω, εἰ δὲ ἐλευθέραν, ἐκγαμείτω αὐτὴν νόμῳ· εἰ δὲ μή, ἀποβαλλέσθω. ἐὰν δὲ καὶ πιστὴ δούλῳ συναφθῇ, ἢ παυσάσθω ἢ ἀποβαλλέσθω. 14. ἑλληνικοῖς τις ἔθεσιν ἐξακολουθῶν ἢ ἰουδαϊκοῖς μύθοις ἢ μεταθέσθω ἢ ἀποβαλλέσθω. 15. θεατρομανίᾳ εἴ τις πρόσκειται ἢ κυνηγίοις ἢ ἱπποδρομίοις ἢ ἀγῶσιν, ἢ παυσάσθω ἢ ἀποβαλλέσθω. 16. ὁ μέλλων κατηχεῖσθαι τρία ἔτη κατηχείσθω· εἰ δὲ σπουδαῖός τις ᾖ καὶ εὔνοιαν ἔχῃ περὶ τὸ πρᾶγμα, προσδεχέσθω, ὅτι οὐχ ὁ χρόνος, ἀλλ' ὁ τρόπος κρίνεται. 17. ὁ διδάσκων εἰ καὶ λαϊκὸς ᾖ, ἔμπειρος δὲ τοῦ λόγου καὶ τὸν τρόπον σεμνός, διδασκέτω· «ἔσονται» γὰρ «πάντες διδακτοὶ θεοῦ.[3]» 18. Πᾶς πιστὸς ἢ πιστὴ ἕωθεν ἀναστάντες ἐξ ὕπνου πρὸ τοῦ ἔργον ἐπιτελέσαι νιψάμενοι προσευχέσθωσαν· εἰ δέ τις λόγου κατήχησις γένηται, προτιμησάτωσαν τοῦ ἔργου τὸν λόγον τῆς εὐσεβείας. 19. ὁ πιστὸς ἢ ἡ πιστὴ τοῖς οἰκέταις εὐμενῶς προσεχέτωσαν, καθὼς καὶ ἐν τοῖς προλαβοῦσιν διεταξάμεθα καὶ ἐν ταῖς ἐπιστολαῖς ἐδιδάξαμεν.[4]

---

1. Πρβλ. Τιτ. 2, 5, 9. 2. Λουκ. 3, 14. 3. Ἰω. 6, 45. 4. Πρβλ. Ἐφ. 6, 9. Κολ. 4, 1.

XXXIII. Ἐγὼ Παῦλος καὶ ἐγὼ Πέτρος διατασσόμεθα. 2. ἐργαζέσθωσαν οἱ δοῦλοι πέντε ἡμέρας, σάββατον δὲ καὶ κυριακὴν σχολαζέτωσαν ἐν τῇ ἐκκλησίᾳ διὰ τὴν διδασκαλίαν τῆς εὐσεβείας· τὸ μὲν γὰρ σάββατον εἴπομεν δημιουργίας λόγον ἔχειν, τὴν δὲ κυριακὴν ἀναστάσεως. 3. τὴν μεγάλην ἑβδομάδα πᾶσαν καὶ τὴν μετ' αὐτὴν ἀργείτωσαν οἱ δοῦλοι, ὅτι ἡ μὲν πάθους ἐστίν, ἡ δὲ ἀναστάσεως, καὶ χρεία διδασκαλίας, τίς ὁ παθὼν καὶ ἀναστὰς ἢ τίς ὁ συγχωρήσας ἢ καὶ ἀναστήσας. 4. τὴν ἀνάληψιν ἀργείτωσαν διὰ τὸ πέρας τῆς κατὰ Χριστὸν οἰκονομίας. 5. τὴν πεντηκοστὴν ἀργείτωσαν διὰ τὴν παρουσίαν τοῦ ἁγίου πνεύματος τὴν δωρηθεῖσαν τοῖς πιστεύσασιν εἰς Χριστόν. 6. τὴν τῶν γενεθλίων ἑορτὴν ἀργείτωσαν διὰ τὸ ἐν αὐτῇ τὴν ἀπροσδόκητον χάριν δεδόσθαι ἀνθρώποις, γεννηθῆναι τὸν τοῦ θεοῦ λόγον Ἰησοῦν Χριστὸν ἐκ Μαρίας τῆς παρθένου ἐπὶ σωτηρίᾳ τοῦ κόσμου. 7. τὴν τῶν ἐπιφανίων ἑορτὴν ἀργείτωσαν διὰ τὸ ἐν αὐτῇ ἀνάδειξιν γεγενῆσθαι τῆς τοῦ Χριστοῦ θεότητος, μαρτυρήσαντος αὐτῷ τοῦ πατρὸς ἐν τῷ βαπτίσματι καὶ τοῦ παρακλήτου ἐν εἴδει περιστερᾶς ὑποδείξαντος τοῖς παρεστῶσι τὸν μαρτυρηθέντα. 8. τὰς ἡμέρας τῶν ἀποστόλων ἀργείτωσαν· διδάσκαλοι γὰρ ὑμῶν εἰς Χριστὸν κατέστησαν καὶ πνεύματος ὑμᾶς ἠξίωσαν ἁγίου. 9. τὴν ἡμέραν Στεφάνου τοῦ πρωτομάρτυρος ἀργείτωσαν καὶ τῶν λοιπῶν ἁγίων μαρτύρων τῶν προτιμησάντων Χριστὸν τῆς ἑαυτῶν ζωῆς.

XXXIV. Εὐχὰς ἐπιτελεῖτε ὄρθρου καὶ τρίτῃ ὥρᾳ καὶ ἕκτῃ καὶ ἐνάτῃ καὶ ἑσπέρᾳ καὶ ἀλεκτοροφωνίᾳ· 2. ὄρθρου μὲν εὐχαριστοῦντες, ὅτι ἐφώτισεν ὑμῖν ὁ κύριος, παραγαγὼν τὴν νύκτα καὶ ἐπαγαγὼν τὴν ἡμέραν· 3. τρίτῃ δέ, ὅτι ἀπόφασιν ἐν αὐτῇ ὑπὸ Πιλάτου ἔλαβεν ὁ κύριος· 4. ἕκτῃ δέ, ὅτι ἐν αὐτῇ ἐσταυρώθη· 5. ἐνάτῃ δέ, ὅτι πάντα κεκίνητο τοῦ δεσπότου σταυρουμένου[1], φρίττοντα τὴν τόλμαν τῶν δυσσεβῶν Ἰουδαίων, μὴ φέροντα τοῦ κυρίου τὴν ὕβριν· 6. ἑσπέρᾳ δὲ εὐχαριστοῦντες, ὅτι ὑμῖν ἀνάπαυσιν ἔδωκεν τῶν μεθημερινῶν κόπων τὴν νύκτα· 7. ἀλεκτρυόνων δὲ κραυγῇ διὰ τὸ τὴν ὥραν εὐαγγελίζεσθαι τὴν παρουσίαν τῆς ἡμέρας εἰς ἐργασίαν τῶν τοῦ φωτὸς ἔργων. 8. εἰ μὴ δυνατὸν ἐν ἐκκλησίᾳ προϊέναι διὰ τοὺς ἀπίστους, κατ' οἶκον συνάξεις, ὦ ἐπίσκοπε, ἵνα μὴ εἰσέρχηται εὐσεβὴς εἰς ἐκκλησίαν ἀσεβῶν· οὐχ ὁ τόπος γὰρ τὸν ἄνθρωπον ἁγιάζει, ἀλλ' ὁ ἄνθρωπος τὸν τόπον. 9. ἐὰν δὲ ἀσεβεῖς κατέχωσιν τὸν τόπον, φευκτέος σοι ἔστω διὰ τὸ βεβηλῶσθαι ὑπ' αὐτῶν· ὡς γὰρ οἱ ὅσιοι ἱερεῖς ἁγιάζουσιν, οὕτως οἱ ἐναγεῖς μιαίνουσιν. 10. εἰ μήτε ἐν οἴκῳ ἅμα μήτε ἐν ἐκκλησίᾳ συναθροισθῆναι δυνατόν, ἕκαστος παρ' ἑαυτῷ ψαλλέτω, ἀναγινωσκέτω, προσευχέσθω, ἢ καὶ ἅμα δύο ἢ τρεῖς· «Ὅπου γὰρ ἂν ὦσι», φησὶν ὁ κύριος, «δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματί μου, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν.[2]» 11. πιστὸς μετὰ κατηχουμένου μήτε

1. Πρβλ. Ματθ. 27, 46, 51. 2. Ματθ. 18, 20.

κατ' οἶκον προσευχέσθω· οὐ γὰρ δίκαιον τὸν μεμυημένον μετὰ τοῦ ἀμυήτου συμμολύνεσθαι. 12. εὐσεβὴς μετὰ αἱρετικοῦ μήτε κατ' οἶκον συμπροσευχέσθω· «τίς» γὰρ «κοινωνία φωτὶ πρὸς σκότος;[1]» 13. πιστὸς ἢ πιστὴ δούλοις συναφθέντες ἢ ἀφιστάσθωσαν ἢ ἀποβαλλέσθωσαν.

XXXV. Κἀγὼ Ἰάκωβος, ἀδελφὸς μὲν κατὰ σάρκα τοῦ Χριστοῦ, δοῦλος δὲ ὡς θεοῦ μονογενοῦς, ἐπίσκοπος δὲ ὑπ' αὐτοῦ τοῦ κυρίου καὶ τῶν ἀποστόλων Ἱεροσολύμων χειροτονηθείς, τάδε φημί. 2. ἑσπέρας γενομένης συναθροίσεις τὴν ἐκκλησίαν, ὦ ἐπίσκοπε· καὶ μετὰ τὸ ῥηθῆναι τὸν ἐπιλύχνιον ψαλμὸν[2] προσφωνήσει ὁ διάκονος ὑπὲρ τῶν κατηχουμένων καὶ χειμαζομένων καὶ τῶν φωτιζομένων καὶ τῶν ἐν μετανοίᾳ, ὡς προείπομεν.

XXXVI. Μετὰ δὲ τὸ ἀπολυθῆναι αὐτοὺς ὁ διάκονος ἐρεῖ· Ὅσοι πιστοί, δεηθῶμεν τοῦ κυρίου, καὶ μετὰ τὸ προσφωνῆσαι αὐτὸν τὰ τῆς πρώτης εὐχῆς ἐρεῖ· 2. Σῶσον καὶ ἀνάστησον ἡμᾶς, ὁ θεός, διὰ τοῦ Χριστοῦ σου. 3. ἀναστάντες αἰτησώμεθα τὰ ἐλέη τοῦ κυρίου καὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ, τὸν ἄγγελον τὸν ἐπὶ τῆς εἰρήνης, τὰ καλὰ καὶ τὰ συμφέροντα, χριστιανὰ τὰ τέλη, τὴν ἑσπέραν καὶ τὴν νύκτα εἰρηνικὴν καὶ ἀναμάρτητον, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν ἀκατάγνωστον αἰτησώμεθα· ἑαυτοὺς καὶ ἀλλήλους τῷ ζῶντι θεῷ διὰ τοῦ Χριστοῦ αὐτοῦ παραθώμεθα.

XXXVII. Καὶ ὁ ἐπίσκοπος ἐπευχόμενος λεγέτω· 2. Ὁ ἄναρχος θεὸς καὶ ἀτελεύτητος, ὁ τῶν ὅλων ποιητὴς διὰ Χριστοῦ καὶ κηδεμών, πρὸ δὲ πάντων αὐτοῦ θεὸς καὶ πατήρ, ὁ τοῦ πνεύματος κύριος καὶ τῶν νοητῶν καὶ αἰσθητῶν βασιλεύς, ὁ ποιήσας ἡμέραν πρὸς ἔργα φωτὸς καὶ νύκτα εἰς ἀνάπαυσιν τῆς ἀσθενείας ἡμῶν· «σὴ» γὰρ «ἐστιν ἡ ἡμέρα καὶ σή ἐστιν ἡ νύξ, σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον·[3]» αὐτὸς καὶ νῦν, δέσποτα φιλάνθρωπε καὶ πανάγαθε, εὐμενῶς πρόσδεξαι τὴν ἑσπερινὴν εὐχαριστίαν ἡμῶν ταύτην. 3. ὁ διαγαγὼν ἡμᾶς τὸ μῆκος τῆς ἡμέρας καὶ ἀγαγὼν ἐπὶ τὰς ἀρχὰς τῆς νυκτός, φύλαξον ἡμᾶς διὰ τοῦ Χριστοῦ σου· εἰρηνικὴν παράσχου τὴν ἑσπέραν καὶ τὴν νύκτα ἀναμάρτητον, καὶ καταξίωσον ἡμᾶς τῆς αἰωνίου ζωῆς διὰ τοῦ Χριστοῦ σου, δι' οὗ σοι δόξα, τιμὴ καὶ σέβας ἐν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. 4. καὶ ὁ διάκονος λεγέτω· Κλίνατε τῇ χειροθεσίᾳ. 5. καὶ ὁ ἐπίσκοπος λεγέτω· Θεὲ πατέρων καὶ κύριε τοῦ ἐλέους, ὁ τῇ σοφίᾳ σου κατασκευάσας ἄνθρωπον, τὸ λογικὸν ζῷον τὸ θεοφιλὲς τῶν ἐπὶ γῆς, καὶ δοὺς αὐτῷ τῶν ἐπὶ τῆς χθονὸς ἄρχειν, καὶ καταστήσας γνώμῃ σῇ ἄρχοντας καὶ ἱερεῖς, τοὺς μὲν πρὸς ἀσφάλειαν τῆς ζωῆς, τοὺς δὲ πρὸς λατρείαν ἔννομον· 6. αὐτὸς καὶ νῦν ἐπικάμφθητι, κύριε παντοκράτορ, καὶ «ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν λαόν σου[4]», τοὺς κάμψαντας αὐχένα καρδίας αὐτῶν, καὶ εὐλόγησον αὐτοὺς διὰ

1. Β' Κορ. 6, 14. 2. Ψαλμ. 140, 1 ἑξ. 3. Ψαλμ. 73, 16. 4. Ψαλμ. 30, 17.

Χριστοῦ, δι' οὗ ἐφώτισας ἡμᾶς φῶς γνώσεως καὶ ἀπεκάλυψας ἡμῖν σαυτόν, μεθ' οὗ σοὶ καὶ ἡ ἐπάξιος ὀφείλεται προσκύνησις παρὰ πάσης λογικῆς καὶ ἁγίας φύσεως καὶ πνεύματι τῷ παρακλήτῳ εἰς τοὺς αἰῶνας· ἀμήν. 7. καὶ ὁ διάκονος λεγέτω· Προέλθετε ἐν εἰρήνῃ.

XXXVIII. Ὡσαύτως ὄρθρου ὁ διάκονος μετὰ τὸ ῥηθῆναι τὸν ὀρθρινὸν καὶ ἀπολῦσαι αὐτὸν τοὺς κατηχουμένους καὶ χειμαζομένους καὶ βαπτιζομένους καὶ τοὺς ἐν μετανοίᾳ καὶ τὴν ὀφειλομένην ποιήσασθαι προσφώνησιν, ἵνα μὴ πάλιν λέγωμεν τὰ αὐτά, ἐπιφερέτω μετὰ τὸ Σῶσον αὐτούς, ὁ θεός, καὶ ἀνάστησον ἐν τῇ χάριτί σου· 2. Αἰτησώμεθα παρὰ τοῦ κυρίου τὰ ἐλέη αὐτοῦ καὶ τοὺς οἰκτιρμούς, τὸν ὄρθρον τοῦτον καὶ τὴν ἡμέραν εἰρηνικὴν καὶ ἀναμάρτητον καὶ πάντα τὸν χρόνον τῆς παρεπιδημίας ἡμῶν, τὸν ἄγγελον τὸν ἐπὶ τῆς εἰρήνης, χριστιανὰ τὰ τέλη, ἵλεων καὶ εὐμενῆ τὸν θεόν· ἑαυτοὺς καὶ ἀλλήλους τῷ ζῶντι θεῷ διὰ τοῦ μονογενοῦς αὐτοῦ παραθώμεθα. 3. καὶ ὁ ἐπίσκοπος ἐπευχόμενος λεγέτω· 4. «Ὁ θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός[1]», ὁ ἀσύγκριτος καὶ ἀπροσδεής, ὁ δοὺς τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, τὴν δὲ σελήνην καὶ τὰ ἄστρα εἰς ἐξουσίαν τῆς νυκτός· αὐτὸς καὶ νῦν ἔπιδε ἐφ' ἡμᾶς εὐμενέσιν ὀφθαλμοῖς καὶ πρόσδεξαι τὰς ἑωθινὰς ἡμῶν εὐχαριστίας καὶ ἐλέησον ἡμᾶς· οὐ γὰρ διεπετάσαμεν τὰς χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον. 5. «οὐ» γὰρ «ἔστιν ἐν ἡμῖν θεὸς πρόσφατος[2]», ἀλλὰ σὺ ὁ αἰώνιος καὶ ἀτελεύτητος· ὁ τὸ εἶναι ἡμῖν διὰ Χριστοῦ παρασχόμενος καὶ τὸ εὖ εἶναι δι' αὐτοῦ δωρησάμενος, αὐτὸς ἡμᾶς δι' αὐτοῦ καταξίωσον καὶ τῆς αἰωνίου ζωῆς, μεθ' οὗ σοὶ δόξα καὶ τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

XXXIX. Καὶ ὁ διάκονος λεγέτω· Κλίνατε τῇ χειροθεσίᾳ. 2. καὶ ὁ ἐπίσκοπος ἐπευχέσθω λέγων· 3. Ὁ θεὸς ὁ πιστὸς καὶ ἀληθινός, ὁ «ποιῶν ἔλεος εἰς χιλιάδας καὶ μυριάδας τοῖς ἀγαπῶσίν σε[3]», ὁ φίλος ταπεινῶν καὶ πενήτων προστάτης, οὗ πάντα ἐν χρείᾳ καθέστηκεν, ὅτι τὰ σύμπαντα δοῦλά σου· 4. ἔπιδε ἐπὶ τὸν λαόν σου τοῦτον, τοὺς κεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς, καὶ εὐλόγησον αὐτοὺς εὐλογίαν πνευματικήν, «φύλαξον αὐτοὺς ὡς κόρην ὀφθαλμοῦ[4]», διατήρησον αὐτοὺς ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ, καὶ καταξίωσον αὐτοὺς τῆς αἰωνίου ζωῆς ἐν Χριστῷ Ἰησοῦ τῷ ἠγαπημένῳ σου παιδί, μεθ' οὗ σοὶ δόξα, τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. 5. καὶ ὁ διάκονος λεγέτω· Προέλθετε ἐν εἰρήνῃ.

XL. Ἐπὶ δὲ ταῖς προσφερομέναις ἀπαρχαῖς οὕτως εὐχαριστείτω ὁ ἐπίσκοπος· 2. Εὐχαριστοῦμέν σοι, κύριε παντοκράτορ, δημιουργὲ τῶν ὅλων καὶ προνοητά, διὰ τοῦ μονογενοῦς σου παιδὸς Ἰησοῦ Χριστοῦ, τοῦ κυρίου ἡμῶν, ἐπὶ ταῖς προσενεχθείσαις σοι ἀπαρχαῖς, οὐχ ὅσον ὀφείλομεν, ἀλλ' ὅσον δυνάμεθα. 3. τίς γὰρ ἀνθρώπων ἐπαξίως

1. Ἀριθ. 16, 22. 2. Ψαλμ. 80, 10. 3. Ἔξ. 20, 6. 4. Ψαλμ. 16, 8.

εὐχαριστῆσαί σοι δύναται ὑπὲρ ὧν δέδωκας αὐτοῖς εἰς μετάληψιν; «ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ[1]» καὶ πάντων τῶν ἁγίων, ὁ πάντα τελεσφορήσας διὰ τοῦ λόγου σου καὶ κελεύσας τῇ γῇ παντοδαποὺς ἐκφῦσαι καρποὺς εἰς εὐφροσύνην καὶ τροφὴν ἡμετέραν, ὁ δοὺς τοῖς νωθεστέροις καὶ βληχώδεσιν χιλόν, ποηφάγοις χλόην, καὶ τοῖς μὲν κρέα, τοῖς δὲ σπέρματα, ἡμῖν δὲ σῖτον τὴν πρόσφορον καὶ κατάλληλον τροφὴν καὶ ἕτερα διάφορα, τὰ μὲν πρὸς χρῆσιν, τὰ δὲ πρὸς ὑγείαν, τὰ δὲ πρὸς τέρψιν. 4. ἐπὶ τούτοις οὖν ἅπασιν ὑμνητὸς ὑπάρχεις τῆς εἰς πάντας εὐεργεσίας διὰ Χριστοῦ, μεθ' οὗ σοὶ δόξα, τιμὴ καὶ σέβας καὶ πνεύματι τῷ ἁγίῳ εἰς τοὺς αἰῶνας· ἀμήν.

XLI. Ἐπὶ δὲ τῶν ἐν Χριστῷ ἀναπαυσαμένων μετὰ τὸ προσφωνῆσαι τὰ τῆς πρώτης εὐχῆς, ἵνα μὴ πάλιν λέγωμεν, ὁ διάκονος προσθήσει καὶ ταῦτα· 2. Καὶ ὑπὲρ τῶν ἀναπαυσαμένων ἐν Χριστῷ ἀδελφῶν ἡμῶν δεηθῶμεν, ὑπὲρ τῆς κοιμήσεως τοῦδε ἢ τῆσδε δεηθῶμεν, ὅπως ὁ φιλάνθρωπος θεὸς προσδεξάμενος αὐτοῦ τὴν ψυχὴν ἀφήσῃ αὐτῷ πᾶν ἁμάρτημα ἑκούσιον καὶ ἀκούσιον, καὶ ἵλεως καὶ εὐμενὴς γενόμενος κατατάξῃ εἰς χώραν εὐσεβῶν ἀνειμένων εἰς κόλπους Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ μετὰ πάντων τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων καὶ ποιησάντων τὸ θέλημα αὐτοῦ, ἔνθα «ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός.[2]» ἐγειρώμεθα· ἑαυτοὺς καὶ ἀλλήλους τῷ ἀϊδίῳ θεῷ διὰ «τοῦ ἐν ἀρχῇ λόγου[3]» παραθώμεθα. 3. καὶ ὁ ἐπίσκοπος λεγέτω· 4. Ὁ τῇ φύσει ἀθάνατος καὶ ἀτελεύτητος, παρ' οὗ πᾶν ἀθάνατον καὶ θνητὸν γέγονεν, ὁ τὸ λογικὸν τοῦτο ζῷον τὸν ἄνθρωπον τὸν κοσμοπολίτην θνητὸν ἐκ κατασκευῆς ποιήσας καὶ ἀνάστασιν ἐπαγγειλάμενος, ὁ τὸν Ἐνὼχ καὶ τὸν Ἠλίαν θανάτου πεῖραν μὴ ἐάσας λαβεῖν· «ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ οὐχ ὡς νεκρῶν, ἀλλ' ὡς ζώντων θεὸς εἶ·[4]» ὅτι «πάντων αἱ ψυχαὶ παρὰ σοὶ ζῶσιν» καὶ «τῶν δικαίων τὰ πνεύματα ἐν τῇ χειρί σού εἰσιν, ὧν οὐ μὴ ἅψηται βάσανος·[5] πάντες» γὰρ οἱ «ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σού εἰσιν·[6]» 5. αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τόνδε, ὃν ἐξελέξω καὶ προσελάβου εἰς ἑτέραν λῆξιν, καὶ συγχώρησον αὐτῷ, εἴ τι ἄκων ἢ ἑκὼν ἐξήμαρτεν, καὶ ἀγγέλους εὐμενεῖς παράστησον αὐτῷ· καὶ κατάταξον αὐτὸν ἐν τῷ κόλπῳ τῶν πατριαρχῶν καὶ τῶν προφητῶν καὶ τῶν ἀποστόλων καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, ὅπου οὐκ ἔνι «λύπη καὶ ὀδύνη καὶ στεναγμός[7]», ἀλλὰ χῶρος εὐσεβῶν ἀνειμένος καὶ γῆ εὐθέων σοὶ ἀνακειμένη καὶ τῶν ἐν αὐτῇ ὁρώντων τὴν δόξαν τοῦ Χριστοῦ σου, μεθ' οὗ σοὶ δόξα, τιμὴ καὶ σέβας, εὐχαριστία καὶ προσκύνησις καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν. 6. καὶ ὁ διάκονος λεγέτω· Κλίνατε καὶ εὐλογεῖσθε. 7. καὶ ὁ ἐπίσκοπος εὐχαριστείτω ὑπὲρ αὐτῶν λέγων τάδε· 8. «Σῶσον», κύριε, «τὸν λαόν σου καὶ εὐλό-

1. Πράξ. 3, 13. 2. Ἠσ. 35, 10. 3. Ἰω. 1, 1. 4. Ματθ. 22, 32· 5. Σοφ. Σολ. 3, 1. 6. Δευτ. 33, 3. 7. Ἠσ. 35, 10.

γησον τὴν κληρονομίαν σου, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι[1]» τοῦ Χριστοῦ σου, καὶ ποίμανον αὐτοὺς ὑπὸ τὴν δεξιάν σου καὶ σκέπασον αὐτοὺς ὑπὸ τὰς πτέρυγάς σου, καὶ δὸς αὐτοῖς «τὸν ἀγῶνα τελέσαι τὸν καλόν, τὸν δρόμον ἀνῦσαι, τὴν πίστιν τηρῆσαι[2]» ἀτρέπτως, ἀμέμπτως, ἀνεγκλήτως, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀγαπητοῦ σου παιδός, μεθ' οὗ σοὶ δόξα, τιμὴ καὶ σέβας καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

XLII. Ἐπιτελείσθω δὲ τρίτα τῶν κεκοιμημένων ἐν ψαλμοῖς καὶ ἀναγνώσμασιν καὶ προσευχαῖς διὰ τὸν διὰ τριῶν ἡμερῶν ἐγερθέντα, 2. καὶ ἔνατα εἰς ὑπόμνησιν τῶν περιόντων καὶ τῶν κεκοιμημένων, 3. καὶ τεσσαρακοστὰ κατὰ τὸν παλαιὸν τύπον· Μωσῆν γὰρ οὕτως ὁ λαὸς ἐπένθησεν, 4. καὶ ἐνιαύσια ὑπὲρ μνείας αὐτοῦ. 5. καὶ διδόσθω ἐκ τῶν ὑπαρχόντων αὐτοῦ πένησιν εἰς ἀνάμνησιν αὐτοῦ.

XLIII. Ταῦτα δὲ περὶ εὐσεβῶν λέγομεν· περὶ γὰρ ἀσεβῶν ἐὰν τὰ τοῦ κόσμου δῷς πένησιν, οὐδὲν ὀνήσεις αὐτόν. 2. ᾧ γὰρ περιόντι ἐχθρὸν ἦν τὸ θεῖον, δῆλον ὅτι καὶ μεταστάντι· «οὐ» γὰρ «ἔστιν ἀδικία παρ' αὐτῷ.[3]» 3. «Δίκαιος» γὰρ «ὁ κύριος καὶ δικαιοσύνας ἠγάπησεν[4]», καί· «Ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ.[5]»

XLIV. Ἐν δὲ ταῖς μνείαις αὐτῶν καλούμενοι μετὰ εὐταξίας ἑστιᾶσθε καὶ φόβου θεοῦ, ὡς δυνάμενοι καὶ πρεσβεύειν ὑπὲρ τῶν μεταστάντων. πρεσβύτεροι γὰρ καὶ διάκονοι Χριστοῦ ὑπάρχοντες, νήφειν ὀφείλετε πάντοτε καὶ πρὸς ἑαυτοὺς καὶ πρὸς ἑτέρους, ἵνα δύνησθε τοὺς ἀτακτοῦντας νουθετεῖν. 2. λέγει δὲ ἡ γραφή· «Οἱ δυνάσται θυμώδεις εἰσίν· οἶνον μὴ πινέτωσαν, ἵνα μὴ πιόντες ἐπιλάθωνται τῆς σοφίας καὶ ὀρθὰ κρίνειν οὐ μὴ δύνωνται.[6]» οὐκοῦν καὶ οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι μετὰ θεὸν τὸν παντοκράτορα καὶ τὸν ἠγαπημένον αὐτοῦ υἱὸν δυνάσται ὑπάρχουσι τῆς ἐκκλησίας. 3. τοῦτο δέ φαμεν, οὐχ ἵνα μὴ πίνωσιν, ἄλλως γὰρ ἔστιν ὑβρίσαι τὸ ὑπὸ θεοῦ γενόμενον εἰς εὐφροσύνην, ἀλλ' ἵνα μὴ παροινῶσιν. οὐ γὰρ εἶπεν ἡ γραφὴ μὴ πίνειν οἶνον, ἀλλὰ τί φησιν; «Μὴ πῖνε οἶνον εἰς μέθην[7]», καὶ πάλιν· «Ἄκανθαι φύονται ἐν χειρὶ μεθύσου.[8]» 4. τοῦτο δὲ οὐ περὶ τῶν ἐν κλήρῳ μόνον φαμέν, ἀλλὰ καὶ περὶ παντὸς λαϊκοῦ χριστιανοῦ, ἐφ' οὗ ἐπικέκληται τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ αὐτοῖς γὰρ εἴρηται· «Τίνι οὐαί; τίνι θόρυβος; τίνι ἀηδίαι καὶ λέσχαι; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; τίνι συντρίμματα διακενῆς; οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνῳ καὶ τῶν κατασκοπουμένων, ποῦ πότοι γίνονται;[9]»

XLV. Τοὺς διωκομένους διὰ πίστιν καὶ πόλιν ἐκ πόλεως φεύγοντας διὰ τὸ μεμνῆσθαι τῶν λόγων τοῦ κυρίου προσλαμβάνεσθε· ἐπιστάμενοι γάρ, ὅτι «τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής[10]»,

1. Ψαλμ. 27, 9. Πράξ. 20, 28. 2. Β' Τιμ. 4, 7. 3. Ἰω. 7, 18. 4. Ψαλμ. 10, 7. 5. Πρβλ. Ἡσ. 62, 11. 6. Παρμ. 31, 4-5. 7. Πρβλ. Σοφ. Σειρ. 34, 27. 8. Παρμ. 26, 9. 9. Παρμ. 23, 29-30. 10. Ματθ. 26, 41.

ἀποδιδράσκουσιν καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων προΐενται, ἵνα ἀνεξάρνητον ἐφ' ἑαυτοῖς τὸ ὄνομα τοῦ Χριστοῦ διατηρήσωσιν. 2. ἐπικουρεῖτε οὖν αὐτοῖς τὰ πρὸς τὰς χρείας, ἐντολὴν κυριακὴν πληροῦντες.

XLVI. Ἐκεῖνο δὲ κοινῇ πάντες παραγγέλλομεν, ἕκαστον ἐμμένειν τῇ τάξει τῇ δοθείσῃ αὐτῷ καὶ μὴ ὑπερβαίνειν τοὺς ὅρους· οὐ γάρ εἰσιν ἡμέτεροι, ἀλλὰ τοῦ θεοῦ. «Ὁ ὑμῶν» γάρ, φησὶν ὁ κύριος, «ἀκούων ἐμοῦ ἀκούει, καὶ ὁ ἐμοῦ ἀκούων ἀκούει τοῦ ἀποστείλαντός με· καὶ ὁ ὑμᾶς ἀθετῶν ἐμὲ ἀθετεῖ, ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με.[1]» 2. εἰ γὰρ τὰ ἄψυχα γενόμενα τὴν εὐταξίαν ἀποσώζει, οἷον νύξ, ἡμέρα, ἥλιος, σελήνη, ἄστρα, στοιχεῖα, τροπαί, μῆνες, ἑβδομάδες, ἡμέραι, ὧραι, καὶ δουλεύει τῇ διατυπωθείσῃ χρείᾳ κατὰ τὸ εἰρημένον· «Ὅριον ἔθου, ὃ οὐ παρελεύσεται[2]», καὶ πάλιν περὶ τῆς θαλάσσης· «Ἐθέμην αὐτῇ ὅρια περιθεὶς κλεῖθρα καὶ πύλας, εἶπα δὲ αὐτῇ· μέχρι τούτου ἐλεύσῃ καὶ οὐχ ὑπερβήσῃ·[3]» πόσῳ μᾶλλον ὑμεῖς οὐδὲν ὀφείλετε τολμᾶν παρακινεῖν τῶν ὑμῖν κατὰ γνώμην θεοῦ παρ' ἡμῶν ὁρισθέντων; 3. ἀλλ' ἐπειδὴ πάρεργον οἱ πολλοὶ καὶ τοῦτο ἡγήσαντο εἶναι, συγχέειν δὲ τὰς τάξεις καὶ τὴν ἐφ' ἑκάστου χειροτονίαν παρακινεῖν τολμῶσιν, ὑφαρπάζοντες ἑαυτοῖς ἀξιώματα τὰ μὴ δεδομένα καὶ ἐπιτρέποντες ἑαυτοῖς τυραννικῶς, ἃ μὴ ἔχουσιν ἐξουσίαν διδόναι, καὶ διὰ τοῦτο παροργίζουσι μὲν θεόν, ὥσπερ οἱ Κορεῖται καὶ ὁ βασιλεὺς Ὀζίας[4], παρ' ἀξίαν ἐπιθέμενοι ἄνευ θεοῦ τῇ ἀρχιερωσύνῃ καὶ γενόμενοι οἱ μὲν πυρίφλεκτοι, ὁ δὲ κατὰ τοῦ μετώπου λεπρός, παροξύνουσι δὲ καὶ Χριστὸν Ἰησοῦν τὸν διαταξάμενον, «λυποῦσι δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον[5]» ἀκυροῦντες αὐτοῦ τὴν μαρτυρίαν· 4. εἰκότως τὸν ἐπηρτημένον κίνδυνον τοῖς τὰ τοιαῦτα πράττουσι προϊδόμενοι καὶ τὴν εἰς τὰς θυσίας καὶ εὐχαριστίας ἀμέλειαν ἐκ τοῦ ὑφ' ὧν μὴ χρὴ προσαγομένας ἀσεβῶς, παιδιὰν ἡγουμένων τὴν ἀρχιερατικὴν τιμήν, ἥτις μίμησιν περιέχει τοῦ μεγάλου ἀρχιερέως Ἰησοῦ Χριστοῦ τοῦ βασιλέως ἡμῶν, ἀνάγκην ἔσχομεν καὶ τοῦτο παραινέσαι· «ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω[6]» τῆς ἑαυτῶν ματαιότητος. 5. λέγομεν δὲ ὡς «Μωσῆς ὁ τοῦ θεοῦ θεράπων[7]», ᾧ ὁ θεός, «ἐνώπιος ἐνωπίῳ ὡμίλει, ὡς εἴ τις λαλήσει πρὸς ἑαυτοῦ φίλον[8]», ᾧ εἶπεν· «Οἶδά σε παρὰ πάντας[9]», ᾧ κατὰ πρόσωπον ὡμίλει καὶ οὐ δι' ἀδήλων ἢ ἐνυπνίων ἢ ἀγγέλων ἢ αἰνιγμάτων· οὗτος, ἡνίκα τὴν θείαν νομοθεσίαν διετάσσετο, διεῖλεν, τίνα μὲν χρὴ ὑπὸ τῶν ἀρχιερέων ἐπιτελεῖσθαι, τίνα δὲ ὑπὸ τῶν ἱερέων, τίνα δὲ ὑπὸ τῶν λευιτῶν, ἑκάστῳ τὴν οἰκείαν καὶ ἀνήκουσαν τῇ λειτουργίᾳ θρησκείαν ἀπονείμας. 6. καὶ ἅπερ μὲν τοῖς ἀρχιερεῦσιν προσετέτακτο ἐπιτελεῖν, τούτοις τοὺς ἱερέας οὐ θεμιτὸν ἦν προσιέναι, ἅπερ δὲ τοῖς ἱερεῦσιν ὥριστο, τούτοις οἱ

---

1. Λουκ. 10, 16. 2. Ψαλμ. 103, 9. 3. Ἰὼβ 38, 10-11. 4. Ἀριθ. 16, 1 ἑξ. Β' Παρλ. 26, 1 ἑξ. 5. Ἐφ. 4, 30. 6. Α' Τιμ. 5, 15. 7. Ἀριθ. 12, 7. 8. Ἐξ. 33, 11. 9. Ἐξ. 33, 17.

λευῖται οὐ προσήεσαν, ἀλλ' ἕκαστοι ἅσπερ παρειλήφεισαν ὑπηρεσίας περιγεγραμμένας ἐφύλαττον· εἰ δέ τις πέρα τῆς παραδόσεως προσιέναι ἐβούλετο, θάνατος ἦν τὸ ἐπιτίμιον. 7. τοῦτο δὲ μάλιστα διέδειξεν καὶ ἡ κατὰ τὸν Σαοὺλ πεῖρα, ὃς θῦσαι νενομικὼς δίχα τοῦ προφήτου καὶ ἀρχιερέως Σαμουὴλ ἔσπασεν εἰς ἑαυτὸν ἁμαρτίαν καὶ κατάραν ἀναπόβλητον[1], καὶ οὐδὲ τὸ κεχρῖσθαι ὑπ' αὐτοῦ εἰς βασιλέα ἐδυσώπησε τὸν προφήτην. 8. ἐνεργεστέρᾳ δὲ τῇ πράξει διέδειξεν ὁ θεὸς ἐν τοῖς κατὰ τὸν Ὀζίαν[2] οὐκ ἐν μελλησμῷ τὰς ἐπὶ τῇ παρανομίᾳ εἰσπραξάμενος δίκας· καὶ ὁ τῆς ἀρχιερωσύνης καταμανεὶς καὶ τῆς βασιλείας ἀλλότριος κατέστη. 9. τὰ δὲ ἐφ' ἡμῶν, ἴσως οὐκ ἀγνοεῖτε. ἴστε γὰρ πάντως ἐπισκόπους παρ' ἡμῶν ὀνομασθέντας καὶ πρεσβυτέρους καὶ διακόνους εὐχῇ καὶ χειρῶν ἐπιθέσει, τῇ διαφορᾷ τῶν ὀνομάτων καὶ τὴν διαφορὰν τῶν πραγμάτων δεικνύοντας· οὐ γὰρ «ὁ βουλόμενος παρ' ἡμῖν ἐπλήρου τὴν χεῖρα[3]», ὥσπερ ἐπὶ τῆς κιβδήλου τῶν δαμάλεων ἐπὶ τοῦ Ἱεροβοὰμ παρακεκομμένης ἱερωσύνης, «ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ θεοῦ.[4]» 10. εἰ μὲν γὰρ μὴ θεσμός τις ἦν καὶ τάξεων διαφορά, ἤρκει ἂν δι' ἑνὸς ὀνόματος τὰ ὅλα τελεῖσθαι· ἀλλ' ὑπὸ τοῦ κυρίου διδαχθέντες ἀκολουθίαν πραγμάτων, τοῖς μὲν ἐπισκόποις τὰ τῆς ἀρχιερωσύνης ἐνείμαμεν, τοῖς δὲ πρεσβυτέροις τὰ τῆς ἱερωσύνης, τοῖς δὲ διακόνοις τὰ τῆς πρὸς ἀμφοτέρους διακονίας, ἵν' ᾖ καθαρῶς τὰ τῆς θρησκείας ἐπιτελούμενα. 11. οὔτε γὰρ διακόνῳ προσφέρειν θυσίαν θεμιτὸν ἢ βαπτίζειν ἢ εὐλογίαν μικρὰν ἢ μεγάλην ποιεῖσθαι, οὔτε πρεσβύτερον χειροτονίας ἐπιτελεῖν· οὐ γὰρ ὅσιον ἀνεστράφθαι τὴν τάξιν. 12. «οὐ γάρ ἐστιν ὁ θεὸς ἀκαταστασίας[5]», ἵνα οἱ ὑποβεβηκότες τὰ τῶν κρειττόνων τυραννικῶς σφετερίζωνται, νομοθεσίαν καινὴν ἀναπλάττοντες ἐπὶ κακῷ τῷ ἑαυτῶν, ἀγνοοῦντες, ὅτι «σκληρὸν αὐτοῖς τὸ πρὸς κέντρα λακτίζειν.[6]» οὐ γὰρ ἡμᾶς ἢ τοὺς ἐπισκόπους πολεμοῦσιν οἱ τοιοῦτοι, ἀλλὰ τὸν τῶν πάντων ἐπίσκοπον καὶ τοῦ πατρὸς ἀρχιερέα, Χριστὸν Ἰησοῦν τὸν κύριον ἡμῶν. 13. ὑπὸ Μωσέως μὲν γὰρ τοῦ θεοφιλεστάτου ἀρχιερεῖς κατεστάθησαν καὶ ἱερεῖς λευῖται, ὑπὸ δὲ τοῦ σωτῆρος ἡμῶν ἡμεῖς οἱ δεκατρεῖς ἀπόστολοι, ὑπὸ δὲ τῶν ἀποστόλων ἐγὼ Ἰάκωβος καὶ ἐγὼ Κλήμης καὶ σὺν ἡμῖν ἕτεροι, ἵνα μὴ πάντας πάλιν καταλέγωμεν, κοινῇ δὲ ὑπὸ πάντων ἡμῶν πρεσβύτεροι καὶ διάκονοι καὶ ὑποδιάκονοι καὶ ἀναγνῶσται. 14. πρῶτος τοίνυν τῇ φύσει ἀρχιερεὺς ὁ μονογενὴς Χριστός, «οὐχ ἑαυτῷ τὴν τιμὴν ἁρπάσας[7]», ἀλλὰ παρὰ τοῦ πατρὸς κατασταθείς· ὃς γενόμενος ἄνθρωπος δι' ἡμᾶς καὶ τὴν πνευματικὴν θυσίαν προσφέρων τῷ θεῷ αὐτοῦ καὶ πατρὶ πρὸ τοῦ πάθους, ἡμῖν διετάξατο μόνοις τοῦτο ποιεῖν, καίτοι ὄντων σὺν ἡμῖν καὶ ἑτέρων τῶν εἰς αὐτὸν πεπιστευκότων· ἀλλ' οὐ

---

1. Πρβλ. Α' Βασ. 13, 1 ἑξ. 2. Β' Παρλ. 26, 1 ἑξ. 3. Γ' Βασ. 13, 33. 4. Ἑβρ. 5, 4. 5. Α' Κορ. 14, 33. 6. Πράξ. 26, 14. 7. Ἑβρ. 5, 4.

πάντως πᾶς ὁ πιστεύσας ἤδη καὶ ἱερεὺς κατέστη ἢ ἀρχιερατικῆς ἀξίας ἔτυχεν. 15. μετὰ δὲ τὴν ἀνάληψιν αὐτοῦ ἡμεῖς προσενεγκόντες κατὰ τὴν διάταξιν αὐτοῦ θυσίαν καθαρὰν καὶ ἀναίμακτον, προεχειρισάμεθα ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους ἑπτὰ τὸν ἀριθμόν. 16. ὧν εἷς ἦν Στέφανος ὁ μακάριος μάρτυς, οὐκ ἀπολειπόμενος ἡμῶν κατὰ τὴν πρὸς θεὸν εὔνοιαν, ὃς τοσοῦτον τὴν θεοσέβειαν τῇ πίστει ἐνεδείξατο καὶ τὴν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀγάπην, ὡς ὑπὲρ αὐτοῦ δοῦναι καὶ τὴν ψυχήν, πρὸς τῶν κυριοκτόνων Ἰουδαίων λίθοις βληθείς· ἀλλ' ὅμως ὁ τοιοῦτος καὶ τηλικοῦτος ἀνήρ, «ὁ τῷ πνεύματι ζέων, ὁ τὸν Χριστὸν ὁρῶν ἐκ δεξιῶν τοῦ θεοῦ καὶ τὰς οὐρανίας πύλας ἀνεῳγμένας[1]», οὐδαμοῦ φαίνεται τοῖς μὴ ἀνήκουσιν τῇ διακονίᾳ χρησάμενος, ἢ θυσίαν ἀνενεγκὼν ἢ χεῖρας ἐπιθεὶς τινι, ἀλλὰ τὸ τῆς διακονίας τάγμα φυλάξας μέχρι τέλους· οὕτω γὰρ ἔπρεπεν τῷ τοῦ Χριστοῦ μάρτυρι τὴν εὐταξίαν ἀποσώζειν. 17 εἰ δὲ Φίλιππον τὸν διάκονον ἡμῶν καὶ Ἀνανίαν τὸν πιστὸν ἀδελφὸν αἰτιῶνταί τινες, ὅτι ὁ μὲν τὸν εὐνοῦχον ἐβάπτισεν, ὁ δὲ ἐμὲ Παῦλον[2], ἀγνοοῦσιν αὐτοί, ὃ λέγομεν ἡμεῖς. εἴπομεν γάρ, ὅτι «οὐχ ἑαυτῷ τις ἁρπάζει[3]» τὸ ἱερατικὸν ἀξίωμα, «ἀλλ' ἢ παρὰ τοῦ θεοῦ» λαμβάνει ὡς Μελχισεδὲκ[4] καὶ Ἰώβ, ἢ παρὰ ἀρχιερέως, «ὡς Ἀαρὼν[5]» παρὰ Μωσέως· οὐκοῦν καὶ Φίλιππος καὶ Ἀνανίας οὐχ ἑαυτοὺς προείλοντο, ἀλλ' ὑπὸ τοῦ Χριστοῦ προεχειρίσθησαν τοῦ ἀρχιερέως τοῦ ἀσυγκρίτου θεοῦ.

ΑΠΟΣΤΟΛΙΚΟΙ ΚΑΝΟΝΕΣ *

XLVII. α'. Ἐπίσκοπος τοίνυν ὑπὸ ἐπισκόπων χειροτονείσθω δύο ἢ τριῶν, πρεσβύτερος ὑπὸ ἑνὸς ἐπισκόπου καὶ διάκονος καὶ οἱ λοιποὶ κληρικοί.

β'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος παρὰ τὴν τοῦ κυρίου διάταξιν τὴν ἐπὶ τῇ θυσίᾳ προσενέγκῃ ἕτερά τινα ἢ μέλι ἐπὶ τὸ τοῦ θεοῦ θυσιαστήριον ἢ γάλα ἢ ἀντὶ οἴνου σίκερα ἐπιτηδευτὰ ἢ ὄρνεις ἢ ζῷά τινα ἢ ὄσπρια, παρὰ τὴν διάταξιν, καθαιρείσθω.

γ'. Τῷ καιρῷ τῷ δέοντι πλὴν νέων χίδρων ἢ σταφυλῆς μὴ ἐξὸν ἔστω προσάγεσθαί τι πρὸς τὸ θυσιαστήριον, καὶ ἔλαιον εἰς τὴν λυχνίαν καὶ θυμίαμα τῷ καιρῷ τῆς θείας ἀναφορᾶς.

δ'. Ἡ ἄλλη πᾶσα ὀπώρα εἰς οἶκον ἀποστελλέσθω ἀπαρχὴ τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις, ἀλλὰ μὴ πρὸς τὸ θυσιαστήριον·

1. Πράξ. 18, 25. 7, 55-56. 2. Πράξ. 8, 26 ἑξ. 9, 10 ἑξ. 3. Πρβλ. Ἑβρ. 5, 4. 4. Γεν. 14, 18. 5. Ἀριθ. 17, 1 ἑξ.

* Περὶ τούτων ἴδε Βιβλ. Ἑλλήνων Πατέρων, τ. Α', σελ. 11.

δῆλον δὲ ὡς ὁ ἐπίσκοπος καὶ οἱ πρεσβύτεροι ἐπιμερίζουσιν καὶ τοῖς διακόνοις καὶ τοῖς λοιποῖς κληρικοῖς.

ε'. Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας· ἐὰν δὲ ἐκβάλῃ, ἀφοριζέσθω, ἐπιμένων δὲ καθαιρείσθω.

στ'. Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος κοσμικὰς φροντίδας μὴ ἀναλαμβανέτω· εἰ δὲ μή, καθαιρείσθω.

ζ'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος τὴν ἁγίαν τοῦ πάσχα ἡμέραν πρὸ τῆς ἐαρινῆς ἰσημερίας μετὰ Ἰουδαίων ἐπιτελέσῃ, καθαιρείσθω.

η'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ ἐκ τοῦ καταλόγου τοῦ ἱερατικοῦ προσφορᾶς γενομένης μὴ μεταλάβοι, τὴν αἰτίαν εἰπάτω καί, ἐὰν ᾖ εὔλογος, συγγνώμης τυγχανέτω· ἐὰν δὲ μὴ λέγῃ, ἀφοριζέσθω, ὡς αἴτιος βλάβης γενηθεὶς τῷ λαῷ καὶ ὑπόνοιαν ἐμποιήσας κατὰ τοῦ προσενέγκαντος ὡς μὴ ὑγιῶς ἀνενεγκόντος.

θ'. Πάντας τοὺς εἰσιόντας πιστοὺς καὶ τῶν γραφῶν ἀκούοντας, μὴ παραμένοντας δὲ τῇ προσευχῇ καὶ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἂν ἀταξίαν ἐμποιοῦντας τῇ ἐκκλησίᾳ ἀφορίζεσθαι χρή.

ι'. Εἴ τις ἀκοινωνήτῳ κἂν ἐν οἴκῳ συνεύξηται, οὗτος ἀφοριζέσθω.

ια'. Εἴ τις καθῃρημένῳ κληρικὸς ὢν ὡς κληρικῷ συνεύξηται, καθαιρείσθω καὶ αὐτός.

ιβ'. Εἴ τις κληρικὸς ἢ λαϊκός, ἀφωρισμένος ἤτοι δεκτός, ἀπελθὼν ἐν ἑτέρᾳ πόλει δεχθῇ ἄνευ γραμμάτων συστατικῶν, ἀφοριζέσθωσαν οἱ δεξάμενοι καὶ ὁ δεχθείς.

ιγ'. Εἰ δὲ ἀφωρισμένος ᾖ, ἐπιτεινέσθω αὐτῷ ὁ ἀφορισμὸς ὡς ψευσαμένῳ καὶ ἀπατήσαντι ἐκκλησίαν θεοῦ.

ιδ'. Ἐπίσκοπον μὴ ἐξεῖναι καταλείψαντα τὴν ἑαυτοῦ παροικίαν ἑτέρᾳ ἐπιπηδᾶν, κἂν ὑπὸ πλειόνων ἀναγκάζηται, εἰ μή τις εὔλογος αἰτία ᾖ ἡ τοῦτο βιαζομένη αὐτὸν ποιεῖν, ὡς πλεῖόν τι κέρδος δυναμένου αὐτοῦ τοῖς ἐκεῖσε λόγῳ εὐσεβείας συμβάλλεσθαι· καὶ τοῦτο δὲ οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ κρίσει πολλῶν ἐπισκόπων καὶ παρακλήσει μεγίστῃ.

ιε'. Εἴ τις πρεσβύτερος ἢ διάκονος ἢ ὅλως τοῦ καταλόγου τῶν κληρικῶν, ἀπολείψας τὴν ἑαυτοῦ παροικίαν, εἰς ἑτέραν ἀπέλθοι καὶ παντελῶς μεταστὰς διατρίβοι ἐν ἄλλῃ παροικίᾳ παρὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου· τοῦτον κελεύομεν μηκέτι λειτουργεῖν, εἰ μάλιστα προσκαλουμένου αὐτὸν ἐπανελθεῖν τοῦ ἐπισκόπου οὐχ ὑπήκουσεν, ἐπιμένων τῇ ἀταξίᾳ· ὡς λαϊκὸς μέντοι ἐκεῖσε κοινωνείτω.

ιστ'. Εἰ δὲ ὁ ἐπίσκοπος, παρ' ᾧ τυγχάνουσιν, παρ' οὐδὲν ἡγησάμενος τὴν κατ' αὐτῶν ὁρισθεῖσαν ἀργίαν, δέξηται αὐτοὺς ὡς κληρικούς, ἀφοριζέσθω ὡς διδάσκαλος ἀταξίας.

ιζ'. Ὁ δυσὶ γάμοις συμπλακεὶς μετὰ τὸ βάπτισμα ἢ παλλακὴν

κτησάμενος οὐ δύναται εἶναι ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ιη΄. Ὁ χήραν λαβὼν ἢ ἐκβεβλημένην ἢ ἑταίραν ἢ οἰκέτιν ἢ τῶν ἐπὶ σκηνῆς οὐ δύναται εἶναι ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

ιθ΄. Ὁ δύο ἀδελφὰς ἀγαγόμενος ἢ ἀδελφιδῆν οὐ δύναται εἶναι κληρικός[1].

κ΄. Κληρικὸς ἐγγύας διδοὺς καθαιρείσθω.

κα΄. Εὐνοῦχος εἰ μὲν ἐξ ἐπηρείας ἀνθρώπων ἐγένετό τις ἢ ἐν διωγμῷ ἀφηρέθη τὰ ἀνδρῶν ἢ οὕτως ἔφυ, καὶ ἔστιν ἄξιος ἐπισκοπῆς, γινέσθω.

κβ΄. Ὁ ἀκρωτηριάσας ἑαυτὸν μὴ γινέσθω κληρικός· αὐτοφονευτὴς γάρ ἐστιν καὶ τῆς τοῦ θεοῦ δημιουργίας ἐχθρός.

κγ΄. Εἴ τις κληρικὸς ὢν ἑαυτὸν ἀκρωτηριάσῃ, καθαιρείσθω· φονεὺς γάρ ἐστιν ἑαυτοῦ.

κδ΄. Λαϊκὸς ἑαυτὸν ἀκρωτηριάσας ἀφοριζέσθω ἔτη τρία· ἐπίβουλος γάρ ἐστιν τῆς ἑαυτοῦ ζωῆς.

κε΄. Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ὁ πορνείᾳ ἢ ἐπιορκίᾳ ἢ κλοπῇ ἁλοὺς καθαιρείσθω, καὶ μὴ ἀφοριζέσθω· λέγει γὰρ ἡ γραφή· «Οὐκ ἐκδικήσεις δὶς ἐπὶ τὸ αὐτό·[2]» ὡσαύτως καὶ οἱ λοιποὶ κληρικοί.

κστ΄. Τῶν εἰς κλῆρον παρελθόντων ἀγάμων κελεύομεν βουλομένους γαμεῖν ἀναγνώστας καὶ ψάλτας μόνους.

κζ΄. Ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον τύπτοντα πιστοὺς ἁμαρτάνοντας ἢ ἀπίστους ἀδικήσαντας καὶ διὰ τῶν τοιούτων φοβεῖν ἐθέλοντα καθαιρεῖσθαι προστάσσομεν· οὐδαμοῦ γὰρ ἡμᾶς ὁ κύριος ταῦτα ἐδίδαξεν, τοὐναντίον δὲ αὐτὸς τυπτόμενος οὐκ ἀντέτυπτεν, «λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει.[3]»

κη΄. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, καθαιρεθεὶς δικαίως ἐπὶ ἐγκλήμασι φανεροῖς, τολμήσειεν ἐφάψασθαι τῆς ποτε ἐγχειρισθείσης αὐτῷ λειτουργίας, οὗτος παντάπασιν ἐκκοπτέσθω τῆς ἐκκλησίας.

κθ΄. Εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται ἢ πρεσβύτερος ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπτέσθω παντάπασιν καὶ τῆς κοινωνίας, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ Πέτρου.[4]

λ΄. Εἴ τις ἐπίσκοπος, κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένηται, καθαιρείσθω καὶ ἀφοριζέσθω, καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες.

λα΄. Εἴ τις πρεσβύτερος, καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου, χωρὶς συναγάγῃ καὶ θυσιαστήριον ἕτερον πήξῃ, μηδὲν κατεγνωκὼς

---

1. Λευϊτ. 18, 16. 2. Να. 1, 9. 3. Α' Πέτρ. 2, 23. 4. Πράξ. 8, 21.

τοῦ ἐπισκόπου ἐν εὐσεβείᾳ καὶ δικαιοσύνῃ, καθαιρείσθω ὡς φίλαρχος, τύραννος γάρ ἐστιν, καὶ οἱ λοιποὶ κληρικοί, ὅσοι ἂν αὐτῷ προσθῶνται· οἱ δὲ λαϊκοὶ ἀφοριζέσθωσαν. ταῦτα δὲ μετὰ μίαν καὶ δευτέραν ἢ καὶ τρίτην τοῦ ἐπισκόπου παράκλησιν γινέσθω.

λβ'. Εἴ τις πρεσβύτερος ἢ διάκονος ὑπὸ ἐπισκόπου γένηται ἐν ἀφορισμῷ, τοῦτον μὴ ἐξεῖναι παρ' ἑτέρου δεχθῆναι, ἀλλ' ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτόν, εἰ μὴ ἂν κατὰ συγκυρίαν τελευτήσῃ ὁ ἀφορίσας αὐτὸν ἐπίσκοπος.

λγ'. Μηδένα τῶν ξένων ἐπισκόπων ἢ πρεσβυτέρων ἢ διακόνων ἄνευ συστατικῶν προσδέχεσθε· καὶ ἐπιφερομένων δὲ αὐτῶν ἀνακρινέσθωσαν, καὶ ἐὰν μὲν ὦσιν κήρυκες τῆς εὐσεβείας, προσδεχέσθωσαν, εἰ δὲ μήγε, τὰ πρὸς τὰς χρείας αὐτοῖς ἐπιχορηγήσαντες εἰς κοινωνίαν αὐτοὺς μὴ προσδέξησθε· πολλὰ γὰρ κατὰ συναρπαγὴν γίνεται.

λδ'. Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν καὶ μηδέν τι περιττὸν πράττειν ἄνευ τῆς ἐκείνου γνώμης, ἐκεῖνα δὲ μόνα ἕκαστον, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει καὶ ταῖς ὑπ' αὐτὴν χώραις· ἀλλὰ μηδὲ ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι· οὕτως γὰρ ὁμόνοια ἔσται, καὶ δοξασθήσεται ὁ θεὸς διὰ Χριστοῦ ἐν τῷ ἁγίῳ πνεύματι.

λε'. Ἐπίσκοπον μὴ τολμᾶν ἔξω τῶν ἑαυτοῦ ὅρων χειροτονίας ποιεῖσθαι εἰς τὰς μὴ ὑποκειμένας αὐτῷ πόλεις καὶ χώρας· εἰ δὲ ἐλεγχθείη τοῦτο πεποιηκὼς παρὰ τὴν τῶν κατεχόντων τὰς πόλεις ἐκείνας ἢ τὰς χώρας γνώμην, καθαιρείσθω καὶ αὐτὸς καὶ οὓς ἐχειροτόνησεν.

λστ'. Εἴ τις χειροτονηθεὶς ἐπίσκοπος μὴ καταδέχοιτο τὴν λειτουργίαν καὶ τὴν φροντίδα τοῦ λαοῦ τὴν ἐγχειρισθεῖσαν αὐτῷ, τοῦτον ἀφωρισμένον τυγχάνειν, ἕως ἂν καταδέξηται· ὡσαύτως καὶ πρεσβύτερος καὶ διάκονος. εἰ δὲ ἀπελθὼν μὴ δεχθείη, οὐ παρὰ τὴν ἑαυτοῦ γνώμην, ἀλλὰ παρὰ τὴν τοῦ λαοῦ μοχθηρίαν, αὐτὸς μὲν ἔστω ἐπίσκοπος, ὁ δὲ κλῆρος τῆς πόλεως ἀφοριζέσθω, ὅτι τοιούτου λαοῦ ἀνυποτάκτου παιδευταὶ οὐκ ἐγένοντο.

λζ'. Δεύτερον τοῦ ἔτους σύνοδος γινέσθω τῶν ἐπισκόπων, καὶ ἀνακρινέτωσαν ἀλλήλους τὰ δόγματα τῆς εὐσεβείας, καὶ τὰς ἐμπιπτούσας ἐκκλησιαστικὰς ἀντιλογίας διαλυέτωσαν· ἅπαξ μὲν τῇ τετάρτῃ ἑβδομάδι τῆς πεντηκοστῆς, δεύτερον δὲ Ὑπερβερεταίου δωδεκάτῃ.

λη'. Πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτὰ ὡς θεοῦ ἐφορῶντος· μὴ ἐξεῖναι δὲ αὐτῷ σφετερίζεσθαί τι ἐξ αὐτῶν ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ θεοῦ χαρίζεσθαι· εἰ δὲ πένητες ὦσιν, ἐπιχορηγείτω ὡς πένησιν, ἀλλὰ μὴ προφάσει τούτων τὰ τῆς ἐκκλησίας ἀπεμπολείτω.

λθ'. Οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι ἄνευ γνώμης τοῦ ἐπισκόπου μηδὲν ἐπιτελείτωσαν· αὐτὸς γάρ ἐστιν ὁ πεπιστευμένος τὸν λαὸν

κυρίου καὶ τὸν ὑπὲρ τῶν ψυχῶν αὐτῶν λόγον ἀπαιτηθησόμενος.

μ'. Ἔστω φανερὰ τὰ ἴδια τοῦ ἐπισκόπου πράγματα, εἴγε καὶ ἴδια ἔχει, καὶ φανερὰ τὰ κυριακά, ἵνα ἐξουσίαν ἔχῃ τῶν ἰδίων τελευτῶν ὁ ἐπίσκοπος ὡς βούλεται καὶ οἷς βούλεται καταλεῖψαι, καὶ μὴ προφάσει τῶν ἐκκλησιαστικῶν πραγμάτων διαπίπτειν τὰ τοῦ ἐπισκόπου ἔσθ' ὅτε γυναῖκα καὶ παῖδας κεκτημένου ἢ συγγενεῖς ἢ οἰκέτας· δίκαιον γὰρ τοῦτο «παρὰ θεῷ καὶ ἀνθρώποις[1]», τὸ μήτε τὴν ἐκκλησίαν ζημίαν τινὰ ὑπομένειν ἀγνοίᾳ τῶν τοῦ ἐπισκόπου πραγμάτων, μήτε τὸν ἐπίσκοπον ἢ τοὺς αὐτοῦ συγγενεῖς προφάσει τῆς ἐκκλησίας δημεύεσθαι, ἢ καὶ εἰς πράγματα ἐμπίπτειν τοὺς αὐτῷ διαφέροντας, καὶ τὸν αὐτοῦ θάνατον δυσφημίᾳ περιβάλλεσθαι.

μα'. Προστάσσομεν τὸν ἐπίσκοπον ἐξουσίαν ἔχειν τῶν τῆς ἐκκλησίας πραγμάτων· εἰ γὰρ τὰς τιμίας τῶν ἀνθρώπων ψυχὰς αὐτῷ πιστευτέον, πολλῷ ἂν δέοι περὶ τῶν χρημάτων ἐντέλλεσθαι, ὥστε κατὰ τὴν αὐτοῦ ἐξουσίαν πάντα διοικεῖσθαι τοῖς δεομένοις διὰ τῶν πρεσβυτέρων καὶ τῶν διακόνων καὶ ἐπιχορηγεῖσθαι μετὰ φόβου θεοῦ καὶ πάσης εὐλαβείας· μεταλαμβάνειν δὲ καὶ αὐτὸν τῶν δεόντων, εἴγε δέοιτο, εἰς τὰς ἀναγκαίας αὐτοῦ χρείας καὶ τῶν ἐπιξενουμένων ἀδελφῶν, ὡς κατὰ μηδένα τρόπον αὐτοὺς ὑστερεῖσθαι. ὁ γὰρ νόμος τοῦ θεοῦ διετάξατο τοὺς τῷ θυσιαστηρίῳ παραμένοντας ἐκ τοῦ θυσιαστηρίου τρέφεσθαι[2], ἐπείπερ οὐδὲ στρατιώτης ἰδίοις ὀψωνίοις ὅπλα κατὰ πολεμίων ἐπιφέρεται.[3]

μβ'. Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος κύβοις σχολάζων καὶ μέθαις ἢ παυσάσθω ἢ καθαιρείσθω.

μγ'. Ὑποδιάκονος ἢ ἀναγνώστης ἢ ψάλτης τὰ ὅμοια ποιῶν ἢ παυσάσθω ἢ ἀφοριζέσθω· ὡσαύτως καὶ λαϊκός.

μδ'. Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος τόκους ἀπαιτῶν τοὺς δανειζομένους ἢ παυσάσθω ἢ καθαιρείσθω.

με'. Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος αἱρετικοῖς συνευξάμενοι μόνον ἀφοριζέσθωσαν· εἰ δὲ καὶ ἐπέτρεψαν αὐτοῖς ὡς κληρικοῖς ἐνεργῆσαί τι, καθαιρείσθωσαν.

μστ'. Ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον αἱρετικῶν δεξαμένους βάπτισμα ἢ θυσίαν καθαιρεῖσθαι προστάσσομεν, «τίς» γὰρ «συμφώνησις Χριστοῦ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου.[4]»

μζ'. Ἐπίσκοπος ἢ πρεσβύτερος τὸν κατὰ ἀλήθειαν ἔχοντα βάπτισμα ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν ἐὰν μὴ βαπτίσῃ, καθαιρείσθω ὡς γελῶν τὸν σταυρὸν καὶ τὸν τοῦ κυρίου θάνατον καὶ μὴ διακρίνων ἱερέας ψευδιερέων.

μη'. Εἴ τις λαϊκὸς τὴν ἑαυτοῦ γυναῖκα ἐκβαλὼν ἑτέραν λάβοι ἢ παρὰ ἄλλου ἀπολελυμένην, ἀφοριζέσθω.

μθ'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος κατὰ τὴν τοῦ κυρίου διάταξιν

1. Λουκ. 2, 52. 2. Δευτ. 18, 1 ἑξ. 3. Α' Κορ. 9, 7, 13. 4. Β' Κορ. 6, 15.

μὴ βαπτίσῃ εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἀλλὰ εἰς τρεῖς ἀνάρχους ἢ εἰς τρεῖς υἱοὺς ἢ εἰς τρεῖς παρακλήτους, καθαιρείσθω.

ν΄. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος μὴ τρία βαπτίσματα μιᾶς μυήσεως ἐπιτελέσῃ, ἀλλὰ ἓν βάπτισμα τὸ εἰς τὸν θάνατον τοῦ κυρίου διδόμενον[1], καθαιρείσθω· οὐ γὰρ εἶπεν ὁ κύριος· Εἰς τὸν θάνατόν μου, βαπτίσατε, ἀλλά· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.[2]»

να΄. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ γάμου καὶ κρεῶν καὶ οἴνου οὐ δι' ἄσκησιν, ἀλλὰ διὰ βδελυρίαν ἀπέχεται, ἐπιλαθόμενος, ὅτι «πάντα καλὰ λίαν[3]» καὶ ὅτι «ἄρσεν καὶ θῆλυ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον[4]», ἀλλὰ βλασφημῶν διαβάλλει τὴν δημιουργίαν, ἢ διορθούσθω ἢ καθαιρείσθω καὶ τῆς ἐκκλησίας ἀποβαλλέσθω· ὡσαύτως καὶ λαϊκός.

νβ΄. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος τὸν ἐπιστρέφοντα ἀπὸ ἁμαρτίας οὐ προσδέχεται, ἀλλὰ ἀποβάλλεται, καθαιρείσθω, ὅτι λυπεῖ τὸν Χριστὸν τὸν εἰπόντα· «Χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.[5]»

νγ΄. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν οὐ μεταλαμβάνει κρεῶν καὶ οἴνου, καθαιρείσθω ὡς «κεκαυτηριασμένος τὴν συνείδησιν[6]» καὶ αἴτιος σκανδάλου πολλοῖς γινόμενος.

νδ΄. Εἴ τις κληρικὸς ἐν καπηλείῳ φωραθῇ ἐσθίων, ἀφοριζέσθω, παρὲξ τοῦ ἐν πανδοχείῳ ἐν ὁδῷ δι' ἀνάγκην καταλύειν.

νε΄. Εἴ τις κληρικὸς ὑβρίσει τὸν ἐπίσκοπον ἀδίκως, καθαιρείσθω. «Ἄρχοντα» γάρ, φησί, «τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.[7]»

νς΄. Εἴ τις κληρικὸς ὑβρίσει πρεσβύτερον ἢ διάκονον, ἀφοριζέσθω.

νζ΄. Εἴ τις κληρικὸς κωφὸν ἢ χωλὸν ἢ τυφλὸν ἢ τὰς βάσεις πεπληγμένον χλευάσῃ, ἀφοριζέσθω· ὡσαύτως καὶ λαϊκός.

νη΄. Ἐπίσκοπος ἢ πρεσβύτερος ἀμελῶν τοῦ κλήρου ἢ τοῦ λαοῦ καὶ μὴ παιδεύων αὐτοὺς τὴν εὐσέβειαν ἀφοριζέσθω, ἐπιμένων δὲ τῇ ῥαθυμίᾳ καθαιρείσθω.

νθ΄. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος, τινὸς τῶν κληρικῶν ἐνδεοῦς ὄντος, μὴ ἐπιχορηγεῖ τὰ δέοντα, ἀφοριζέσθω· ἐπιμένων δὲ καθαιρείσθω, ὡς φονεύσας τὸν ἀδελφὸν αὐτοῦ.

ξ΄. Εἴ τις τὰ ψευδεπίγραφα τῶν ἀσεβῶν βιβλία ὡς ἅγια ἐπὶ τῆς ἐκκλησίας δημοσιεύει ἐπὶ λύπῃ τοῦ λαοῦ καὶ τοῦ κλήρου, καθαιρείσθω.

ξα΄. Εἴ τις κατηγορία γένηται κατὰ πιστοῦ πορνείας ἢ μοιχείας ἢ ἄλλης τινὸς ἀπηγορευμένης πράξεως καὶ ἐλεγχθῇ, εἰς κλῆρον μὴ προαγέσθω.

---

1. Ῥωμ. 6, 3. 2. Ματθ. 28, 19. 3. Γεν. 1, 31. 4. Γεν. 1, 27. 5. Λουκ. 15, 7. 6. Α΄ Τιμ. 4, 2. 7. Ἐξ. 22, 28.

ξβ'. Εἴ τις κληρικὸς διὰ φόβον ἀνθρώπινον Ἰουδαίου ἢ Ἕλληνος ἢ αἱρετικοῦ ἀρνήσηται, εἰ μὲν τὸ ὄνομα τοῦ Χριστοῦ, ἀποβαλλέσθω, εἰ δὲ τὸ ὄνομα τοῦ κληρικοῦ, καθαιρείσθω· μετανοήσας δὲ ὡς λαϊκὸς δεχθήτω.

ξγ'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ ὅλως ἐκ τοῦ καταλόγου τοῦ ἱερατικοῦ «φάγῃ κρέας ἐν αἵματι ψυχῆς αὐτοῦ[1]» ἢ «θηριάλωτον[2]» ἢ «θνησιμαῖον[3]», καθαιρείσθω, τοῦτο γὰρ ὁ νόμος ἀπεῖπεν· ἐὰν δὲ λαϊκὸς ᾖ, ἀφοριζέσθω.

ξδ'. Εἴ τις κληρικὸς εὑρεθῇ τὴν κυριακὴν ἡμέραν ἢ τὸ σάββατον πλὴν τοῦ ἑνὸς μόνου νηστεύων, καθαιρείσθω· ἐὰν δὲ λαϊκός, ἀφοριζέσθω.

ξε'. Εἴ τις κληρικὸς ἢ λαϊκὸς εἰσέλθοι εἰς συναγωγὴν Ἰουδαίων ἢ αἱρετικῶν προσεύξασθαι, καθαιρείσθω καὶ ἀφοριζέσθω.

ξϛ'. Εἴ τις κληρικὸς ἐν μάχῃ τινὰ κρούσας καὶ ἀπὸ τοῦ ἑνὸς κρούσματος ἀποκτείνῃ, καθαιρείσθω διὰ τὴν προπέτειαν αὐτοῦ· ἐὰν δὲ λαϊκὸς ᾖ, ἀφοριζέσθω.

ξζ'. Εἴ τις παρθένον ἀμνήστευτον βιασάμενος ἔχῃ, ἀφοριζέσθω· μὴ ἐξεῖναι δὲ αὐτῷ ἑτέραν λαμβάνειν, ἀλλ' ἐκείνην κατέχειν, ἣν καὶ ᾑρετίσατο, κἂν πενιχρὰ τυγχάνῃ.

ξη'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος δευτέραν χειροτονίαν δέξηται παρά τινος, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας, εἰ μὴ δείξῃ παρὰ αἱρετικῶν αὐτὸν ἔχειν τὴν χειροτονίαν· τοὺς γὰρ παρὰ τοιούτων βαπτισθέντας ἢ χειροτονηθέντας οὔτε πιστοὺς οὔτε κληρικοὺς εἶναι δυνατόν.

ξθ'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος ἢ ὑποδιάκονος ἢ ἀναγνώστης ἢ ψάλτης τὴν ἁγίαν τεσσαρακοστὴν οὐ νηστεύει ἢ τετράδα ἢ παρασκευήν, καθαιρείσθω, ἐκτὸς εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο· ἐὰν δὲ λαϊκὸς ᾖ, ἀφοριζέσθω.

ο'. Εἴ τις ἐπίσκοπος ἢ ἄλλος κληρικὸς νηστεύει μετὰ Ἰουδαίων ἢ ἑορτάζει μετ' αὐτῶν ἢ δέχεται αὐτῶν τὰ τῆς ἑορτῆς ξένια, οἷον ἄζυμα ἤ τι τοιοῦτον, καθαιρείσθω· εἰ δὲ λαϊκός, ἀφοριζέσθω.

οα'. Εἴ τις Χριστιανὸς ἔλαιον ἀπενέγκοι εἰς ἱερὸν ἐθνῶν ἢ εἰς συναγωγὴν Ἰουδαίων ἢ ἐν ταῖς ἑορταῖς αὐτῶν λύχνους ἅψῃ, ἀφοριζέσθω.

οβ'. Εἴ τις κληρικὸς ἢ λαϊκὸς ἀπὸ τῆς ἁγίας ἐκκλησίας ἀφέληται κηρὸν ἢ ἔλαιον, ἀφοριζέσθω καὶ τὸ ἐπίπεμπτον προστιθέτω μεθ' οὗ ἔλαβεν.

ογ'. Σκεῦος ἀργύρου ἢ χρυσοῦ ἢ ὀθόνης ἁγιασθὲν μηδεὶς ἔτι εἰς οἰκείαν χρῆσιν σφετεριζέσθω, παράνομον γάρ· εἰ δέ τις φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ.

οδ'. Ἐπίσκοπον κατηγορηθέντα ἐπί τινι ὑπὸ ἀξιοπίστων καὶ πιστῶν ἀνθρώπων, καλεῖσθαι αὐτὸν ἀναγκαῖον ὑπὸ τῶν ἐπισκόπων·

---

1. Γεν. 9, 4. 2. Ἔξ. 22, 31. 3. Δευτ. 14, 21.

κἂν μὲν ἀπαντήσῃ καὶ ὁμολογήσῃ, ἐλεγχθέντος αὐτοῦ ὁριζέσθω τὸ ἐπιτίμιον· ἐὰν δὲ καλούμενος μὴ ὑπακούσῃ, καλείσθω καὶ δεύτερον, ἀποστελλομένων ἐπ' αὐτὸν δύο ἐπισκόπων· ἐὰν δὲ καὶ οὕτω μὴ ὑπακούσῃ, καλείσθω καὶ τρίτον, δύο πάλιν ἐπισκόπων ἀποσταλέντων πρὸς αὐτόν· ἐὰν δὲ καὶ οὕτως καταφρονήσας μὴ ἀπαντήσῃ, ἡ σύνοδος ἀποφαινέσθω κατ' αὐτοῦ τὰ δοκοῦντα, ὅπως μὴ δόξῃ κερδαίνειν φυγοδικῶν.

οε'. Εἰς μαρτυρίαν τὴν κατὰ ἐπισκόπου αἱρετικὸν μὴ προσδέχεσθε, ἀλλὰ μηδὲ πιστὸν ἕνα μόνον· «ἐπὶ στόματος» γὰρ «δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα.[1]»

ος'. Ὅτι μὴ χρὴ τὸν ἐπίσκοπον τῷ ἀδελφῷ ἢ τῷ υἱῷ ἢ ἑτέρῳ συγγενεῖ χαριζόμενον τὸ ἀξίωμα τῆς ἐπισκοπῆς χειροτονεῖν οὓς αὐτὸς βούλεται· κληρονόμους γὰρ τῆς ἐπισκοπῆς αὐτοῦ ποιεῖσθαι οὐ δίκαιον, τὰ τοῦ θεοῦ χαριζόμενον πάθει ἀνθρωπίνῳ· οὐ γὰρ τὴν τοῦ θεοῦ ἐκκλησίαν ὑπὸ κληρονομίαν ὀφείλει τιθέναι. εἰ δέ τις τοῦτο ποιήσει, ἄκυρος μὲν ἔστω ἡ χειροτονία, αὐτὸς δὲ ἐπιτιμάσθω ἀφορισμῷ.

οζ'. Ἐάν τις ἀνάπηρος ᾖ τὸν ὀφθαλμὸν ἢ τὸ σκέλος πεπληγμένος, ἄξιος δὲ ᾖ εἰς ἐπισκοπήν, γινέσθω· οὐ γὰρ λώβη σώματος αὐτὸν μιαίνει, ἀλλὰ ψυχῆς μολυσμός.

οη'. Κωφὸς δὲ ὢν καὶ τυφλὸς μὴ γινέσθω ἐπίσκοπος, οὐχ ὡς μεμιαμμένος, ἀλλ' ἵνα μὴ τὰ ἐκκλησιαστικὰ παρεμποδίζοιτο.

οθ'. Ἐάν τις δαίμονα ἔχῃ, κληρικὸς μὴ γινέσθω, ἀλλὰ μηδὲ τοῖς πιστοῖς συνευχέσθω· καθαρισθεὶς δὲ προσδεχέσθω, καὶ ἐὰν ᾖ ἄξιος, γινέσθω.

π'. Τὸν ἐξ ἐθνῶν προσελθόντα καὶ βαπτισθέντα ἢ ἐκ φαύλης διαγωγῆς οὐ δίκαιόν ἐστι παραυτὰ προχειρίζεσθαι εἰς ἐπισκοπήν· ἄδικον γὰρ τὸν μηδέπω πεῖραν ἐπιδειξάμενον ἑτέρων εἶναι διδάσκαλον, εἰ μή που κατὰ θείαν χάριν τοῦτο γένοιτο.

πα'. Εἴπομεν, ὅτι μὴ χρὴ ἐπίσκοπον καθεῖναι ἑαυτὸν εἰς δημοσίας διοικήσεις, ἀλλὰ προσευκαιρεῖν ταῖς ἐκκλησιαστικαῖς χρείαις· ἢ πειθέσθω οὖν τοῦτο μὴ ποιεῖν, ἢ καθαιρείσθω. «οὐδεὶς» γὰρ «δύναται δυσὶ κυρίοις δουλεύειν[2]» κατὰ τὴν κυριακὴν παρακέλευσιν.

πβ'. Οἰκέτας εἰς κλῆρον προχειρίζεσθαι ἄνευ τῆς τῶν δεσποτῶν γνώμης οὐκ ἐπιτρέπομεν ἐπὶ λύπῃ τῶν κεκτημένων· οἴκων γὰρ ἀνατροπὴν τὸ τοιοῦτο ἐργάζεται. εἰ δέ ποτε καὶ ἄξιος φανείη οἰκέτης πρὸς χειροτονίαν βαθμοῦ, οἷος Ὀνήσιμος ὁ ἡμέτερος ἀνεφάνη, καὶ συγχωροῦσιν οἱ δεσπόται καὶ ἐλευθεροῦσιν καὶ τοῦ οἴκου ἑαυτῶν ἐξαποστέλλουσιν, γινέσθω.

πγ'. Ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον στρατείαις παραμένοντα καὶ ἀμφότερα ποιεῖν βουλόμενον, κατέχειν ῥωμαϊκὴν ἀρχὴν

1. Δευτ. 19, 15. 2. Ματθ. 6, 24.

καὶ ἱερατικὴν ἀρχὴν διοικεῖν, καθαιρεῖν χρή· «τὰ» γὰρ «καίσαρος καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ.[1]»

πδ'. Ὅστις ὑβρίσει βασιλέα ἢ ἄρχοντα παρὰ τὸ δίκαιον, τιμωρίαν τιννύτω· καὶ εἰ μὲν κληρικός, καθαιρείσθω, εἰ δὲ λαϊκός, ἀφοριζέσθω.

πε'. Ἔστω δὲ ὑμῖν πᾶσι κληρικοῖς καὶ λαϊκοῖς βιβλία σεβάσμια καὶ ἅγια τῆς μὲν παλαιᾶς διαθήκης Μωσέως πέντε, Γένεσις, Ἔξοδος, Λευϊτικόν, Ἀριθμοί, Δευτερονόμιον· Ἰησοῦ τοῦ Ναυὴ ἕν, τῶν Κριτῶν ἕν, τῆς Ῥοὺθ ἕν, Βασιλείων τέσσαρα, Παραλειπομένων τῆς βίβλου τῶν ἡμερῶν δύο, Ἔσδρα δύο, Ἐσθὴρ ἕν, Ἰουδὶθ ἕν, Μακκαβαίων τρία, Ἰὼβ ἕν, Ψαλμοὶ ἑκατὸν πεντήκοντα· Σολομῶντος βιβλία τρία, Παροιμίαι, Ἐκκλησιαστής, Ἆσμα ᾀσμάτων· Προφῆται δέκα ἕξ· καὶ ἔξωθεν ὑμῖν προσιστορείσθω μανθάνειν ὑμῶν τοὺς νέους τὰς Σοφίας τοῦ πολυμαθοῦς Σιράχ. ἡμέτερα δέ, τοῦτ' ἔστι τῆς καινῆς διαθήκης, Εὐαγγέλια τέσσαρα, ὡς καὶ ἐν τοῖς προλαβοῦσιν εἴπομεν, Ματθαίου, Μάρκου, Λουκᾶ, Ἰωάννου· Παύλου ἐπιστολαὶ δεκατέσσαρες, Ἰακώβου μία, Ἰωάννου τρεῖς, Ἰούδα μία, Πέτρου δύο, Κλήμεντος δύο, καὶ αἱ Διαταγαὶ ὑμῖν τοῖς ἐπισκόποις δι' ἐμοῦ Κλήμεντος ἐν ὀκτὼ βιβλίοις προσπεφωνημέναι, ἃς οὐ χρὴ δημοσιεύειν ἐπὶ πάντων διὰ τὰ ἐν αὐταῖς μυστικά· καὶ αἱ Πράξεις ἡμῶν τῶν ἀποστόλων.

XLVIII. Ταῦτα καὶ περὶ κανόνων ὑμῖν διατετάχθω παρ' ἡμῶν, ὦ ἐπίσκοποι. 2. ὑμεῖς δὲ ἐμμένοντες μὲν αὐτοῖς σωθήσεσθε καὶ εἰρήνην ἕξετε· ἀπειθοῦντες δὲ κολασθήσεσθε καὶ πόλεμον μετ' ἀλλήλων ἀΐδιον ἕξετε, δίκην τῆς ἀνηκοΐας τὴν προσήκουσαν τιννύντες. 3. θεὸς δὲ ὁ μόνος ἀγέννητος καὶ τῶν ὅλων διὰ Χριστοῦ ποιητὴς πάντας ὑμᾶς διὰ τῆς εἰρήνης ἐν πνεύματι ἁγίῳ ἑνώσει, «καταρτίσει εἰς πᾶν ἔργον ἀγαθὸν[2]» ἀτρέπτους, ἀμέμπτους, ἀνεγκλήτους, καταξιώσει τε τῆς αἰωνίου ζωῆς σὺν ἡμῖν διὰ τῆς μεσιτείας τοῦ ἠγαπημένου παιδὸς αὐτοῦ Ἰησοῦ Χριστοῦ, τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν, μεθ' οὗ ἡ δόξα αὐτῷ τῷ ἐπὶ πάντων θεῷ καὶ πατρὶ ἐν ἁγίῳ πνεύματι τῷ παρακλήτῳ νῦν τε καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων · ἀμήν.

---

1. Ματθ. 22, 21. 2. Ἑβρ. 13, 21.

ΕΠΙΤΟΜΗ ΤΟΥ ΒΙΒΛΙΟΥ Η΄ ΤΩΝ ΔΙΑΤΑΓΩΝ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ*

Α΄

ΔΙΔΑΣΚΑΛΙΑ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΠΕΡΙ ΧΑΡΙΣΜΑΤΩΝ

1. Τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ μέγα τῆς εὐσεβείας ἡμῖν παραδιδόντος μυστήριον[1] καὶ προσκαλουμένου Ἰουδαίους τε καὶ Ἕλληνας εἰς ἐπίγνωσιν τοῦ ἑνὸς καὶ μόνου ἀληθινοῦ θεοῦ πατρὸς αὐτοῦ, καθὼς αὐτός φησιν εὐχαριστῶν ἐπὶ τῇ σωτηρίᾳ τῶν πιστευσάντων· «Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις, τὸ ἔργον, ὃ δέδωκάς μοι, τελειώσας[2]», καὶ περὶ ἡμῶν λέγοντος τῷ πατρί· «Πάτερ ἅγιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἀλλ' ἐγώ σε ἔγνων καὶ οὗτοί σε ἔγνωσαν·[3]» εἰκότως, ὡς ἂν τετελειωμένων ἡμῶν, φησὶν ἅπασιν ἅμα περὶ τῶν ἐξ αὐτοῦ διδομένων χαρισμάτων διὰ τοῦ πνεύματος· «Σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσιν, γλώσσαις λαλήσουσι καιναῖς, ὄφεις ἀροῦσιν· κἂν θανάσιμόν τι πίωσιν, οὐδὲν αὐτοὺς ἀδικήσει· ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι καὶ καλῶς ἕξουσιν·[4]» 2. τούτων τῶν χαρισμάτων πρότερον ἡμῖν δοθέντων τοῖς ἀποστόλοις μέλλουσι τὸ εὐαγγέλιον καταγγέλλειν πάσῃ τῇ κτίσει, ἔπειτα τοῖς δι' ἡμῶν πιστεύσασιν ἀναγκαίως χορηγουμένων, οὐκ εἰς τὴν τῶν ἐνεργούντων ὠφέλειαν, ἀλλ' εἰς τὴν τῶν ἀπίστων συγκατάθεσιν ἐγίνετο, ἵνα, οὓς οὐκ ἔπεισεν ὁ λόγος, τούτους ἡ τῶν σημείων δυσωπήσῃ δύναμις. 3. τὰ γὰρ «σημεῖα οὐ τοῖς πιστοῖς» ἡμῖν, «ἀλλὰ τοῖς ἀπίστοις[5]» Ἰουδαίων τε καὶ Ἑλλήνων· οὔτε γὰρ τὸ δαίμονας ἐκβάλλειν ἡμέτερον κέρδος, ἀλλὰ τῶν ἐνεργείᾳ Χριστοῦ καθαιρομένων, καθὼς αὐτός που παιδεύων ἡμᾶς ὁ κύριος δείκνυσι λέγων· «Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούουσιν, ἀλλὰ χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν οὐρανῷ·[6]» ἐπειδὴ τὸ μὲν αὐτοῦ δυνάμει, τὸ δὲ ἡμετέρᾳ εὐνοίᾳ καὶ σπουδῇ, δηλονότι βοηθουμένοις ὑπ' αὐτοῦ. 4. οὐκ ἐπάναγκες οὖν πάντα πιστὸν ἐκβάλλειν δαίμονας ἢ νεκροὺς ἀνιστᾶν ἢ γλώσσαις λαλεῖν, ἀλλὰ τὸν ἀξιωθέντα χαρίσματος ἐπί τινι αἰτίᾳ χρησίμῃ εἰς σωτηρίαν τῶν ἀπίστων, δυσωπουμένων πολλάκις οὐ τὴν τῶν λόγων ἀπόδειξιν, ἀλλὰ τὴν τῶν σημείων ἐνέργειαν, ἀξίων ὄντων σωτηρίας.

---

* Περὶ τοῦ ἔργου τούτου ἰδὲ Βιβλ. Ἑλλ. Πατ. τ. Α΄, σελ. 11.

1. Πρβλ. Α΄ Τιμ. 3, 16. 2. Ἰω. 17, 6, 4. 3. Ἰω. 17, 25. 4. Μάρκ. 16, 17, 18. 5. Α΄ Κορ. 14, 22. 6. Λουκ. 10, 20.

5. οὐδὲ γὰρ πάντες οἱ ἀσεβεῖς ὑπὸ τῶν θαυμάτων ἐντρέπονται· καὶ τούτου μάρτυς αὐτὸς ὁ θεός, ὡς ὅταν λέγῃ ἐν τῷ Νόμῳ, ὅτι «ἐν ἑτερογλώσσοις λαλήσω τῷ λαῷ τούτῳ καὶ ἐν χείλεσιν ἑτέροις, καὶ οὐ μὴ πιστεύσωσιν.[1]» 6. οὔτε γὰρ οἱ Αἰγύπτιοι ἐπίστευσαν τῷ θεῷ, Μωϋσέως τοσαῦτα σημεῖα καὶ τέρατα πεποιηκότος, οὔτε τὸ πλῆθος τῶν Ἰουδαίων τῷ Χριστῷ «πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν αὐτοῖς θεραπεύσαντι·[2]» καὶ οὔτε ἐκείνους ἐδυσώπησε ῥάβδος ψυχουμένη εἰς ὄφιν καὶ Νεῖλος αἱματούμενος, οὔτε τούτους «τυφλοὶ ἀναβλέποντες καὶ χωλοὶ περιπατοῦντες καὶ νεκροὶ ἀνιστάμενοι·[3]» καὶ τῷ μὲν ἀνθίσταντο Ἰαννὴς καὶ Ἰαμβρής[4], τῷ δὲ Ἄννας καὶ Καϊάφας[5]. 7. οὕτως οὐ πάντας δυσωπεῖ τὰ σημεῖα, ἀλλὰ μόνους τοὺς εὐγνώμονας, ὧν καὶ χάριν εὐδοκεῖ ὁ θεὸς ἐπιτελεῖσθαι δυνάμεις ὡς σοφὸς οἰκονόμος, οὐ τῇ τῶν ἀνθρώπων ἰσχύϊ, ἀλλὰ τῇ ἑαυτοῦ βουλήσει. 8. ταῦτα δέ φαμεν ἐπὶ τῷ μὴ ἐπαίρεσθαι τοὺς λαμβάνοντας χαρίσματα τοιάδε κατὰ τῶν μὴ λαβόντων. 9. χαρίσματα δὲ λέγομεν τὰ διὰ τῶν σημείων, ἐπεὶ οὐκ ἔστιν ἄνθρωπος πιστεύσας διὰ Χριστοῦ τοῦ θεοῦ ἡμῶν εἰς αὐτόν τε καὶ τὸν ἄχραντον αὐτοῦ πατέρα καὶ τὸ πανάγιον καὶ ζωοποιὸν αὐτοῦ πνεῦμα, ὃς οὐκ εἴληφε «χάρισμα πνευματικόν.[6]» 10. αὐτό τε γὰρ τὸ ἀπαλλαγῆναι πολυθέου ἀσεβείας καὶ πιστεῦσαι θεῷ ζῶντι καὶ ἀληθινῷ χάρισμά ἐστι θεοῦ, τό τε ἀπορρίψαι τὸ ἰουδαϊκὸν κάλυμμα[7] καὶ πιστεῦσαι, ὅτι εὐδοκίᾳ Θεοῦ ὁ πρὸ αἰώνων μονογενὴς ἐν ὑστέρῳ καιρῷ ἐκ παρθένου γεγέννηται δίχα ὁμιλίας ἀνδρὸς καὶ ὅτι ἐπολιτεύσατο ὡς ἄνθρωπος ἄνευ ἁμαρτίας, «πληρώσας πᾶσαν δικαιοσύνην[8]» τὴν τοῦ νόμου, καὶ ὅτι οἰκείᾳ συγχωρήσει καὶ βουλῇ σταυρὸν ὑπέμεινεν αἰσχύνης καταφρονήσας θεὸς ὢν λόγος, καὶ ὅτι ἀπέθανε καὶ ἐτάφη καὶ ἀνέστη διὰ τριῶν ἡμερῶν καὶ μετὰ τὴν ἀνάστασιν ἕως τεσσαράκοντα ἡμερῶν παραμείνας τοῖς ἀποστόλοις καὶ πληρώσας πᾶσαν διάταξιν, ἀνελήφθη ἐπ' ὄψεσιν αὐτῶν πρὸς τὸν ἀποστείλαντα αὐτὸν θεὸν καὶ πατέρα. 11. ὁ ταῦτα πιστεύσας οὐχ ἁπλῶς οὐδὲ ἀλόγως, ἀλλὰ κρίσει καὶ πληροφορίᾳ, χάρισμα εἴληφεν ἀπὸ τοῦ θεοῦ, ὡσαύτως δὲ καὶ ὁ πάσης αἱρέσεως ἀπαλλαγείς. 12. μὴ οὖν τις τῶν ποιούντων τὰ σημεῖα καὶ τὰ τέρατα κρινέτω τινὰ τῶν πιστῶν μὴ ἀξιωθέντα ἐνεργεῖν· διάφορα γάρ ἐστι τὰ τοῦ θεοῦ χαρίσματα παρ' αὐτοῦ διὰ Χριστοῦ καὶ τοῦ ἁγίου πνεύματος διδόμενα, καὶ σὺ μὲν εἴληφας τοῦτο, ἐκεῖνος δὲ ἄλλο τι, ἢ γὰρ «λόγον σοφίας ἢ γνώσεως ἢ διακρίσεως πνευμάτων[9]» ἢ πρόγνωσιν τῶν μελλόντων ἢ λόγον διδακτικὸν ἢ ἀνεξικακίαν ἢ ἐγκράτειαν ἔννομον. 13. καὶ γὰρ Μωϋσῆς «ὁ τοῦ θεοῦ ἄνθρωπος[10]» ἐν Αἰγύπτῳ ἐπιτελῶν σημεῖα οὐ κατεπήρθη τῶν ὁμοφύλων, καὶ «θεὸς[11]» κληθεὶς οὐχ ἠλα-

---

1. Α' Κορ. 14, 21. Ἠσ. 28, 11-12. 2. Ματθ. 4, 23. 3. Ματθ. 11, 5. 4. Β' Τιμ. 3, 8. 5. Ἰω. 18, 13-14. 6. Ῥωμ. 1, 11. 7. Πρβλ. Β' Κορ. 3, 13. 8. Ματθ. 3, 15. 9. Α' Κορ. 12, 8, 10. 10. Δευτ. 33, 1. 11. Ἔξ. 7, 1.

ζονεύσατο κατὰ τοῦ ἰδίου προφήτου Ἀαρών. 14. ἀλλ' οὔτε ὁ τοῦ Ναυῆ Ἰησοῦς, ἡγησάμενος μετ' αὐτὸν τοῦ λαοῦ καὶ ἐν τῷ πρὸς Ἰεβουσαίους πολέμῳ «στήσας τὸν ἥλιον κατὰ Γαβαὼν καὶ τὴν σελήνην κατὰ φάραγγα Ἐλὼν[1]» διὰ τὸ μὴ αὐταρκεῖν πρὸς τὴν νίκην τὴν ἡμέραν, ἐπήρθη κατὰ τοῦ Φινεὲς καὶ τοῦ Χαλέβ· οὔτε Σαμουὴλ τοσαῦτα παράδοξα ποιήσας παρ' οὐδὲν ἡγήσατο τὸν θεοφιλῆ Δαυίδ, καίτοι ἀμφότεροι προφῆται καὶ ὃς μὲν ἀρχιερεύς, ὃς δὲ βασιλεύς. 15. «καὶ ἑπτὰ χιλιάδων ὑπαρχουσῶν ἁγίων ἐν Ἰσραὴλ τῶν μὴ καμψάντων γόνυ τῇ Βάαλ[2]», μόνος Ἠλίας ἐν αὐτοῖς καὶ ὁ τούτου μαθητὴς Ἐλισσαῖος θαυματουργοὶ γεγόνασιν· ἀλλ' οὔτε Ἠλίας τὸν οἰκονόμον Ἀβδιοὺ ἐξεμυκτήρισε φοβούμενον μὲν τὸν θεόν, οὐ ποιοῦντα δὲ σημεῖα· οὔτε Ἐλισσαῖος τὸν ἑαυτοῦ μαθητὴν φρίττοντα τοὺς πολεμίους ὑπερεῖδεν. 16. ἀλλὰ γὰρ οὔτε Δανιὴλ ὁ σοφὸς δεύτερον ῥυσθεὶς ἐκ στόματος λεόντων, οὐδὲ οἱ τρεῖς παῖδες ἐκ τῆς καμίνου τοῦ πυρὸς ἐξουδένωσαν τοὺς λοιποὺς τῶν ὁμοφύλων. ἠπίσταντο γάρ, ὅτι οὐ τῇ οἰκείᾳ δυνάμει τῶν δεινῶν περιεγένοντο, ἀλλὰ τῇ τοῦ θεοῦ ἰσχύϊ, καὶ σημεῖα ἐπετέλουν καὶ τῶν δυσχερῶν ἀπηλλάττοντο. 17. οὐκοῦν μηδεὶς ὑμῶν ἐπαιρέσθω κατὰ τοῦ ἀδελφοῦ, κἂν προφήτης ᾖ, κἂν θαυματοποιός· εἰ γὰρ δοθείη μηκέτι ποῦ τινα εἶναι ἄπιστον, περιττὴ λοιπὸν ἔσται ἡ τῶν σημείων ἐνέργεια. 18. τὸ μὲν γὰρ εἶναι εὐσεβῆ ἐκ τῆς τοῦ τινος εὐνοίας, τὸ δὲ θαυματοποιὸν ἐκ τῆς τοῦ ἐνεργοῦντος δυνάμεως· ὧν τὸ μὲν πρῶτον αὐτοὺς ἡμᾶς ὁρᾷ, τὸ δὲ δεύτερον θεὸν τὸν ἐνεργοῦντα δι' ἃς προείπομεν αἰτίας. 19. οὐκοῦν μήτε βασιλεὺς ἐξουθενείτω τοὺς ὑπ' αὐτὸν στρατηγούς, μήτε ἄρχοντες τοὺς ὑπηκόους· μὴ ὄντων γὰρ τῶν ἀρχομένων περιττοὶ οἱ ἄρχοντες, καὶ μὴ ὄντων στρατηγῶν οὐ σταθήσεται βασιλεία. 20. ἀλλὰ μηδὲ ἐπίσκοπος ἐπαιρέσθω κατὰ τῶν διακόνων ἢ τῶν πρεσβυτέρων, μήτε μὴν οἱ πρεσβύτεροι κατὰ τοῦ λαοῦ· ἐξ ἀλλήλων γάρ ἐστιν ἡ σύστασις τοῦ συναθροίσματος. 21. ὅ τε γὰρ ἐπίσκοπος καὶ οἱ πρεσβύτεροί τινών εἰσιν ἱερεῖς, καὶ οἱ λαϊκοὶ τινών εἰσι λαϊκοί· καὶ τὸ μὲν εἶναι χριστιανὸν ἐφ' ἡμῖν, τὸ δὲ ἀπόστολον ἢ ἐπίσκοπον ἢ ἄλλο τι οὐκ ἐφ' ἡμῖν, ἀλλ' ἐπὶ τῷ διδόντι θεῷ τὰ χαρίσματα. 22. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον εἰρήσθω διὰ τοὺς ἀξιωθέντας χαρισμάτων ἢ ἀξιωμάτων.

II. Ἐκεῖνο δὲ προστίθεμεν τῷ λόγῳ, ὅτι οὔτε πᾶς ὁ προφητεύων ὅσιος οὔτε πᾶς ὁ δαίμονας ἐκβάλλων ἅγιος. 2. καὶ γὰρ καὶ Βαλαὰμ ὁ τοῦ Βεὼρ ὁ μάντις προεφήτευσε δυσσεβὴς ὢν[3] καὶ Καϊάφας ὁ ψευδώνυμος ἀρχιερεύς[4], πολλὰ δὲ καὶ ὁ διάβολος λέγει καὶ οἱ ἀμφ' αὐτὸν δαίμονες· καὶ οὐ παρὰ τοῦτο μέτεστιν αὐτοῖς εὐσεβείας σπινθήρ, ἀγνοίᾳ γάρ εἰσι κεκαλυμμένοι δι' ἑκούσιον κακόνοιαν. 3. δῆλον οὖν, ὅτι οἱ ἀσεβεῖς, κἂν προφητεύωσιν, οὐκ ἀποκαλύπτουσι διὰ τῆς προ-

1. Ἰησ. Ν. 10, 12. 2. Γ' Βασ. 19, 18. 3. Πρβλ. Ἀριθ. 23, 1 ἑξ.
4. Ἰω. 11, 51.

φητείας τὴν ἑαυτῶν ἀσέβειαν, οὐδὲ οἱ δαίμονας ἐκβάλλοντες ἐκ τῆς τούτων ὑποχωρήσεως ὁσιωθήσονται· ἀλλήλους γὰρ ἀπατῶσι, καθάπερ οἱ τὰς παιδιὰς γέλωτος ἕνεκεν ἐπιδεικνύμενοι, καὶ τοὺς προσανέχοντας αὐτοῖς ἀπολλύουσιν. 4. οὔτε γὰρ βασιλεὺς δυσσεβὴς βασιλεύς ἔτι ὑπάρχει, ἀλλὰ τύραννος, οὔτε ἐπίσκοπος ἀγνοίᾳ ἢ κακονοίᾳ πεπιεσμένος ἔτι ἐπίσκοπός ἐστιν, ἀλλὰ ψευδώνυμος, οὐ παρὰ θεοῦ, ἀλλὰ παρὰ ἀνθρώπων προβληθείς, ὡς Ἀνανίας καὶ Σαμαίας ἐν Ἰσραήλ, καὶ Σεδεκίας καὶ Ἀχίας οἱ ἐν Βαβυλῶνι ψευδοπροφῆται.[1] 5. ἀλλὰ γὰρ καὶ Βαλαὰμ ὁ μάντις τιμωρίαν ἔτισε διαφθείρας τὸν Ἰσραὴλ ἐν τῷ Βεελφεγώρ[2], καὶ Καϊάφας ὕστερον αὐτοφονευτὴς ἑαυτοῦ γέγονε, καὶ οἱ υἱοὶ Σκευᾶ ἐπιχειροῦντες δαίμονας ἐλαύνειν ὑπ' αὐτῶν τραυματίαι γενόμενοι ἔφυγον ἀπρεπῶς[3], καὶ οἱ βασιλεῖς τοῦ Ἰσραὴλ καὶ τοῦ Ἰούδα ἀσεβήσαντες παντοίαν τιμωρίαν ἔτισαν. 6. δῆλον οὖν, ὡς καὶ οἱ ψευδώνυμοι ἐπίσκοποι καὶ πρεσβύτεροι οὐκ ἐκφεύξονται τὴν παρὰ θεοῦ δίκην· ῥηθήσεται γὰρ αὐτοῖς· «Καὶ νῦν ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντές μου τὸ ὄνομα, παραδώσω ὑμᾶς εἰς σφαγὴν ὡς Σεδεκίαν καὶ Ἀχίαν, οὓς ἀπετηγάνισε βασιλεὺς Βαβυλῶνος[4]», ὥς φησιν Ἱερεμίας ὁ προφήτης. 7. ταῦτα δέ φαμεν οὐ τὰς ἀληθεῖς προφητείας ἐξουθενοῦντες, ἴσμεν γὰρ αὐτὰς κατ' ἐπίπνοιαν θεοῦ ἐν τοῖς ὁσίοις ἐνεργεῖσθαι, ἀλλὰ τὸ θράσος τῶν ἀλαζονευομένων καταστέλλοντες καὶ προστιθέντες ἐκεῖνο, ὅτι τῶν τοιούτων περιαιρεῖ ὁ θεὸς τὴν χάριν· «ὑπερηφάνοις γὰρ ὁ θεὸς ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.[5]» 8. Σίλας μὲν οὖν καὶ Ἄγαβος ἐφ' ἡμῶν προφητεύσαντες οὐ παρεξέτειναν ἑαυτοὺς τοῖς ἀποστόλοις οὔτε ὑπερέβησαν τὰ ἑαυτῶν μέτρα, καίτοι θεοφιλεῖς ὄντες[6]. 9. προεφήτευσαν δὲ καὶ γυναῖκες, τὸ μὲν παλαιὸν Μαρία ἡ Μωϋσέως καὶ Ἀαρὼν ἀδελφή[7], μετὰ δὲ ταύτην Δεββώρα[8], καὶ μετὰ ταύτην Ὀλδὰ[9] καὶ Ἰουδίθ[10], ἡ μὲν ἐπὶ Ἰωσίου, ἡ δὲ ἐπὶ Δαρείου· καὶ ἡ μήτηρ δὲ τοῦ κυρίου προεφήτευσε καὶ Ἐλισαβὲτ ἡ συγγενὴς αὐτῆς καὶ Ἄννα[11], καὶ ἐφ' ἡμῶν αἱ Φιλίππου θυγατέρες·[12] ἀλλ' οὐκ ἐπήρθησαν κατὰ τῶν ἀνδρῶν αὗται, ἀλλ' ἐφύλαξαν τὰ ἴδια μέτρα. 10. οὐκοῦν καὶ ἐν ὑμῖν κἂν γυνή τις ᾖ, κἂν ἀνήρ, καὶ τύχῃ τοιαύτης χάριτός τινος, ταπεινοφρονείτω, ἵνα ἐπ' αὐτῷ εὐδοκῇ ὁ θεός. «Ἐπὶ τίνα γάρ, φησίν, ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους.[13]»

---

1. Ἱερ. 35, 1 ἑξ. 36, 1 ἑξ. 2. Ἀριθ. 25, 1 ἑξ. 31, 1 ἑξ. 3. Πράξ. 19, 19. 4. Μαλ. 1, 6. Ἱερ. 36, 22. 5. Παρμ. 3, 34. 6. Πράξ. 15, 32. 21, 10. 7. Ἔξ. 15, 20. 8. Κριτ. 4, 4. 9. Δ' Βασ. 22, 14. 10. Ἰουδ. 8, 1 ἑξ. 11. Λουκ. 1, 42 ἑξ. 2, 36. 12. Πράξ. 21, 9. 13. Ἡσ. 66, 2.

Β΄

ΔΙΑΤΑΞΕΙΣ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΠΕΡΙ ΧΕΙΡΟΤΟΝΙΩΝ ΔΙΑ ΙΠΠΟΛΥΤΟΥ

ΙΙΙ. Ἅμα τοίνυν ὑπάρχοντος ἡμεῖς οἱ δώδεκα τοῦ κυρίου ἀπόστολοι τάσδε τὰς θείας ὑμῖν ἐντελλόμεθα διατάξεις περὶ παντὸς ἐκκλησιαστικοῦ τύπου, συμπαρόντος ἡμῖν καὶ τοῦ τῆς «ἐκλογῆς σκεύους[1]» Παύλου τοῦ συναποστόλου ἡμῶν καὶ Ἰακώβου τοῦ ἐπισκόπου καὶ τῶν λοιπῶν πρεσβυτέρων καὶ τῶν ἑπτὰ διακόνων. 2. πρῶτος οὖν ἐγώ φημι Πέτρος· Ἐπίσκοπον χειροτονεῖσθαι διατάσσομαι, ὡς ἐν τοῖς προλαβοῦσιν ἅμα πάντες διεταξάμεθα, ἐν πᾶσιν ἄμεμπτον, ἄριστον, ὑπὸ παντὸς τοῦ λαοῦ ἐκλελεγμένον. 3. οὗ ὀνομασθέντος καὶ ἀρεσθέντος συνελθὼν ὁ λαὸς ἅμα τῷ πρεσβυτερίῳ καὶ τοῖς παροῦσιν ἐπισκόποις ἐν ἡμέρᾳ κυριακῇ συνευδοκείτω, ὁ δὲ πρόκριτος τῶν λοιπῶν ἐρωτάτω τὸ πρεσβυτέριον καὶ τὸν λαόν, εἰ αὐτός ἐστιν, ὃν αἰτοῦνται εἰς ἄρχοντα. 4. καὶ ἐπινευσάντων πάλιν ἐρωτάτω, εἰ μαρτυρεῖται ὑπὸ πάντων ἄξιος εἶναι τῆς μεγάλης ταύτης καὶ λαμπρᾶς ἡγεμονίας, εἰ τὰ κατὰ τὴν εἰς θεὸν αὐτῷ εὐσέβειαν κατώρθωται, εἰ τὰ πρὸς ἀνθρώπους δίκαια πεφύλακται, εἰ τὰ καθ' ἑαυτὸν καλῶς ᾠκονόμησεν, εἰ τὰ κατὰ τὸν βίον ἀνεπίληπτος ὑπάρχει. 5. καὶ πάντων ἅμα κατὰ ἀλήθειαν, ἀλλ' οὐ κατὰ πρόληψιν μαρτυρησάντων τοιοῦτον αὐτὸν εἶναι, ὡς ἐπὶ δικαστῇ θεῷ καὶ Χριστῷ, παρόντος δηλαδὴ καὶ τοῦ ἁγίου πνεύματος καὶ πάντων τῶν ἁγίων καὶ λειτουργικῶν πνευμάτων, ἐκ τρίτου πάλιν πυθέσθω, εἰ ἄξιός ἐστιν ἀληθῶς τῆς λειτουργίας, «ἵνα ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα.[2]» καὶ συνθεμένων αὐτῶν ἐκ τρίτου ἄξιον εἶναι, ἀπαιτείσθωσαν οἱ πάντες σύνθημα, καὶ δόντες προθύμως ἀκουέσθωσαν. 6. καὶ σιωπῆς γενομένης εἷς τῶν πρώτων ἐπισκόπων ἅμα καὶ δυσὶν ἑτέροις πλησίον τοῦ θυσιαστηρίου ἑστώς, τῶν λοιπῶν ἐπισκόπων καὶ πρεσβυτέρων σιωπῇ προσευχομένων, τῶν δὲ διακόνων τὰ θεῖα εὐαγγέλια ἐπὶ τῆς τοῦ χειροτονουμένου κεφαλῆς ἀνεπτυγμένα κατεχόντων, λεγέτω πρὸς θεόν·

IV. Εὐχὴ χειροτονίας ἐπισκόπου.

IV. «Ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ θεὸς πάσης παρακλήσεως[3], ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν[4], ὁ γινώσκων τὰ πάντα πρὶν γενέσεως αὐτῶν·[5]» 2. σὺ ὁ δοὺς ὅρους ἐκκλησίας διὰ λόγου χάριτός σου, ὁ προορίσας τε ἀπ' ἀρχῆς γένος δίκαιον ἐξ Ἀβραάμ, ἄρχοντάς τε

1. Πράξ. 9, 15. 2. Ματθ. 18, 19. 3. Β' Κορ. 1, 3. 4. Ψαλμ. 112, 5-6. 5. Δαν. 1, 42.

καὶ ἱερεῖς καταστήσας, τό τε ἁγίασμά σου μὴ καταλιπὼν ἀλειτούργητον, ὁ ἀπὸ καταβολῆς κόσμου εὐδοκήσας ἐν οἷς ᾑρετίσω δοξασθῆναι· 3. καὶ νῦν ἐπίχεε τὴν παρὰ σοῦ δύναμιν «τοῦ ἡγεμονικοῦ πνεύματος[1]», ὅπερ διὰ τοῦ ἠγαπημένου σου παιδὸς Ἰησοῦ Χριστοῦ δεδώρησαι τοῖς ἁγίοις σου ἀποστόλοις, οἳ καθίδρυσαν τὴν ἐκκλησίαν κατὰ τόπον ἁγιάσματός σου εἰς δόξαν καὶ αἶνον ἀδιάλειπτον τοῦ ὀνόματός σου. 4. καρδιογνῶστα πάντων, δὸς ἐπὶ τὸν δοῦλόν σου τοῦτον, ὃν ἐξελέξω εἰς ἐπισκοπήν σου τὴν ἁγίαν, καὶ ἀρχιερατεύειν σοι ἀμέμπτως, λειτουργοῦντα νυκτὸς καὶ ἡμέρας, ἀδιαλείπτως τε ἱλάσκεσθαι τῷ προσώπῳ σου καὶ προσφέρειν σοι τὰ δῶρα τῆς ἁγίας σου ἐκκλησίας καὶ τῷ πνεύματι τῷ ἀρχιερατικῷ ἔχειν ἐξουσίαν «ἀφιέναι ἁμαρτίας [2]» κατὰ τὴν ἐντολήν σου, διδόναι κλήρους κατὰ τὸ πρόσταγμά σου, «λύειν τε πάντα σύνδεσμον[3]» κατὰ τὴν ἐξουσίαν, ἣν ἔδωκας τοῖς ἀποστόλοις, εὐαρεστεῖν τε σοὶ ἐν πραότητι καὶ καθαρᾷ καρδίᾳ, προσφέροντά σοι «ὀσμὴν εὐωδίας διὰ τοῦ παιδός σου Ἰησοῦ[4]» Χριστοῦ τοῦ κυρίου ἡμῶν, μεθ᾽ οὗ σοι δόξα, κράτος, τιμὴ σὺν ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

V. Περὶ χειροτονίας πρεσβυτέρου.

1. Ἐγὼ ὁ φιλούμενος ὑπὸ τοῦ κυρίου διατάσσομαι ὑμῖν τοῖς ἐπισκόποις· 2. Πρεσβύτερον χειροτονῶν, ὦ ἐπίσκοπε, τὴν χεῖρα ἐπὶ τῆς κεφαλῆς ἐπιτίθει αὐτός, τοῦ πρεσβυτερίου παρεστῶτός σοι καὶ τῶν διακόνων, καὶ ἐπευχόμενος λέγε·

VI. Εὐχὴ χειροτονίας πρεσβυτέρου.

1. Κύριε παντοκράτορ, ὁ βασιλεὺς ἡμῶν, ὁ διὰ Χριστοῦ τὰ πάντα δημιουργήσας καὶ δι᾽ αὐτοῦ τῶν ὅλων προνοῶν·[5] ἐπίβλεψον καὶ νῦν ἐπὶ τὴν ἁγίαν σου ἐκκλησίαν καὶ αὔξησον αὐτὴν καὶ πλήθυνον τοὺς ἐν αὐτῇ προεστῶτας καὶ δὸς δύναμιν πρὸς τὸ κοπιᾶν αὐτοὺς λόγῳ καὶ ἔργῳ πρὸς οἰκοδομὴν τοῦ λαοῦ σου. 2. καὶ ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τοῦτον τὸν ψήφῳ καὶ κρίσει τοῦ κλήρου παντὸς εἰς πρεσβυτέριον ἐπιδοθέντα καὶ ἔμπλησον αὐτὸν πνεῦμα χάριτος καὶ συμβουλίας τοῦ ἀντιλαμβάνεσθαι καὶ κυβερνᾶν τὸν λαόν σου ἐν καθαρᾷ καρδίᾳ, ὃν τρόπον ἐπεῖδες ἐπὶ λαὸν ἐκλογῆς σου καὶ προσέταξας Μωϋσεῖ αἱρετίσασθαι πρεσβυτέρους[6], οὓς ἔπλησας πνεύματος, ὅπως ἐμπλησθεὶς ἐνεργημάτων ἰαματικῶν καὶ λόγων διδακτικῶν ἐν πραότητι παιδεύῃ σου τοῦτον εἰλικρινῶς ἐν «καθαρᾷ διανοίᾳ καὶ ψυχῇ θελούσῃ[7]», καὶ τὰς ὑπὲρ τοῦ λαοῦ σου ἱερουργίας ἀμώμως ἐκτελῇ διὰ τοῦ Χρι-

---

1. Ψαλμ. 50, 14. 2. Ἰω. 20, 23. 3. Ἡσ. 58, 6. 4. Ἐφ. 5, 2.
5. Πρβλ. Σοφ. Σολ. 6, 8. 6. Ἀριθ. 11, 16 ἑξ. 7. Β΄ Μακκ. 1, 3.

στοῦ σου, μεθ' οὗ σοι δόξα καὶ σέβας σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

VII. Περὶ χειροτονίας διακόνου.

1. Ἐγὼ Φίλιππος διατάσσομαι· 2. Διάκονον καταστήσεις, ὦ ἐπίσκοπε, ἐπιθεὶς αὐτῷ τὰς χεῖρας, παρεστῶτός σοι παντὸς τοῦ πρεσβυτερίου καὶ τῶν διακόνων, καὶ ἐπευξάμενος λέγε·

VIII. Εὐχὴ χειροτονίας διακόνου.

1. Ὁ θεός, ὁ παντοκράτωρ, ὁ ἀληθινός, ὁ ἀψευδὴς καὶ «πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους σε[1]» ἐν ἀληθείᾳ, «ὁ φοβερὸς ἐν βουλαῖς, ὁ σοφὸς διανοίᾳ, ὁ κραταιὸς καὶ μέγας[2]»· 2. «εἰσάκουσον προσευχῆς ἡμῶν, κύριε, καὶ ἐνώτισαι τὴν δέησιν ἡμῶν[3]», καὶ «ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου[4]» τόνδε, τὸν προχειριζόμενόν σοι εἰς διακονίαν, καὶ πλῆσον αὐτὸν πνεύματος καὶ δυνάμεως, ὡς ἔπλησας Στέφανον τὸν πρωτομάρτυρα[5] καὶ μιμητὴν τῶν παθημάτων τοῦ Χριστοῦ σου· 3. καὶ καταξίωσον αὐτόν, εὐαρέστως λειτουργήσαντα τὴν ἐγχειρισθεῖσαν αὐτῷ διακονίαν ἀτρέπτως, ἀμέμπτως, ἀνεγκλήτως, μείζονος ἀξιωθῆναι βαθμοῦ διὰ τῆς μεσιτείας τοῦ Χριστοῦ σου, τοῦ μονογενοῦς υἱοῦ σου, μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

IX. Περὶ χειροτονίας διακονίσσης.

1. Ἐγὼ Βαρθολομαῖος διατάσσομαι· 2. Διακόνισσαν καθιστῶν, ἐπίσκοπε, ἐπιθήσεις αὐτῇ τὰς χεῖρας, παρεστῶτός σοι τοῦ πρεσβυτερίου καὶ τῶν διακόνων καὶ τῶν διακονισσῶν, καὶ εὐχόμενος ἐρεῖς·

X. Εὐχὴ χειροτονίας διακονίσσης.

1. Ὁ θεός, ὁ αἰώνιος, ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἀνδρὸς καὶ γυναικὸς δημιουργός, ὁ πληρώσας πνεύματος ἁγίου Μαριὰμ[6] καὶ Δεββώραν[7] καὶ Ἄνναν[8] καὶ Ὀλδάν[9], ὁ μὴ ἀπαξιώσας τὸν μονογενῆ σου υἱὸν γεννηθῆναι ἐκ γυναικός, ὁ καὶ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου καὶ ἐν τῷ ναῷ προχειρισάμενος τὰς φρουροὺς τῶν ἁγίων σου πυλῶν· 2. αὐτὸς καὶ νῦν ἔπιδε ἐπὶ τὴν δούλην σου τήνδε, τὴν προχειριζομένην εἰς διακονίαν, καὶ δὸς αὐτῇ πνεῦμα ἅγιον καὶ «καθάρισον αὐτὴν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος[10]» πρὸς τὸ ἐπαξίως ἐπιτελεῖν αὐτὴν τὸ ἐγχειρισθὲν αὐτῇ ἔργον εἰς δόξαν

---

1. Ῥωμ. 10, 12. 2. Ψαλμ. 65, 5. 3. Ψαλμ. 142, 1. 4. Ψαλμ. 30, 17. 5. Πράξ. 6, 7. 6. Ἔξ. 15, 20. 7. Κριτ. 4, 4. 8. Λουκ. 2, 36. 9. Δ' Βασ. 22, 14. 10. Β' Κορ. 7, 1.

σὴν καὶ ἔπαινον τοῦ Χριστοῦ σου, μεθ' οὗ σοι δόξα καὶ προσκύνησις σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

XI. Περὶ χειροτονίας ὑποδιακόνου.

1. Ἐγὼ Θωμᾶς διατάσσομαι· 2. Ὑποδιάκονον χειροτονῶν, ὦ ἐπίσκοπε, ἐπιθήσεις ἐπ' αὐτὸν τὴν χεῖρα καὶ εὐχόμενος ἐρεῖς·

XII. Εὐχὴ χειροτονίας ὑποδιακόνου.

1. Δέσποτα θεέ, δημιουργὲ οὐρανοῦ καὶ γῆς καὶ πάντων τῶν ἐν αὐτοῖς, ὁ καὶ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου τοὺς νεωκόρους ἀναδείξας τῶν ἁγίων σου σκευῶν φύλακας·[1] 2. αὐτὸς καὶ νῦν ἐπίβλεψον ἐπὶ τὸν δοῦλόν σου τόνδε, τὸν προχειρισθέντα ὑποδιάκονον, καὶ δὸς αὐτῷ πνεῦμα ἅγιον πρὸς τὸ ἐπαξίως ἐφάπτεσθαι τῶν λειτουργικῶν σου σκευῶν καὶ ποιεῖν τὸ θέλημά σου διὰ παντὸς διὰ τοῦ Χριστοῦ σου, μεθ' οὗ σοι δόξα, τιμὴ καὶ σέβας σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

XIII. Περὶ ἀναγνώστου.

Ἀναγνώστης καθίσταται, ἐπιδιδόντος αὐτῷ βιβλίον τοῦ ἐπισκόπου. οὐδὲ γὰρ χειροθετεῖται.

XIV. Περὶ ὁμολογητῶν.

1. Ἐγὼ Ἰάκωβος Ἀλφαίου διατάσσομαι· 2. Ὁμολογητὴς οὐ χειροτονεῖται, γνώμης γὰρ τοῦτο καὶ ὑπομονῆς· τιμῆς δὲ μεγάλης ἐπάξιός ἐστιν, ὡς ὁμολογήσας τὸ ὄνομα τοῦ θεοῦ «ἐνώπιον ἐθνῶν καὶ βασιλέων.[2]» 2. ἐὰν δὲ χρεία αὐτοῦ γένηται εἰς ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, χειροτονεῖται. 3. εἰ δέ τις ὁμολογητὴς μὴ χειροτονηθεὶς ἁρπάσῃ ἑαυτῷ ἀξίωμα τοιοῦτον, ὡς διὰ τὴν ὁμολογίαν, ὁ τοιοῦτος καθαιρείσθω. οὐ γάρ ἐστιν, ἐπείπερ ἤρνηται τὴν Χριστοῦ διάταξιν «καὶ ἔστιν ἀπίστου χείρων.[3]»

XV. Ὁ αὐτὸς περὶ παρθένων.

1. Ἐγὼ Ἰάκωβος Ἀλφαίου διατάσσομαι· 2. Παρθένος οὐ χειροτονεῖται, «ἐπιταγὴν» γὰρ «κυρίου οὐκ ἔχομεν.[4]» γνώμης γάρ ἐστι τὸ ἔπαθλον, οὐκ ἐπὶ διαβολῇ τοῦ γάμου, ἀλλ' ἐπὶ σχολῇ τῆς εὐσεβείας.

XVI. Περὶ χηρῶν.

1. Κἀγὼ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος τάδε περὶ χηρῶν διατάσσομαι. 2. χήρα οὐ χειροτονεῖται, ἀλλ' εἰ μὲν ἐκ πολλοῦ ἀπέβαλε τὸν ἄνδρα καὶ σωφρόνως καὶ ἀκαταγνώστως ἔζησε καὶ τῶν οἰκείων

---

1. Ἀριθ. 3, 1 ἑξ. Α' Παρλ. 9, 1 ἑξ. 2. Πράξ. 9, 15. 3. Α' Τιμ. 5, 8. 4. Α' Κορ. 7, 25.

ἄριστα ἐπεμελήθη, ὡς Ἰουδὶθ καὶ Ἄννα αἱ σεμνόταται, καταλεγέσθω εἰς τὸ χηρικόν. 3. εἰ δὲ νεωστὶ ἀπέβαλε τὸν ὁμόζυγον, μὴ πιστευέσθω, ἀλλὰ χρόνῳ ἡ νεότης κρινέσθω. τὰ γὰρ πάθη ἔσθ' ὅτε καὶ συγγηρᾷ ἀνθρώποις, μὴ ὑπὸ κρείττονος χαλινοῦ εἰργόμενα.

XVII. Ὁ αὐτὸς περὶ ἐπορκιστῶν.

1. Ἐπορκιστὴς οὐ χειροτονεῖται, εὐνοίας γὰρ ἑκουσίου τὸ ἔπαθλον καὶ χάριτος θεοῦ διὰ Χριστοῦ ἐπιφοιτήσει τοῦ ἁγίου πνεύματος· ὁ γὰρ λαβὼν χάρισμα ἰαμάτων δι' ἀποκαλύψεως ὑπὸ θεοῦ ἀναδείκνυται, φανερᾶς οὔσης πᾶσιν τῆς ἐν αὐτῷ χάριτος. 2. ἐὰν δὲ χρεία γένηται αὐτοῦ εἰς ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, χειροτονεῖται.

XVIII. Σίμωνος τοῦ Καναναίου ὑπὸ πόσων ἐπισκόπων ὀφείλει χειροτονεῖσθαι ἐπίσκοπος.

1. Κἀγὼ Σίμων ὁ Καναναῖος διατάσσομαι ὑμῖν, ὑπὸ πόσων ὀφείλει χειροτονεῖσθαι ἐπίσκοπος. 2. ὑπὸ τριῶν ἢ δύο ἐπισκόπων ὀφείλει χειροτονεῖσθαι. ἐὰν δέ τις ὑπὸ ἑνὸς χειροτονηθῇ ἐπισκόπου, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας. 3. ἐὰν δὲ ἀνάγκη ὑπὸ ἑνὸς καταλάβῃ χειροτονηθῆναι διὰ τὸ μὴ δύνασθαι πλείονας παραγενέσθαι, διωγμοῦ ὄντος ἢ ἄλλης τοιαύτης αἰτίας, ψήφισμα κομιζέσθω τῆς ἐπιτροπῆς πλειόνων ἐπισκόπων.

XIX. Τοῦ αὐτοῦ κανόνες ἐκκλησιαστικοί.

1. Ἐπίσκοπος εὐλογεῖ, οὐκ εὐλογεῖται, χειροτονεῖ, προσφέρει, εὐλογίαν παρὰ ἐπισκόπων λαμβάνει, παρὰ δὲ πρεσβυτέρων οὐδαμῶς. ἐπίσκοπος καθαιρεῖ πάντα κληρικὸν ἄξιον ὄντα καθαιρέσεως πλὴν ἐπισκόπου· μόνος γὰρ οὐχ οἷός τε. 2. πρεσβύτερος εὐλογεῖ, οὐκ εὐλογεῖται, εὐλογίας δέχεται παρὰ ἐπισκόπου καὶ συμπρεσβυτέρου, ὡσαύτως ἐπιδίδωσι συμπρεσβυτέρῳ· χειροθετεῖ, οὐ χειροτονεῖ, οὐ καθαιρεῖ, ἀφορίζει δὲ τοὺς ὑποβεβηκότας, ἐὰν ὦσιν ὑπεύθυνοι τῇ τοιαύτῃ τιμωρίᾳ. 3. διάκονος οὐκ εὐλογεῖ, οὐ δίδωσιν εὐλογίαν, λαμβάνει δὲ παρὰ ἐπισκόπου καὶ πρεσβυτέρου, οὐ βαπτίζει, οὐ προσφέρει, τοῦ δὲ ἐπισκόπου προσενεγκόντος ἢ τοῦ πρεσβυτέρου, αὐτὸς ἐπιδίδωσι τῷ λαῷ, οὐχ ὡς ἱερεύς, ἀλλ' ὡς διακονούμενος ἱερεῦσιν. 4. τῶν δὲ ἄλλων κληρικῶν τὸ τοῦ διακόνου ἔργον ποιῆσαι οὐδενὶ ἐξόν. 5. διακόνισσα οὐκ εὐλογεῖ, ἀλλ' οὐδέ τι ὧν ποιοῦσιν οἱ πρεσβύτεροι ἢ οἱ διάκονοι ἐπιτελεῖ, ἀλλ' ἢ τοῦ φυλάττειν τὰς θύρας καὶ ἐξυπηρετεῖσθαι τοῖς πρεσβυτέροις ἐν τῷ βαπτίζεσθαι τὰς γυναῖκας διὰ τὸ εὐπρεπές. 6. διάκονος ἀφορίζει ὑποδιάκονον, ἀναγνώστην, ψάλτην, διακόνισσαν, ἐὰν δέῃ τι τοιοῦτον, μὴ παρόντος πρεσβυτέρου. 7. ὑπο-

διακόνῳ οὐκ ἔξεστιν ἀφορίσαι οὔτε μὴν ἀναγνώστῃ ἢ ψάλτῃ οὐδὲ διακονίσσῃ, οὐ κληρικόν, οὐ λαϊκόν· ὑπηρέται γάρ εἰσι διακόνων.

XX. Περὶ ἀπαρχῶν καὶ δεκατῶν.

Ὁ αὐτὸς Σίμων ὁ Καναναῖος διατάσσομαι πᾶσαν ἀπαρχὴν προσκομίζεσθαι τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις εἰς διατροφὴν αὐτῶν, πᾶσαν δὲ δεκάτην προσφέρεσθαι εἰς διατροφὴν τῶν λοιπῶν κληρικῶν καὶ τῶν παρθένων καὶ τῶν χηρῶν καὶ τῶν ἐν πενίᾳ ἐξεταζομένων· αἱ γὰρ ἀπαρχαὶ τῶν ἱερέων εἰσὶ καὶ τῶν αὐτοῖς ἐξυπηρετουμένων.

XXI. Ὁ αὐτὸς περὶ περισσευμάτων.

1. Τὰς περισσευούσας ἐν τοῖς μυστικοῖς εὐλογίας κατὰ γνώμην τοῦ ἐπισκόπου ἢ τῶν πρεσβυτέρων οἱ διάκονοι διανεμέτωσαν τῷ κλήρῳ, τῷ ἐπισκόπῳ μέρη τέσσαρα, τῷ πρεσβυτέρῳ μέρη τρία, τῷ διακόνῳ μέρη δύο, τοῖς δὲ ἄλλοις, ὑποδιακόνοις ἢ ἀναγνώσταις ἢ ψάλταις ἢ διακονίσσαις, μέρος ἕν. 2. «τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ θεοῦ [1]», ἕκαστον τιμᾶσθαι κατὰ τὴν ἑαυτοῦ τάξιν· ἡ γὰρ ἐκκλησία οὐκ ἀταξίας, ἀλλ' εὐταξίας ἐστὶ διδασκαλία.

Γ'

ΠΑΥΛΟΥ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΔΙΑΤΑΞΕΙΣ ΠΕΡΙ ΚΑΝΟΝΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ

XXII. Κἀγὼ Παῦλος «ὁ τῶν ἀποστόλων ἐλάχιστος [2]» τάδε διατάσσομαι ὑμῖν τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις περὶ κανόνων. 2. οἱ πρώτως προσιόντες τῷ μυστηρίῳ τῆς εὐσεβείας διὰ τῶν διακόνων προσαγέσθωσαν τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις καὶ τὰς αἰτίας ἐξεταζέσθωσαν, οὗ χάριν προσῆλθον τῷ κυριακῷ λόγῳ· οἵ τε προσενέγκαντες μαρτυρείτωσαν αὐτοῖς, ἀκριβώσαντες τὰ κατ' αὐτούς. ἐξεταζέσθω δὲ αὐτῶν ἀκριβῶς καὶ ὁ τρόπος καὶ ὁ βίος καὶ εἰ δοῦλοί εἰσιν ἢ ἐλεύθεροι. 3. καὶ ἐὰν ᾖ τις δοῦλος, ἐρωτάσθω, οὗ δεσπότου, καὶ ἐὰν πιστοῦ δοῦλος ᾖ, ἐρωτάσθω ὁ κύριος αὐτοῦ, εἰ μαρτυρεῖ αὐτῷ· ἐὰν δὲ μή, ἀποβαλλέσθω, ἕως ἂν ἄξιον ἑαυτὸν ἐπιδείξῃ τῷ δεσπότῃ· εἰ δὲ μαρτυρεῖ αὐτῷ, προσδεχέσθω. εἰ δὲ ἐθνικοῦ ᾖ οἰκέτης, διδασκέσθω «εὐαρεστεῖν τῷ δεσπότῃ, ἵνα μὴ βλασφημῆται ὁ λόγος.[3]» 4. εἰ μὲν οὖν ἔχει γυναῖκα ἢ ἡ γυνὴ ἄνδρα, διδασκέσθωσαν ἀρκεῖσθαι ἑαυτοῖς·

---

1. Α' Τιμ. 2, 3. 2. Α' Κορ. 15, 9. 3. Τίτ. 2, 9, 5.

εἰ δὲ ἄγαμοί εἰσι, μανθανέτωσαν μὴ πορνεύειν, ἀλλὰ γαμεῖν νόμῳ. 5. εἰ δὲ ὁ δεσπότης αὐτοῦ, πιστὸς ὢν καὶ εἰδώς, ὅτι πορνεύει, οὐ δίδωσιν αὐτῷ γυναῖκα ἢ τῇ γυναικὶ ἄνδρα, ἀφοριζέσθω. 6. ἐὰν δέ τις δαίμονα ἔχῃ, διδασκέσθω μὲν τὴν εὐσέβειαν, μὴ προσδεχέσθω δὲ εἰς κοινωνίαν, πρὶν ἂν καθαρισθῇ· εἰ δὲ θάνατος κατεπείγει, προσδεχέσθω. 7. εἴ τις πορνοβοσκός, ἢ παυσάσθω τοῦ μαστροπεύειν ἢ ἀποβαλλέσθω. πόρνη προσιοῦσα ἢ παυσάσθω ἢ ἀποβαλλέσθω. 8. εἰδωλοποιὸς προσιὼν ἢ παυσάσθω ἢ ἀποβαλλέσθω. 9. τῶν ἐπὶ σκηνῆς ἐάν τις προσίῃ ἀνὴρ ἢ γυνὴ ἢ ἡνίοχος ἢ μονομάχος ἢ σταδιοδρόμος ἢ λουδεμπιστὴς ἢ ὀλυμπικὸς ἢ χοραύλης ἢ κιθαριστὴς ἢ λυριστὴς ἢ ὄρχησιν ἐπιδεικνύμενος ἢ κάπηλος, ἢ παυσάσθωσαν ἢ ἀποβαλλέσθωσαν. 10. στρατιώτης προσιὼν διδασκέσθω «μὴ ἀδικεῖν, μὴ συκοφαντεῖν, ἀρκεῖσθαι δὲ τοῖς διδομένοις ὀψωνίοις.¹» πειθόμενος προσδεχέσθω, ἀντιλέγων δὲ ἀποβαλλέσθω. 11. ἀρρητοποιός, κίναιδος, βλάξ, μάγος, ἐπαοιδός, ὀχλαγωγός, ἀστρολόγος, μάντις, θηρεπαοιδός, λῶταξ, περιάμματα ποιῶν, περικαθαίρων, οἰωνιστής, συμβολοδείκτης, παλμῶν ἑρμηνεύς, φυλαττόμενος ἐν συναντήσει λώβας ὄψεως ἢ ποδῶν ἢ ὀρνίθων ἢ γαλῶν ἢ ἐπιφωνήσεων ἢ παρακροαμάτων συμβολικῶν χρόνῳ δοκιμαζέσθωσαν· δυσέκνιπτος γὰρ ἡ κακία. παυσάμενοι οὖν προσδεχέσθωσαν, μὴ πειθόμενοι δὲ ἀποβαλλέσθωσαν. 12. παλλακή τινος ἀπίστου δούλη ἐκείνῳ μόνῳ σχολάζουσα προσδεχέσθω· εἰ δὲ καὶ πρὸς ἄλλους ἀσελγαίνει, ἀποβαλλέσθω. 13. πιστὸς ἐὰν ἔχῃ παλλακήν, εἰ μὲν δούλην, παυσάσθω καὶ νόμῳ γαμείτω, εἰ δὲ ἐλευθέραν, ἐκγαμείτω αὐτὴν νόμῳ· εἰ δὲ μή, ἀποβαλλέσθω. ἐὰν δὲ καὶ πιστὴ δούλῳ συναφθῇ, ἢ παυσάσθω ἢ ἀποβαλλέσθω. 14. ἑλληνικοῖς τις ἔθεσιν ἐξακολουθῶν ἢ ἰουδαϊκοῖς μύθοις ἢ μετατιθέσθω ἢ ἀποβαλλέσθω. 15. θεατρομανίᾳ εἴ τις πρόσκειται ἢ κυνηγίοις ἢ ἱπποδρομικοῖς ἀγῶσιν, ἢ παυσάσθω ἢ ἀποβαλλέσθω. 16. ὁ μέλλων κατηχεῖσθαι τρία ἔτη κατηχείσθω. εἰ δὲ σπουδαῖός τις ᾖ καὶ εὔνοιαν ἔχῃ περὶ τὸ πρᾶγμα, προσδεχέσθω, ὅτι οὐχ ὁ χρόνος, ἀλλ' ὁ τρόπος κρίνεται. 17. ὁ διδάσκων εἰ καὶ λαϊκὸς εἴη, ἔμπειρος δὲ τοῦ λόγου καὶ τὸν τρόπον σεμνός, διδασκέτω· «ἔσονται» γὰρ «πάντες διδακτοὶ θεοῦ.²» 18. Πᾶς πιστὸς ἢ πιστὴ ἕωθεν ἀναστάντες ἐξ ὕπνου πρὸ τοῦ ἔργον ἐπιτελέσαι νιψάμενοι προσευχέσθωσαν· εἰ δέ τις λόγου κατήχησις γίνεται, προτιμησάτωσαν τοῦ ἔργου τὸν λόγον τῆς εὐσεβείας. 19. πιστὸς ἢ πιστὴ τοῖς οἰκέταις εὐμενῶς προσεχέτωσαν³, καθὼς καὶ ἐν τοῖς προλαβοῦσι διεταξάμεθα καὶ ἐν ταῖς ἐπιστολαῖς ἐδιδάξαμεν.

1. Λουκ. 3, 14. 2. Ἰω. 6, 45. Ἡσ. 54, 13. 3. Πρβλ. Ἐφ. 6, 9. Κολ. 4, 1.

Δ'

ΠΕΤΡΟΥ ΚΑΙ ΠΑΥΛΟΥ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΔΙΑΤΑΞΕΙΣ

XXIII. Περὶ ἀργίας δούλων.

1. Ἐγὼ Παῦλος καὶ Πέτρος διατασσόμεθα ἐργάζεσθαι τοὺς δούλους πέντε ἡμέρας, σάββατον δὲ καὶ κυριακὴν σχολαζέτωσαν τῇ ἐκκλησίᾳ διὰ τὴν διδασκαλίαν τῆς εὐσεβείας. τὸ μὲν γὰρ σάββατον εἴπομεν δημιουργίας λόγον ἔχειν, τὴν δὲ κυριακὴν ἀναστάσεως. 2. τὴν μεγάλην ἑβδομάδα πᾶσαν καὶ τὴν μετ' αὐτὴν ἀργείτωσαν οἱ δοῦλοι, ὅτι ἡ μὲν πάθους ἐστίν, ἡ δὲ ἀναστάσεως, καὶ χρεία διδασκαλίας, τίς ὁ παθὼν καὶ ἀναστὰς ἢ τίς ὁ συγχωρήσας ἢ καὶ ἀναστήσας. 3. τὴν ἀνάληψιν ἀργείτωσαν διὰ τὸ πέρας τῆς κατὰ Χριστὸν οἰκονομίας. 4. τὴν πεντηκοστὴν ἀργείτωσαν διὰ τὴν παρουσίαν τοῦ ἁγίου πνεύματος τὴν δωρηθεῖσαν τοῖς πιστεύσασιν εἰς Χριστόν. 5. τὴν τῶν γενεθλίων ἑορτὴν ἀργείτωσαν διὰ τὸ ἐν αὐτῇ ἀπροσδόκητον χάριν τοῖς ἀνθρώποις δεδόσθαι, γεννηθῆναι τὸν τοῦ θεοῦ λόγον Ἰησοῦν τὸν Χριστὸν ἐκ Μαρίας τῆς παρθένου ἐπὶ σωτηρίᾳ τοῦ κόσμου. 6. τὴν τῶν ἐπιφανίων ἑορτὴν ἀργείτωσαν διὰ τὸ ἐν αὐτῇ ἀνάδειξιν γεγενῆσθαι τῆς τοῦ Χριστοῦ θεότητος, μαρτυρήσαντος αὐτῷ τοῦ πατρὸς ἐν τῷ βαπτίσματι καὶ τοῦ παρακλήτου ἐν εἴδει περιστερᾶς ὑποδείξαντος τοῖς παρεστῶσι τὸν μαρτυρηθέντα[1]. 7. τὰς ἡμέρας τῶν ἀποστόλων ἀργείτωσαν· διδάσκαλοι γὰρ ὑμῶν εἰς Χριστὸν κατέστησαν καὶ πνεύματος ὑμᾶς ἠξίωσαν ἁγίου. 8. τὴν ἡμέραν Στεφάνου τοῦ πρωτομάρτυρος ἀργείτωσαν καὶ τῶν λοιπῶν ἁγίων μαρτύρων, τῶν προτιμησάντων Χριστὸν τῆς ἑαυτῶν ζωῆς.

XXIV. Περὶ εὐχῶν.

1. Εὐχὰς ἐπιτελεῖτε ὄρθρου καὶ τρίτῃ ὥρᾳ καὶ ἕκτῃ καὶ ἐνάτῃ καὶ ἑσπέρᾳ καὶ ἀλεκτοροφωνίᾳ· 2. ὄρθρου μὲν εὐχαριστοῦντες, ὅτι ἐφώτισεν ἡμᾶς ὁ κύριος, παραγαγὼν τὴν νύκτα καὶ ἐπαγαγὼν τὴν ἡμέραν· 3. τρίτῃ δέ, ὅτι ἐν αὐτῇ ἀπόφασιν ἀπὸ Πιλάτου ἔλαβεν ὁ κύριος· 4. ἕκτῃ δέ, ὅτι ἐν αὐτῇ ἐσταυρώθη ὁ Χριστός· 5. ἐνάτῃ δέ, ὅτι τὰ πάντα κεκίνητο τοῦ δεσπότου σταυρουμένου[2], φρίττοντα τὴν τόλμαν τῶν δυσσεβῶν Ἰουδαίων, μὴ φέροντα τοῦ κυρίου τὴν ὕβριν· 6. ἑσπέρᾳ δὲ εὐχαριστοῦντες, ὅτι ἡμῖν ἀνάπαυσιν ἔδωκε τῶν μεθημερινῶν κόπων τὴν νύκτα· 7. ἀλεκτρυόνων δὲ κραυγῇ διὰ τὸ τὴν ὥραν εὐαγγελίζεσθαι τὴν παρουσίαν τῆς ἡμέρας εἰς ἐργασίαν τῶν τοῦ φωτὸς ἔργων. 8. εἰ μὴ δυνατὸν ἐν ἐκκλησίᾳ προϊέναι διὰ τοὺς ἀπίστους, κατ' οἶκον συνά-

1. Ματθ. 3, 16. 2. Πρβλ. Ματθ. 27, 46, 51.

ξεις, ὦ ἐπίσκοπε, ἵνα μὴ εἰσέρχηται εὐσεβὴς εἰς ἐκκλησίαν ἀσεβῶν. οὐχ ὁ τόπος γὰρ τὸν ἄνθρωπον ἁγιάζει, ἀλλ' ὁ ἄνθρωπος τὸν τόπον. 9. ἐὰν δὲ ἀσεβεῖς κατέχωσι τὸν τόπον, φευκτέος σοι ἔστω διὰ τὸ βεβηλῶσθαι ὑπ' αὐτῶν. ὡς γὰρ οἱ ὅσιοι ἱερεῖς ἁγιάζουσιν, οὕτως οἱ ἐναγεῖς μιαίνουσιν. 10. εἰ δὲ μήτε ἐν οἴκῳ ἅμα μήτε ἐν ἐκκλησίᾳ συναθροισθῆναι δυνατόν, ἕκαστος παρ' ἑαυτῷ ψαλλέτω, ἀναγινωσκέτω, προσευχέσθω, ἢ καὶ ἅμα δύο ἢ τρεῖς. «ὅπου γὰρ ἐὰν ὦσι», φησὶν ὁ κύριος, «δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματί μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.[1]» 11. πιστὸς μετὰ κατηχουμένου μήτε κατ' οἶκον προσευχέσθω· οὐ γὰρ δίκαιον τὸν μεμυημένον μετὰ τοῦ ἀμυήτου συμμολύνεσθαι. 12. εὐσεβὴς μετὰ αἱρετικοῦ μήτε κατ' οἶκον προσευχέσθω· «τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος ; [2]» 13. πιστὸς ἢ πιστὴ δούλοις συναφθέντες ἢ ἀφιστάσθωσαν ἢ ἀποβαλλέσθωσαν.

XXV. Περὶ μνημοσύνων.

1. Ἐπιτελείσθω δὲ τρίτα τῶν κεκοιμημένων ἐν ψαλμοῖς καὶ προσευχαῖς διὰ τὸν διὰ τριῶν ἡμερῶν ἐγερθέντα, 2. καὶ ἔνατα εἰς ὑπόμνησιν τῶν περιόντων καὶ τῶν κεκοιμημένων, 3. καὶ τεσσαρακοστὰ κατὰ τὸν παλαιὸν τύπον· καὶ Μωϋσῆν γὰρ οὕτως ὁ λαὸς ἐπένθησε[3], 4. καὶ ἐνιαύσια ὑπὲρ μνείας αὐτῶν. 5. καὶ διδόσθω ἐκ τῶν ὑπαρχόντων αὐτοῖς πένησιν εἰς ἀνάμνησιν αὐτῶν. Ταῦτα δὲ περὶ εὐσεβῶν λέγομεν. περὶ γὰρ ἀσεβῶν ἐὰν τὰ τοῦ κόσμου δῷς πένησιν, οὐδὲν ὀνήσεις αὐτόν. 2. ᾧ γὰρ περιόντι ἐχθρὸν ἦν τὸ θεῖον, δῆλον ὅτι καὶ μεταστάντι· «οὐ» γὰρ «ἔστιν ἀδικία παρ' αὐτῷ.[4]» 3. «δίκαιος» γὰρ «ὁ κύριος καὶ δικαιοσύνας ἠγάπησεν·[5]» καί· «Ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ.[6]»

XXVI. Περὶ τοῦ μὴ μεθύσκεσθαι.

1. Ἐν δὲ ταῖς μνείαις αὐτῶν καλούμενοι μετὰ εὐταξίας ἑστιᾶσθε καὶ φόβου θεοῦ ὡς δυνάμενοι καὶ πρεσβεύειν ὑπὲρ τῶν μεταστάντων. πρεσβύτεροι γὰρ καὶ διάκονοι Χριστοῦ ὑπάρχοντες νήφειν ὀφείλετε πάντοτε καὶ πρὸς ἑαυτοὺς καὶ πρὸς ἑτέρους, ἵνα δύνησθε τοὺς ἀτακτοῦντας νουθετεῖν. 2. λέγει δὲ ἡ γραφή· «Οἱ δυνάσται θυμώδεις εἰσίν· οἶνον μὴ πινέτωσαν, ἵνα μὴ πιόντες ἐπιλάθωνται τῆς σοφίας καὶ ὀρθὰ κρίνειν οὐ μὴ δύνωνται.[7]» οὐκοῦν καὶ οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι μετὰ τὸν θεὸν τὸν παντοκράτορα καὶ τὸν ἠγαπημένον αὐτοῦ υἱὸν δυνάσται ὑπάρχουσι τῆς ἐκκλησίας. 3. τοῦτο δέ φαμεν, οὐχ ἵνα μὴ πίνωσιν, ἄλλως γὰρ οὐκ ἔστιν ὑβρίσαι τὸ ὑπὸ θεοῦ γενόμενον εἰς εὐφροσύνην, ἀλλ' ἵνα μὴ παροινῶσιν. οὐ γὰρ εἶπεν ἡ γραφὴ μὴ πίνειν οἶνον, ἀλλὰ

---

1. Ματθ. 18, 20. 2. Β' Κορ. 6, 14. 3. Δευτ. 34, 8. 4. Ἰω. 7, 18. 5. Ψαλμ. 10, 7. 6. Πρβλ. Ἡσ. 62, 11. 7. Παρμ. 31, 4-5.

τί φησι; «Μὴ πίνειν οἶνον εἰς μέθην.[1]» καὶ πάλιν· «Ἄκανθαι φύονται ἐν χειρὶ τοῦ μεθύσου.[2]» 4. τοῦτο δὲ οὐ περὶ τῶν ἐν κλήρῳ μόνον φαμέν, ἀλλὰ καὶ περὶ παντὸς λαϊκοῦ χριστιανοῦ, ἐφ' οὗ ἐπικέκληται τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ αὐτοῖς γὰρ εἴρηται· «Τίνι οὐαί; τίνι θόρυβος; τίνι ἀηδίαι καὶ λέσχαι; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; τίνι συντρίμματα διακενῆς; οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνῳ καὶ κατασκοπουμένων, ποῦ πότοι γίνονται;[3]»

XXVII. **Περὶ τῶν διωκομένων διὰ πίστιν.**

1. Τοὺς διωκομένους διὰ πίστιν καὶ πόλιν ἐκ πόλεως φεύγοντας διὰ τὸ μεμνῆσθαι τῶν λόγων τοῦ κυρίου προσλαμβάνεσθε·[4] ἐπιστάμενοι γάρ, ὅτι «τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής[5]», ἀποδιδράσκουσι καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων προσίενται, ἵνα ἀνεξάρνητον ἐφ' ἑαυτοῖς τὸ ὄνομα τοῦ Χριστοῦ διατηρήσωσιν. 2. ἐπικουρεῖτε οὖν αὐτοῖς τὰ πρὸς τὰς χρείας, ἐντολὴν κυριακὴν πληροῦντες.

Ε'

ΠΕΡΙ ΕΥΤΑΞΙΑΣ ΔΙΔΑΣΚΑΛΙΑ ΠΑΝΤΩΝ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ

XXVIII. Τοῦτο δὲ κοινῇ πάντες παραγγέλλομεν, ἕκαστον ἐμμένειν τῇ αὐτῷ δοθείσῃ τάξει καὶ μὴ ὑπερβαίνειν τοὺς ὅρους· οὐ γάρ εἰσιν ἡμέτεροι, ἀλλὰ τοῦ θεοῦ. «Ὁ ἀκούων γὰρ ὑμῶν», φησὶν ὁ κύριος, «ἐμοῦ ἀκούει καὶ ὁ ἐμοῦ ἀκούων ἀκούει τοῦ ἀποστείλαντός με· καὶ ὁ ὑμᾶς ἀθετῶν ἐμὲ ἀθετεῖ, ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με.[6]» 2. εἰ γὰρ τὰ ἄψυχα γενόμενα τὴν εὐταξίαν ἀποσώζει, οἷον νύξ, ἡμέρα, ἥλιος, σελήνη, ἄστρα, στοιχεῖα, τροπαί, μῆνες, ἑβδομάδες, ἡμέραι, ὧραι, καὶ δουλεύει τῇ διατυπωθείσῃ χρείᾳ κατὰ τὸ εἰρημένον· «Ὅριον ἔθου, ὃ οὐ παρελεύσεται[7]» καὶ πάλιν περὶ τῆς θαλάσσης· «Ἐθέμην δὲ αὐτῇ ὅρια, περιθεὶς κλεῖθρα καὶ πύλας, εἶπα δὲ αὐτῇ· μέχρι τούτου ἐλεύσῃ καὶ οὐχ ὑπερβήσῃ·[8]» πόσῳ μᾶλλον ὑμεῖς ὀφείλετε οὐδὲν τολμᾶν παρακινεῖν τῶν ὑμῖν κατὰ γνώμην θεοῦ παρ' ἡμῶν ὁρισθέντων; 3. ἀλλ' ἐπειδὴ πάρεργον οἱ πολλοὶ καὶ τοῦτο ἡγήσαντο εἶναι, συγχέειν δὲ τὰς τάξεις καὶ τὴν ἐφ' ἑκάστῳ χειροτονίαν παρακινεῖν τολμῶσιν, ὑφαρπάζοντες ἑαυτοῖς ἀξιώματα μὴ δεδομένα καὶ ἐπιτρέποντες ἑαυτοῖς τυραννικῶς, ἃ μὴ ἔχουσιν ἐξουσίαν διδόναι, καὶ διὰ τοῦτο παροργίζουσι μὲν θεόν, ὥσπερ οἱ Κορεῖται[9] καὶ ὁ βασιλεὺς Ὀζίας[10], παρ' ἀξίαν

---

1. Πρβλ. Σοφ. Σειρ. 34, 27. 2. Παρμ. 26, 9. 3. Παρμ. 23, 29-30. 4. Ματθ. 10, 23. 5. Ματθ. 26, 41. 6. Λουκ. 10, 16. 7. Ψαλμ. 103, 9. 8. Ἰὼβ 38, 10-11. 9. Ἀριθ. 16, 1 ἑξ. 10. Β' Παρλ. 26, 1 ἑξ.

ἐπιθέμενοι ἄνευ θεοῦ τῇ ἀρχιερωσύνῃ καὶ γενόμενοι οἱ μὲν πυρίφλεκτοι, ὁ δὲ κατὰ τοῦ μετώπου λεπρός, παροξύνουσι δὲ καὶ Χριστὸν Ἰησοῦν τὸν διαταξάμενον, «λυποῦσι δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον[1]», ἀκυροῦντες αὐτοῦ τὴν μαρτυρίαν· 4. εἰκότως τὸν ἐπηρτημένον κίνδυνον τοῖς τὰ τοιαῦτα πράττουσι προειδόμενοι καὶ τὴν εἰς τὰ θυσίας καὶ εὐχαριστίας ἀμέλειαν ἐκ τοῦ ὑφ' ὧν μὴ χρὴ προσαγομένας ἀσεβῶς, παιδιὰν ἡγουμένων τὴν ἀρχιερατικὴν τιμήν, ἥτις μίμησιν περιέχει τοῦ μεγάλου ἀρχιερέως Ἰησοῦ Χριστοῦ τοῦ βασιλέως ἡμῶν, ἀνάγκην ἔχομεν καὶ τοῦτο παραινέσαι· «ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τῆς ἑαυτῶν ματαιότητος.[2]» 5. λέγομεν δὲ ὡς «Μωϋσῆς, ὁ τοῦ θεοῦ θεράπων[3]», ᾧ ὁ θεὸς «ἐνώπιος ἐνωπίῳ ὡμίλει, ὡς εἴ τις λαλήσει πρὸς ἑαυτοῦ φίλον[4]», ᾧ εἶπεν· «Οἶδά σε παρὰ πάντας[5]», ᾧ κατὰ πρόσωπον ὡμίλει καὶ οὐ δι' ἀδήλων ἢ ἐνυπνίων ἢ ἀγγέλων ἢ αἰνιγμάτων, οὗτος, ἡνίκα τὴν θείαν νομοθεσίαν διετάσσετο, διεῖλε, τίνα μὲν χρὴ ὑπὸ τῶν ἀρχιερέων ἐπιτελεῖσθαι, τίνα δὲ ὑπὸ τῶν ἱερέων, τίνα δὲ ὑπὸ τῶν λευϊτῶν, ἑκάστῳ τὴν οἰκείαν καὶ ἀνήκουσαν τῇ λειτουργίᾳ θρησκείαν ἀπονείμας. 6. καὶ ἅπερ μὲν τοῖς ἀρχιερεῦσι προσετέτακτο ἐπιτελεῖν, τούτοις τοὺς ἱερέας οὐ θεμιτὸν ἦν προσιέναι, ἅπερ δὲ τοῖς ἱερεῦσιν ὥριστο, τούτοις οἱ λευῖται οὐ προσῄεσαν, ἀλλ' ἕκαστοι ἅσπερ παρειλήφεισαν ὑπηρεσίας περιγεγραμμένας ἐφύλαττον. εἰ δέ τις πέρα τῆς παραδόσεως προσιέναι ἐβούλετο, θάνατος ἦν τὸ ἐπιτίμιον. 7. τοῦτο δὲ μάλιστα διέδειξε καὶ ἡ κατὰ τὸν Σαοὺλ πεῖρα[6], ὃς θῦσαι νενομικὼς δίχα τοῦ προφήτου καὶ ἀρχιερέως Σαμουὴλ ἔσπασεν εἰς ἑαυτὸν ἁμαρτίαν καὶ κατάραν ἀναπόβλητον καὶ οὐδὲ τὸ κεχρῖσθαι ὑπ' αὐτοῦ εἰς βασιλέα ἐδυσώπησε τὸν προφήτην. 8. ἐνεργεστέρᾳ δὲ τῇ πράξει διέδειξεν ὁ θεὸς τὰ κατὰ τὸν Ὀζίαν[7] οὐκ ἐν μελησμῷ τὰς ἐπὶ τῇ παρανομίᾳ εἰσπραξάμενος δίκας· καὶ ὁ τῆς ἀρχιερωσύνης καταμανεὶς καὶ τῆς βασιλείας ἀλλότριος κατέστη. 9. τὰ δὲ καὶ ἐφ' ἡμῶν ἴσως οὐκ ἀγνοεῖτε. ἴστε γὰρ πάντως ἐπισκόπους παρ' ἡμῶν ὀνομασθέντας καὶ πρεσβυτέρους καὶ διακόνους εὐχῇ καὶ χειρῶν ἐπιθέσει, τῇ διαφορᾷ τῶν ὀνομάτων καὶ τὴν διαφορὰν τῶν πραγμάτων δεικνύοντας· οὐ γὰρ «ὁ βουλόμενος» παρ' ἡμῖν «ἐπλήρου τὴν χεῖρα[8]», ὥσπερ ἐπὶ τῆς κιβδήλου τῶν δαμάλεων ἐπὶ τοῦ Ἱεροβοὰμ παρακεκομμένης ἱερωσύνης, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ θεοῦ. 10. εἰ μὲν γὰρ μὴ θεσμός τις ἦν καὶ τάξεως διαφορά, ἤρκει ἂν δι' ἑνὸς ὀνόματος τὰ ὅλα ἐπιτελεῖσθαι· ἀλλ' ὑπὸ τοῦ κυρίου διδαχθέντες ἀκολουθίαν πραγμάτων, τοῖς μὲν ἐπισκόποις τὰ τῆς ἀρχιερωσύνης ἐνείμαμεν, τοῖς δὲ πρεσβυτέροις τὰ τῆς ἱερωσύνης, τοῖς δὲ διακόνοις τὰ τῆς πρὸς ἀμφοτέρους διακονίας, ἵνα ᾖ καθαρῶς τὰ τῆς θρησκείας ἐπιτελούμενα. 11. οὔτε γὰρ διάκονον

---

1. Ἐφ. 4, 30. 2. Α' Τιμ. 5, 15. 3. Ἀριθ. 12, 7. 4. Ἔξ. 33, 11. 5. Ἔξ. 33, 17. 6. Πρβλ. Α' Βασ. 13, 1 ἑξ. 7. Β' Παρλ. 26, 1 ἑξ. 8. Γ' Βασ. 13, 33.

προσφέρειν θυσίαν θεμιτὸν ἢ βαπτίζειν ἢ εὐλογίαν μικρὰν ἢ μεγάλην ποιεῖσθαι, οὔτε πρεσβύτερον χειροτονίας ἐπιτελεῖν· οὐ γὰρ ὅσιον ἀνεστράφθαι τὴν τάξιν. 12. «οὐ γάρ ἐστιν ὁ θεὸς ἀκαταστασίας[1]», ἵνα οἱ ὑποβεβηκότες τὰ τῶν κρειττόνων τυραννικῶς σφετερίζωνται, νομοθεσίαν καινὴν ἀναπλάττοντες ἐπὶ κακῷ τῷ ἑαυτῶν, ἀγνοοῦντες, ὅτι «σκληρὸν αὐτοῖς πρὸς κέντρα λακτίζειν.[2]» οὐ γὰρ ἡμᾶς ἢ τοὺς ἐπισκόπους πολεμοῦσιν οἱ τοιοῦτοι, ἀλλὰ τὸν τῶν ἁπάντων ἐπίσκοπον καὶ τοῦ πατρὸς ἀρχιερέα Χριστὸν Ἰησοῦν τὸν κύριον ἡμῶν. 13. ὑπὸ Μωσέως μὲν γὰρ τοῦ θεοφιλεστάτου κατεστάθησαν ἀρχιερεῖς καὶ ἱερεῖς καὶ λευῖται, ὑπὸ δὲ τοῦ σωτῆρος ἡμῶν ἡμεῖς οἱ δεκατρεῖς ἀπόστολοι, ὑπὸ δὲ τῶν ἀποστόλων ἐγὼ Κλήμης καὶ ἐγὼ Ἰάκωβος καὶ σὺν ἡμῖν ἕτεροι, ἵνα μὴ πάλιν πάντας καταλέγωμεν, κοινῇ δὲ ὑπὸ πάντων ἡμῶν πρεσβύτεροι καὶ διάκονοι καὶ ὑποδιάκονοι καὶ ἀναγνῶσται. 14. πρῶτος τοίνυν τῇ φύσει ἀρχιερεὺς ὁ μονογενὴς Χριστός, «οὐχ ἑαυτῷ τὴν τιμὴν ἁρπάσας[3]», ἀλλὰ παρὰ τοῦ πατρὸς κατασταθείς· ὃς γενόμενος ἄνθρωπος δι' ἡμᾶς καὶ τὴν πνευματικὴν θυσίαν προσφέρων τῷ θεῷ ἑαυτοῦ καὶ πατρὶ πρὸ τοῦ πάθους ἡμῖν διετάξατο μόνοις τοῦτο ποιεῖν, καίτοι ὄντων σὺν ἡμῖν καὶ ἑτέρων τῶν εἰς αὐτὸν πεπιστευκότων· ἀλλ' οὐ πάντως πᾶς ὁ πιστεύσας ἤδη καὶ ἱερεὺς κατέστη ἢ ἀρχιερατικῆς ἀξίας ἔτυχε. 15. μετὰ δὲ τὴν ἀνάληψιν αὐτοῦ ἡμεῖς προσενεγκόντες κατὰ τὴν διάταξιν αὐτοῦ θυσίαν καθαρὰν καὶ ἀναίμακτον προεχειρισάμεθα ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους ἑπτὰ τὸν ἀριθμόν· 16. ὧν εἷς ἦν Στέφανος ὁ μακάριος μάρτυς, οὐκ ἀπολειπόμενος ἡμῶν κατὰ τὴν πρὸς θεὸν εὔνοιαν, ὃς τοσοῦτον τὴν θεοσέβειαν τῇ πίστει ἐνεδείξατο καὶ τὴν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀγάπην, ὡς ὑπὲρ αὐτοῦ δοῦναι καὶ τὴν ψυχὴν αὐτοῦ, πρὸς τῶν κυριοκτόνων Ἰουδαίων λίθοις βληθείς· ἀλλ' ὅμως ὁ τοιοῦτος καὶ τηλικοῦτος ἀνήρ, «ὁ τῷ πνεύματι ζέων, ὁ τὸν Χριστὸν ὁρῶν ἐκ δεξιῶν τοῦ θεοῦ καὶ τὰς οὐρανίους πύλας ἀνεῳγμένας[4]», οὐδαμοῦ φαίνεται τοῖς μὴ ἀνήκουσι τῇ διακονίᾳ χρησάμενος, ἢ θυσίαν ἀνενεγκὼν ἢ χεῖρας ἐπιθείς τινι, ἀλλὰ τὸ τῆς διακονίας τάγμα φυλάξας μέχρι τέλους· οὕτω γὰρ ἔπρεπε τῷ τοῦ Χριστοῦ μάρτυρι τὴν εὐταξίαν ἀποσώζειν. 17. εἰ δὲ Φίλιππον τὸν διάκονον καὶ Ἀνανίαν τὸν πιστὸν ἀδελφὸν αἰτιῶνταί τινες, ὅτι ὁ μὲν τὸν εὐνοῦχον ἐβάπτισεν, ὁ δὲ ἐμὲ Παῦλον[5], ἀγνοοῦσιν αὐτοί, ὃ λέγομεν ἡμεῖς. εἴπομεν γάρ, ὅτι «οὐχ ἑαυτῷ τις ἁρπάζει[6]» τὸ ἱερατικὸν ἀξίωμα, «ἀλλ' ἢ παρὰ τοῦ θεοῦ» λαμβάνει, ὡς Μελχισεδὲκ[7] καὶ Ἰακώβ, ἢ παρὰ τοῦ ἀρχιερέως, ὡς Ἀαρὼν παρὰ Μωσέως.[8] οὐκοῦν καὶ Φίλιππος καὶ Ἀνανίας οὐχ ἑαυτοὺς προείλοντο, ἀλλ' ὑπὸ τοῦ Χριστοῦ προεχειρίσθησαν τοῦ ἀρχιερέως τοῦ ἀσυγκρίτου.

---

1. Α' Κορ. 14, 33. 2. Πράξ. 9, 5. 26, 14. 3. Φιλιππ. 2, 6. Πρβλ. καὶ Ἑβρ. 5, 4. 4. Πράξ. 18, 25. 7, 55-56. 5. Πράξ. 8, 26 ἑξ. 9, 10 ἑξ. 6. Φιλιππ. 2, 6. Πρβλ. Ἑβρ. 5, 4. 7. Γεν. 14, 18. 8. Ἀριθ. 17, 1 ἑξ.

ΑΙ ΔΙΑΤΑΓΑΙ ΑΙ ΔΙΑ ΚΛΗΜΕΝΤΟΣ

ΚΑΙ ΚΑΝΟΝΕΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΙ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ*

Χαίρετε, υἱοὶ καὶ θυγατέρες, ἐν ὀνόματι κυρίου Ἰησοῦ Χριστοῦ, Ἰωάννης καὶ Ματθαῖος καὶ Πέτρος καὶ Ἀνδρέας καὶ Φίλιππος καὶ Σίμων καὶ Ἰάκωβος καὶ Ναθαναὴλ καὶ Θωμᾶς καὶ Κηφᾶς καὶ Βαρθολομαῖος καὶ Ἰούδας Ἰακώβου.[1]

Κατὰ κέλευσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος συναθροισθέντων ἡμῶν, καθὼς διέταξε πρὸ τοῦ—Μέλλετε κληροῦσθαι τὰς ἐπαρχίας, καταλογίσασθαι τόπων ἀριθμούς, ἐπισκόπων ἀξίας, πρεσβυτέρων ἕδρας, διακόνων παρεδρείας, ἀναγνωστῶν νουνεχίας, χηρῶν ἀνεγκλησίας καὶ ὅσα δέοι πρὸς θεμελίωσιν ἐκκλησίας, ἵνα τύπον τῶν ἐπουρανίων εἰδότες φυλάσσωνται ἀπὸ παντὸς ἀστοχήματος, εἰδότες ὅτι λόγον ὑφέξουσιν ἐν τῇ μεγάλῃ ἡμέρᾳ τῆς κρίσεως περὶ ὧν ἀκούσαντες οὐκ ἐφύλαξαν—καὶ ἐκέλευσεν ἡμᾶς ἐκπέμψασθαι τοὺς λόγους εἰς ὅλην τὴν οἰκουμένην· ἔδοξεν οὖν ἡμῖν πρὸς ὑπόμνησιν τῆς ἀδελφότητος καὶ νουθεσίαν ἑκάστῳ ὡς ὁ Κύριος ἀπεκάλυψε κατὰ τὸ θέλημα τοῦ Θεοῦ διὰ πνεύματος ἁγίου μνησθεῖσι λόγου ἐντείλασθαι ὑμῖν.

1. Ἰωάννης εἶπεν· Ἄνδρες ἀδελφοί, εἰδότες ὅτι λόγον ὑφέξομεν περὶ τῶν διατεταγμένων ἡμῖν εἰς ἑνὸς πρόσωπον μὴ λαμβάνωμεν, ἀλλ' ἐάν τις δοκῇ συμφέρον ἀντιλέγειν, ἀντιλεγέσθω αὐτῷ.

Ἔδοξε δὲ πᾶσιν πρῶτον Ἰωάννην εἰπεῖν.

Ἰωάννης εἶπεν· Ὁδοὶ δύο εἰσί, μία τῆς ζωῆς καὶ μία τοῦ θανάτου· διαφορὰ δὲ πολλὴ μεταξὺ τῶν δύο ὁδῶν· ἡ μὲν γὰρ ὁδὸς τῆς ζωῆς ἐστιν αὕτη· πρῶτον, «ἀγαπήσεις τὸν Θεὸν τὸν ποιήσαντά σε ἐξ ὅλης τῆς καρδίας σου[2]» καὶ δοξάσεις τὸν λυτρωσόμενόν σε ἐκ θανάτου, ἥτις ἐστὶν ἐντολὴ πρώτη· «δεύτερον, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν, ἥτις ἐστὶν ἐντολὴ δευτέρα· ἐν οἷς ὅλος ὁ νόμος κρέμαται καὶ οἱ προφῆται.[3]»

Ματθαῖος εἶπε· «Πάντα ὅσα μὴ θέλεις σοι γενέσθαι, σὺ μηδὲ ἄλλῳ ποιήσεις·[4]» τούτων δὲ τῶν λόγων τὴν διδαχὴν εἰπέ, ἀδελφὲ Πέτρε.

Πέτρος εἶπεν· «Οὐ φονεύσεις, οὐ μοιχεύσεις[5]», οὐ πορνεύσεις, οὐ φαρμακεύσεις, οὐ φονεύσεις τέκνον ἐν φθορᾷ, οὐ δὲ γεννηθὲν ἀποκτενεῖς, «οὐ ψευδομαρτυρήσεις[6]», οὐ κακολογήσεις, οὐδὲ μνησικακήσεις, οὐκ ἔσῃ δίγνωμος οὐδὲ δίγλωσσος· παγὶς γὰρ θανάτου ἐστὶν ἡ διγλωσσία.[7] Οὐκ ἔσται ὁ λόγος σου κενός, οὐδὲ ψευδής· οὐκ ἔσῃ πλεονέκτης, οὐδὲ ἅρπαξ, οὐδὲ ὑποκριτής, οὐδὲ κακοήθης, οὐδὲ ὑπερήφανος, οὐδὲ

---

* Περὶ τοῦ ἔργου τούτου ἰδὲ Βιβλ. Ἑλλ. Πατέρων, τ. Α' σελ. 12.

1. Πρβλ. Ματθ. 10, 2. Μάρκ. 3, 16. Λουκ. 6, 14. 2. Ματθ. 22, 37. 3. Ματθ. 22, 39-40. 4. Πρβλ. Ματθ. 7, 12. 5. Ἔξ. 20, 15, 13. 6. Ἔξ. 20, 16. 7. Πρβλ. Παρμ. 6, 2.

λήψῃ βουλὴν πονηρὰν κατὰ τοῦ πλησίον σου· οὐ μισήσεις πάντα ἄνθρωπον, ἀλλ' οὓς μὲν ἐλέγξεις, οὓς δὲ ἐλεήσεις, περὶ ὧν δὲ προσεύξῃ, οὓς δὲ ἀγαπήσεις ὑπὲρ τὴν ψυχήν σου.

'Ανδρέας εἶπε· Τέκνον μου, φεῦγε ἀπὸ παντὸς πονηροῦ καὶ ἀπὸ παντὸς ὁμοίου αὐτοῦ. Μὴ γίνου ὀργίλος· ὁδηγεῖ γὰρ ἡ ὀργὴ πρὸς φόνον· ἔστι γὰρ δαιμόνιον ἀρρενικὸν ὁ θυμός. Μὴ γίνου ζηλωτής, μηδὲ ἐριστικός, μηδὲ μανικός· ἐκ γὰρ τούτων φόνος γεννᾶται.

Φίλιππος εἶπε· Τέκνον, μὴ γίνου ἐπιθυμητής· ὁδηγεῖ γὰρ ἡ ἐπιθυμία πρὸς τὴν πορνείαν καὶ ἕλκει τοὺς ἀνθρώπους πρὸς ἑαυτήν· ἔστι γὰρ θηλυκὸν δαιμόνιον τῆς ἐπιθυμίας, καὶ ὃ μὲν μετ' ὀργῆς, ὃ δὲ μεθ' ἡδονῆς ἀπόλλυσι τοὺς εἰσδεχομένους αὐτά· ὁδὸς δὲ πονηροῦ πνεύματος ἁμαρτία ψυχῆς, καὶ ὅταν βραχεῖαν εἴσδυσιν σχῇ ἐν αὐτῷ, πλατύνει αὐτὴν καὶ ἄγει ἐπὶ πάντα τὰ κακὰ τὴν ψυχὴν ἐκείνην καὶ οὐκ ἐᾷ διαβλέψαι τὸν ἄνθρωπον καὶ ἰδεῖν τὴν ἀλήθειαν. Ὁ θυμὸς ὑμῶν μέτρον ἐχέτω καὶ ἐν βραχεῖ διαστήματι αὐτὸν ἡνιοχεῖτε καὶ ἀνακρούετε, ἵνα μὴ ἐμβάλλῃ ὑμᾶς εἰς ἔργον πονηρόν· θυμὸς γὰρ καὶ ἡδονὴ πονηρά, ἐπιπολὺ παραμένοντα, κατὰ ἐπίτασιν δαιμόνια γίνεται, καὶ ὅταν ἐπιστρέψῃ αὐτοῖς ὁ ἄνθρωπος, οἰδαίνουσιν ἐν τῇ ψυχῇ αὐτοῦ καὶ γίνονται μείζονες καὶ ἀπάγουσιν αὐτὸν εἰς ἔργα ἄδικα καὶ ἐπιγελῶσιν αὐτῷ καὶ ἥδονται ἐπὶ τῇ ἀπωλείᾳ τῶν ἀνθρώπων.

Σίμων εἶπε· Τέκνον, μὴ γίνου αἰσχρολόγος, μηδὲ ὑψηλόφθαλμος· ἐκ γὰρ τούτων μοιχεῖαι γίνονται.

'Ιάκωβος εἶπε· Τέκνον, μὴ γίνου οἰωνοσκόπος· ἐπειδὴ ὁδηγεῖ πρὸς τὴν εἰδωλολατρείαν· μηδὲ ἐπαοιδός, μηδὲ μαθηματικός, μηδὲ περικαθαίρων· μηδὲ θέλε αὐτὰ εἰδέναι μηδὲ ἀκούειν· ἐκ γὰρ τούτων ἁπάντων εἰδωλολατρεῖαι γεννῶνται.

Ναθαναὴλ εἶπε· Τέκνον, μὴ γίνου ψεύστης· ἐπειδὴ ὁδηγεῖ τὸ ψεῦσμα ἐπὶ τὴν κλοπήν· μηδὲ φιλάργυρος, μηδὲ κενόδοξος· ἐκ γὰρ τούτων ἁπάντων κλοπαὶ γεννῶνται. Τέκνον, μὴ γίνου γόγγυσος· ἐπειδὴ ἄγει πρὸς τὴν βλασφημίαν· μηδὲ αὐθάδης, μηδὲ πονηρόφρων· ἐκ γὰρ τούτων ἁπάντων βλασφημίαι γεννῶνται. Ἴσθι δὲ πραΰς· ἐπειδὴ «πραεῖς κληρονομήσουσι τὴν βασιλείαν τῶν οὐρανῶν.[1]» Γίνου μακρόθυμος, ἐλεήμων, εἰρηνοποιός, καθαρὸς τῇ καρδίᾳ ἀπὸ παντὸς κακοῦ, ἄκακος καὶ ἡσύχιος, ἀγαθὸς καὶ φυλάσσων καὶ τρέμων τοὺς λόγους, οὓς ἤκουσας. Οὐχ ὑψώσεις ἑαυτόν, οὐδὲ δώσεις τῇ ψυχῇ σου θράσος, οὐδὲ κολληθήσῃ τῇ ψυχῇ σου μετὰ ὑψηλῶν, ἀλλὰ μετὰ δικαίων καὶ ταπεινῶν ἀναστραφήσῃ· τὰ δὲ συμβαίνοντά σοι ἐνεργήματα ὡς ἀγαθὰ προσδέξῃ, εἰδὼς ὅτι ἄτερ Θεοῦ οὐδὲν γίνεται.

Θωμᾶς εἶπε· Τέκνον, τὸν λαλοῦντά σοι τὸν λόγον τοῦ Θεοῦ καὶ παραίτιόν σοι γινόμενον τῆς ζωῆς καὶ δόντα σοι τὴν ἐν Κυρίῳ σφραγῖδα ἀγαπήσεις ὡς κόρην ὀφθαλμοῦ σου, μνησθήσῃ δὲ αὐτοῦ νύκτα

1. Ματθ. 5, 5.

καὶ ἡμέραν, τιμήσεις αὐτὸν ὡς τὸν Κύριον· ὅθεν γὰρ ἡ κυριότης λαλεῖται, ἐκεῖ Κύριός ἐστιν. Ἐκζητήσεις δὲ τὸ πρόσωπον αὐτοῦ καθ' ἡμέραν καὶ τοὺς λοιπούς, ἵνα ἐπαναπαύσῃ τοῖς λόγοις αὐτῶν κολλώμενος· ὡς ἅγιος γὰρ ἁγίοις ἁγιασθήσῃ. Τιμήσεις αὐτόν, καθ' ὃ δυνατὸς εἶ, ἐκ τοῦ ἱδρῶτός σου καὶ ἐκ τοῦ πόνου τῶν χειρῶν σου· εἰ γὰρ ὁ Κύριος δι' αὐτοῦ ἠξίωσέ σε δοθῆναι πνευματικὴν τροφὴν καὶ ποτὸν καὶ ζωὴν αἰώνιον, σὺ ὀφείλεις πολὺ μᾶλλον τὴν φθαρτὴν καὶ πρόσκαιρον προσφέρειν τροφήν· «ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ, καὶ βοῦν ἀλοῶντα οὐ φιμώσεις, καὶ οὐδεὶς φυτεύει ἀμπελῶνα καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει.[1]»

Κηφᾶς εἶπεν· Οὐ ποιήσεις σχίσματα, εἰρηνεύσεις δὲ μαχομένους· κρινεῖς δικαίως· οὐ λήψῃ πρόσωπόν τινα ἐλέγξαι ἐπὶ παραπτώματι· οὐ γὰρ ἰσχύει πλοῦτος παρὰ Κυρίῳ (οὐ γὰρ ἀξίας προκρίνει), οὐδὲ κάλλος ὠφελεῖ, ἀλλὰ ἰσότης ἐστὶ πάντων παρ' αὐτῷ. Ἐν προσευχῇ σου μὴ διψυχήσῃς, πότερον ἔσται ἢ οὔ. Μὴ γίνου πρὸς μὲν τὸ λαβεῖν ἐκτείνων τὰς χεῖρας, πρὸς δὲ τὸ δοῦναι συσπῶν. Ἐὰν ἔχῃς, διὰ τῶν χειρῶν σου δώσεις λύτρωσιν τῶν ἁμαρτιῶν σου· οὐ διστάσεις δοῦναι, οὐδὲ διδοὺς γογγύσεις· γνώσει γάρ, τίς ἐστιν ὁ τοῦ μισθοῦ καλὸς ἀνταποδότης. Οὐκ ἀποστραφήσῃ ἐνδεόμενον, κοινωνήσεις δὲ ἁπάντων τῷ ἀδελφῷ σου καὶ οὐκ ἐρεῖς ἴδια εἶναι· εἰ γὰρ ἐν τῷ ἀθανάτῳ κοινωνοί ἐστε, πόσῳ μᾶλλον ἐν τοῖς θνητοῖς;

Βαρθολομαῖος εἶπεν· Ἐρωτῶμεν ὑμᾶς, ἀδελφοί, ὡς ἔτι καιρός ἐστι καὶ ἔχετε εἰς οὓς ἐργάζεσθαι μεθ' ἑαυτῶν, μὴ ἐκλείπετε ἐν μηδενί, ἐξ οὗ ἂν ἔχητε· ἐγγὺς γὰρ ἡ ἡμέρα Κυρίου, ἐν ᾗ συναπολεῖται πάντα σὺν τῷ πονηρῷ· ἥξει γὰρ ὁ Κύριος, καὶ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ. Ἑαυτῶν γίνεσθε σύμβουλοι ἀγαθοί, διδακτοί. Φυλάξεις ἅπερ ἔλαβες, μήτε προσθεὶς μήτε ὑφαιρῶν.

2. Πέτρος εἶπεν· Ἀδελφοί, τὰ περὶ τῶν λοιπῶν νουθεσιῶν αἱ Γραφαὶ διδάξουσιν, ἡμεῖς δὲ ἃ ἐκελεύσθημεν διατάξωμεν· πάντες εἶπον Πέτρος λεγέτω.

Πέτρος εἶπεν· Ἐὰν ὀλιγανδρία ὑπάρχῃ, καὶ μή που πλῆθος τυγχάνῃ τῶν δυναμένων ψηφίσασθαι περὶ ἐπισκόπου ἐντὸς δεκαδύο ἀνδρῶν, εἰς τὰς πλησίον ἐκκλησίας, ὅπου τυγχάνει πεπηγυῖα, γραφέτωσαν, ὅπως ἐκεῖθεν ἐκλεκτοὶ τρεῖς ἄνδρες παραγενόμενοι δοκιμῇ δοκιμάσωσι τὸν ἄξιον ὄντα, εἴ τις φήμην καλὴν ἔχει ἀπὸ τῶν ἐθνῶν, εἰ ἀναμάρτητος ὑπάρχει, εἰ φιλόπτωχος, εἰ σώφρων, μὴ μέθυσος, μὴ πόρνος, μὴ πλεονέκτης ἢ λοίδορος ἢ προσωπολήπτης καὶ τὰ τούτοις ὅμοια. Καλὸν μὲν εἶναι ἀγύναιος, εἰ δὲ μή, ἀπὸ μιᾶς γυναικός[2], παιδείας μέτοχος, δυνάμενος τὰς Γραφὰς ἑρμηνεύειν· εἰ δὲ ἀγράμματος, πραῢς ὑπάρχων, καὶ τῆς ἀγάπης εἰς πάντας περισσευέτω, μήποτε περί τινος ἐλεγχθείς, ἐπίσκοπος ἀπὸ τῶν πολλῶν γενηθείη.

---

1. Λουκ. 10, 7. Α' Τιμ. 5, 15. Α' Κορ. 9, 7. 2. Α' Τίτ. 3, 2.

Ἰωάννης εἶπεν· Ὁ κατασταθεὶς ἐπίσκοπος, εἰδὼς τὸ προσεχὲς καὶ φιλόθεον τῶν σὺν αὐτῷ, καταστήσει οὓς ἐὰν δοκιμάσῃ πρεσβυτέρους δεκαδύο. Πάντες ἀντεῖπον ὅτι οὐ δεκαδύο, ἀλλὰ κδ'· εἴκοσι γὰρ καὶ τέσσαρές εἰσι πρεσβύτεροι, δώδεκα ἐκ δεξιῶν καὶ δώδεκα ἐξ εὐωνύμων. Ἰωάννης εἶπε· καλῶς ὑπεμνήσατε, ἀδελφοί· οἱ μὲν γὰρ ἐκ δεξιῶν δεχόμενοι ἀπὸ τῶν ἀρχαγγέλων τὰς φιάλας προσφέρουσι τῷ δεσπότῃ, οἱ δὲ ἐξ ἀριστερῶν ἐπέχουσι τῷ πλήθει τῶν ἀγγέλων. Δεῖ οὖν εἶναι κδ'. τοὺς πρεσβυτέρους, ἤδη κεχρονικότας ἐπὶ τῷ κόσμῳ, τρόπῳ τινὶ ἀπεχομένους τῆς πρὸς γυναῖκας συνελεύσεως, εὐμεταδότους εἰς τὴν ἀδελφότητα, πρόσωπον ἀνθρώπου μὴ λαμβάνοντας, συμμύστας τοῦ ἐπισκόπου καὶ συνεπιμάχους, συναθροίζοντας τὸ πλῆθος, προθυμουμένους τὸν ποιμένα. Οἱ δὲ ἐκ δεξιῶν πρεσβύτεροι προνοήσονται τῶν ἐπισκόπων πρὸς τὸ θυσιαστήριον, ὅπως τιμήσωσι καὶ ἐντιμηθῶσιν, εἰς ὃ ἂν δέῃ. Οἱ ἐξ ἀριστερῶν πρεσβύτεροι προνοήσονται τοῦ πλήθους, ὅπως εὐσταθήσῃ καὶ ἀθόρυβον ᾖ, πρῶτον μεμαθηκὸς ἐν πάσῃ ὑποταγῇ. Εἰ δέ τις νουθετούμενος αὐθαδῶς ἀποκριθῇ, τὸ ἓν ποιήσαντες οἱ ἐπὶ τῷ θυσιαστηρίῳ τὸν τοιοῦτον μετὰ ἴσης βουλῆς, ὃ ἂν ᾖ ἄξιον, δικασάτωσαν, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι, μή ποτε ἑνὸς πρόσωπον λάβωσι, καὶ ἐπὶ πλεῖον νεμηθῇ ὡς γάγγραινα, καὶ αἰχμαλωτισθῶσιν οἱ πάντες.

Ἰάκωβος εἶπεν· Ἀναγνώστης καθιστανέσθω πρῶτον δοκιμῇ δεδοκιμασμένος, μὴ γλωσσοκόπος, μὴ μέθυσος, μηδὲ γελωτολόγος, εὔτροπος, εὐπειθής, εὐγνώμων, ἐν ταῖς κυριακαῖς συνόδοις πρῶτος σύνδρομος, εὐήκοος, διηγηματικός, εἰδὼς ὅτι εὐαγγελιστοῦ τόπον ἐργάζεται· ὁ γὰρ ἐμπιμπλῶν ὦτα μὴ νοοῦντος ἔγγραφος λογισθήσεται παρὰ τῷ Θεῷ.

Ματθαῖος εἶπε· Διάκονοι καθιστάσθωσαν· γέγραπται «ἐπὶ τριῶν σταθήσεται πᾶν ῥῆμα Κυρίου.[1]» Ἔστωσαν δεδοκιμασμένοι πάσῃ διακονίᾳ, μεμαρτυρημένοι παρὰ τοῦ πλήθους, μονόγαμοι, τεκνοτρόφοι, σώφρονες, ἐπιεικεῖς, ἥσυχοι, μὴ γόγγυσοι, μὴ δίγλωσσοι, μὴ ὀργίλοι· ὀργὴ γὰρ ἀπόλλυσιν ἄνδρα φρόνιμον· μὴ πρόσωπον πλουσίου λαμβάνοντες, μηδὲ πένητα καταδυναστεύοντες, μηδὲ οἴνῳ πολλῷ χρώμενοι, εὔσκυλτοι, τῶν κρυφίων ἔργων καλοὶ προτρεπτικοί, ἐπαναγκάζοντες τοὺς ἔχοντας τῶν ἀδελφῶν ἁπλοῦν τὰς χεῖρας, καὶ αὐτοὶ εὐμετάδοτοι, κοινωνικοί, πάσῃ τιμῇ καὶ ἐντροπῇ καὶ φόβῳ τιμώμενοι ὑπὸ τοῦ πλήθους, ἐπιμελῶς προσέχοντες τοῖς ἀτάκτως περιπατοῦσιν[2], οὓς μὲν νουθετοῦντες, οὓς δὲ παρακαλοῦντες, οὓς δὲ ἐπιτιμῶντες· τοὺς δὲ καταφρονοῦντας τελέως παραπεμπόμενοι, εἰδότες ὅτι οἱ ἀντίλογοι καὶ καταφρονηταὶ καὶ λοίδοροι Χριστῷ ἀντετάξαντο.

Κηφᾶς εἶπε· Χῆραι καθιστανέσθωσαν τρεῖς· αἱ δύο προσμένουσαι τῇ προσευχῇ περὶ πάντων τῶν ἐν πείρᾳ, καὶ πρὸς τὰς ἀποκαλύψεις περὶ

1. Δευτ. 29, 15. 2. Πρβλ. Β' Θεσσ. 3, 11.

οὗ ἂν δέῃ, μία δὲ παρεδρεύουσα ταῖς ἐν ταῖς νόσοις πειραζομέναις, εὐδιάκονος, νηπτική, τὰ δέοντα ἀπαγγέλλουσα τοῖς πρεσβυτέροις, μὴ αἰσχροκερδής, μὴ οἴνῳ πολλῷ προσέχουσα, ἵνα δύνηται νήφειν πρὸς τὰς νυκτερινὰς ὑπηρεσίας, καὶ εἴ τινα ἕτερα βούλοιτο ἐργαγαθεῖν· καὶ γὰρ ταῦτα πρῶτα Κυρίου θησαυρίσματά εἰσιν ἀγαθά.

'Ανδρέας εἶπε· Διάκονοι ἐργάται τῶν καλῶν ἔργων νυχθήμερον ἐπιλεύσοντες πανταχοῦ, μήτε πένητα ὑπεροπτεύοντες, μήτε πλούσιον προσωποληπτεύοντες ἐπιγνώσονται τὸν θλιβόμενον, καὶ ἐκ τῆς λογίας οὐ παραπέμψονται, ἐπαναγκάσουσι τοὺς δυναμένους ἀποθησαυρίζειν εἰς ἔργα ἀγαθά, προορῶντας τοὺς λόγους τοῦ διδασκάλου ἡμῶν· «Εἴδετέ με πεινῶντα καὶ οὐκ ἐθρέψατέ με· οἱ γὰρ καλῶς διακονήσαντες καὶ ἀμέμπτως, τόπον ἑαυτοῖς προσποιοῦνται τὸν ποιμενικόν.¹»

Φίλιππος εἶπεν· 'Ο λαϊκὸς τοῖς λαϊκοῖς πράγμασι περιπειθέσθω ὑποτασσόμενος τοῖς παρεδρεύουσι τῷ θυσιαστηρίῳ. Ἕκαστος τῷ ἰδίῳ τόπῳ ἀρεσκέτω τῷ Θεῷ, μὴ φιλεχθροῦντες ἀλλήλοις περὶ τῶν τεταγμένων, ἕκαστος ἐν ᾧ ἐκλήθη παρὰ τῷ Θεῷ. 'Ο ἕτερος τοῦ ἑτέρου τὸν δρόμον μὴ παρατεμνέτω· οὐδὲ γὰρ οἱ ἄγγελοι παρὰ τὸ διατεταγμένον αὐτοῖς οὐδὲν ἕτερον ἐξελίσσουσιν.

'Ανδρέας εἶπεν· Εὔχρηστόν ἐστι, ἀδελφοί, ταῖς γυναιξὶ διακονίαν καταστῆσαι.

Πέτρος εἶπεν· 'Εφθάσαμεν τάξαντες· περὶ δὲ τῆς προσφορᾶς τοῦ σώματος καὶ τοῦ αἵματος ἀκριβῶς μηνύσωμεν.

'Ιωάννης εἶπεν· 'Επελάθεσθε, ἀδελφοί, ὅτε ᾔτησεν ὁ διδάσκαλος τὸν ἄρτον καὶ τὸ ποτήριον καὶ ηὐλόγησεν αὐτὰ λέγων· «Τοῦτό ἐστι τὸ σῶμά μου καὶ τὸ αἷμα²», ὅτι οὐκ ἐπέτρεψε ταύταις συστῆναι ἡμῖν.

Μάρθα εἶπε· Διὰ Μαριάμ, ὅτι εἶδεν αὐτὴν μειδιῶσαν.

Μαρία εἶπεν· Οὐκέτι ἐγέλασα· προέλεγε γὰρ ἡμῖν, ὅτε ἐδίδασκεν, ὅτι τὸ ἀσθενὲς διὰ τοῦ ἰσχυροῦ σωθήσεται.

Κηφᾶς εἶπεν· 'Ενίων μέμνησθε λεγόντων ὅτι ταῖς γυναιξὶ μὴ ὀρθαῖς πρέπει προσεύχεσθαι, ἀλλὰ ἀπὸ τῆς γῆς καθεζομέναις.

'Ιάκωβος εἶπε· Πῶς οὖν δυνάμεθα περὶ γυναικῶν διακονίαν ὁρίσαι, εἰ μή τι διακονίας ἵνα ἐπισχύσωσι ταῖς ἐνδεομέναις;

Φίλιππος εἶπε· Τοῦτο, ἀδελφοί, περὶ τῆς μεταδόσεως. 'Ο ποιῶν ἔργον καλὸν ἑαυτῷ θησαυρὸν περιποιεῖται· ὁ γὰρ θησαυρίζων ἐν τῇ βασιλείᾳ, ἔγγραφος ἐργάτης λογισθήσεται παρὰ τῷ θεῷ.

Πέτρος εἶπε· Ταῦτα, ἀδελφοί, οὐχ ὡς ἐξουσίαν τινὸς ἔχοντες πρὸς ἀνάγκην, ἀλλ' ἐπιταγὴν ἔχοντες παρὰ Κυρίου ἐρωτῶμεν ὑμᾶς φυλάξαι τὰς ἐντολάς, μηδὲν ἀφαιροῦντας ἢ προστιθέντας, ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. 'Αμήν.

---

1. Ματθ. 25, 42. Α' Τιμ. 3, 13. 2, Ματθ. 26, 26-28.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΚΛΗΜΕΝΤΟΣ, ΠΑΠΑ ΡΩΜΗΣ

I. Τρίτον τῆς Ῥωμαίων Ἐκκλησίας προέστη Κλήμης, ὃς τῇ ἐπιστήμῃ τοῦ ἀποστόλου Πέτρου ἀκολουθήσας, οὕτω τοῖς τῶν τρόπων κόσμοις διέπρεπεν, ὥστε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ πᾶσι τοῖς Χριστιανῶν λαοῖς εὐαρεστεῖν· Ἠγάπων μὲν αὐτὸν οἱ Ἕλληνες, ἐπειδὴ οὐ βδελυττόμενος, ἀλλὰ ἀπολογούμενος ἐκ τῶν παρ' αὐτοῖς βιβλίων τε καὶ τελετῶν ἀπεδείκνυε, ποῦ τε γεγέννηνται, καὶ πόθεν ὥρμηντο οἱ παρ' αὐτοῖς νομιζόμενοι καὶ λατρευόμενοι θεοί· ἅ τε πεπράχασι, πῶς τε αὖθις κατέληξαν, φανοτάταις ἀποδείξεσι παρίστη· αὐτούς τε τοὺς Ἕλληνας συγχωρήσεως παρὰ Θεοῦ τυχεῖν, εἴπερ τῆς ἐκείνων λατρείας ἀπόσχοιντο, ἐδίδασκε.

II. Παρὰ δὲ Ἰουδαίοις τοιούτῳ τρόπῳ χάριν ἐπορίζετο· ἐπειδὴ τοὺς πατέρας αὐτῶν φίλους τοῦ Θεοῦ ἀπεδείκνυε· τόν τε νόμον αὐτῶν ἅγιον καὶ ἱερώτατον ἀπέφαινε, καὶ πρῶτον τόπον τούτους παρὰ τῷ Θεῷ κληροῦσθαι, εἴπερ τοῦ ἰδίου νόμου τὰ μυστήρια τηρήσοιεν, ἐν τῷ τὴν ἐπαγγελίαν πρὸς Ἀβραὰμ μὴ ἀρνεῖσθαι εἰς τὸν Χριστὸν πεπληρῶσθαι· διότι ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ κληροδοτεῖν ὁ Θεὸς καθυπέσχετο πάντα τὰ ἔθνη· καὶ ὅπερ εἶπε πρὸς Δαβίδ· «Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.[1]» Καὶ αὖθις διὰ Ἡσαΐου τοῦ προφήτου· Ὅτι «ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ κληθήσεται τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.[2]»

III. Παρὰ δὲ Χριστιανοῖς, διὰ τοῦτο καὶ μᾶλλον ἠγαπᾶτο, ἐπειδὴ τοὺς καθ' ἑκάστην ῥεγεῶνα πένητας κατ' ὄνομα εἶχε γεγραμμένους· καὶ οὓς τῷ τοῦ βαπτίσματος ἁγιασμῷ ἐφώτιζεν, οὐ συνεχώρει δημοσίαν ἀπαίτησιν ὑπελθεῖν. Τῷ δὲ καθ' ἡμέραν κηρύγματι τούς τε μετρίους καὶ πλουσίους ἐνουθέτει τοῦ μὴ ἀνέχεσθαι τοὺς πεφωτισμένους πένητας παρὰ Ἰουδαίων ἢ Ἑλλήνων δημόσια ὄψα λαμβάνειν, καὶ βίον τῇ τοῦ βαπτίσματος καθιερώσει κεκαθαρμένον, χαρίσμασιν Ἑλλήνων χραίνεσθαι.

IV. Τούτοις, καὶ τούτων πλείοσιν ἀνδραγαθίας ἄνθεσι τῷ τε Θεῷ καὶ πᾶσιν ἀνθρώποις ἐχέφροσιν εὐηρέστει. Τοῖς γὰρ ἀλογίστοις ἀρέσκειν ἀδύνατον, ὅπερ τῷ Θεῷ εὐάρεστον ἀποδείκνυται. Τούτου οὖν ἕνεκεν οὐκ ἐφόβησαν τὰς ὕβρεις τῶν ἀλογίστων ἀνθρώπων ἐκεῖνοι, οἷς ἡ γνώμη ἐτύγχανε τοὺς ἀπαρέσκοντας πλείστοις μὴ δειλιᾶν. Ὅτου χάριν περιῆν τῷ μακαριωτάτῳ Κλήμεντι τῷ τοῦ θρόνου Ῥωμαίων ἐπισκόπῳ τὸν φίλον τοῦ βασιλέως Νερούα μὴ φοβεῖσθαι.

V. Ἐπειδὴ τοίνυν τῇ αὐτοῦ διδασκαλίᾳ ἡ γυνὴ τοῦ Σισιννίου

---

1. Ψαλμ. 131. 11   2 Ἡσ 7 14

Θεοδώρα, ἐπιστραφεῖσα πρὸς Θεόν, σπουδαίαν ἐτέλει τὴν λειτουργίαν, ταύτην ὁ ἀνὴρ ζηλοτυπήσας, παγιδεῦσαι κατηγωνίζετο, πρὸς τὴν ἐκκλησίαν σπεύδουσαν. Καὶ δὴ εἰσερχομένης, ἐκεῖνος δι' ἑτέρας εἰσόδου καταφθάσας, ἤρξατο πολυπραγμονεῖν· καὶ ἡνίκα παρὰ τοῦ ἁγίου Κλήμεντος εὐχὴ γέγονε, τοῦ λαοῦ εἰρηκότος τὸ Ἀμήν, ὁ Σισίννιος ἐν τούτῳ τυφλός τε καὶ κωφὸς ἀπετελέσθη, τοῦ μήτε ὁρᾶν, μήτε ἀκούειν δύνασθαι. Τότε οὖν λέγει τοῖς δούλοις αὐτοῦ· Λάβετέ με εἰς τὰς χεῖρας ὑμῶν, καὶ ἐξαγάγετε ἔξω, ὅτι οἱ ὀφθαλμοί μου τυφλοὶ γεγόνασι, καὶ αἱ ἀκοαί μου εἰς τοσοῦτον ἐκωφώθησαν, ὅτι οὐδὲν τὸ σύνολον ἀκούειν δύναμαι.

VI. Τότε οἱ παῖδες αὐτοῦ περιῆγον μετ' αὐτοῦ δι' ὅλης τῆς ἐκκλησίας ἐν μέσῳ τοῦ εὐχομένου λαοῦ, ἀνδρῶν τε καὶ γυναικῶν, καὶ τὰς θύρας ὅθεν εἰσέβησαν καταλαβεῖν οὐκ ἐδύναντο. Ὅθεν ἐν τῷ περιέρχεσθαι αὐτοὺς πλανηθέντας, καὶ πάλιν κυκλεύειν, πρὸς Θεοδώραν τὴν κυρίαν αὐτῶν, ἔνθα τῷ Θεῷ προσηύχετο, σὺν τῷ δεσπότῃ αὐτῶν παρεγένοντο. Ἥ τις ἑωρακυῖα τοὺς ἑαυτῆς παῖδας μετὰ τοῦ κυρίου αὐτῶν τυφλωθέντος περιάγοντας, πρῶτον μὲν ἐξέκλινε τὴν θέαν αὐτῶν, νομίζουσα ὅτι περ ἠνεῳγμένοις ὄμμασιν θεάσηται αὐτήν. Καὶ πεμψάσης ἕνα τῶν παίδων αὐτῆς πρὸς τὸ γνῶναι τί ἄρα θέλοιεν μετὰ τοῦ κυρίου αὐτῶν περιερχόμενοι, εἶπον · Ὁ κύριος ἡμῶν, θέλων ὁρᾶν ὅπερ αὐτὸν οὐκ ἐξῆν, καὶ ἀκούειν ἀλλοτρίου μυστηρίου, ἀποτετύφλωται, καὶ κωφὸς ἀπειργάσθη· ἡμῖν τε ἐκέλευσεν, ἵνα τοῦτον ἐντεῦθεν ὁπωσοῦν ἐξαγάγωμεν· καὶ οὐ συγκεχώρηται ἡμῖν αὐτὸν ἐντεῦθεν ὁπωσοῦν ἐκφέρειν.

VII. Ἡνίκα δὲ τοῦτο τὸ διήγημα ἡ Θεοδώρα ὑπεδέξατο παρὰ τοῦ παιδός, κατέστρωσεν ἑαυτὴν εἰς εὐχήν, καὶ μετὰ δακρύων παρὰ τοῦ Θεοῦ ἐδέετο, ἵνα ὁ ἀνὴρ αὐτῆς ἐκεῖθεν δυνηθῇ ἐξελθεῖν. Καὶ στραφεῖσα πρὸς τοὺς παῖδας τοὺς συνόντας αὐτῷ, εἶπεν· Ἀπέλθετε, καὶ χειραγωγήσαντες τὸν κύριον ὑμῶν, ἀπαγάγετε εἰς τὸν οἶκον· ἐγὼ γὰρ τὴν εὐχήν, ἣν ἠρξάμην, οὐ μὴ καταλείπω, ἀλλὰ προσφέρω τὴν θυσίαν μου τῷ Κυρίῳ, καὶ πληρουμένων τῶν μυστηρίων, καταφθάνω ὑμᾶς. Τότε τοίνυν ἀπῆλθον οἱ παῖδες χειραγωγοῦντες αὐτόν, καὶ ἐξερχόμενοι, ἀπήγαγον εἰς τὸν οἶκον· καὶ ὑποστρέψαντες πρὸς τὴν κυρίαν αὐτῶν, τυφλὸν ἀπήγγειλαν καὶ κωφὸν αὐτὸν εἰσέτι διαμεῖναι. Ἡ δὲ Θεοδώρα ἐπὶ πλεῖον τῷ Θεῷ δεήσεις καὶ δάκρυα ἐξέχεεν, ὅπως τοῦ ἀνδρὸς αὐτῆς τὸ αὐτοῦ ἔλεος ἀντιλήψηται. Καὶ δὴ τῆς ἀπολύσεως γεγονυίας προσέπεσε τῷ μακαρίῳ Κλήμεντι ἡ Θεοδώρα, λέγουσα, τὸν ἄνδρα αὐτῆς περιεργαζόμενον τὰ ἀπόρρητα τῶν μυστηρίων τοῦ Δεσπότου Ἰησοῦ Χριστοῦ, τυφλώσει περιπεσεῖν τῶν ἀμφοτέρων ὀφθαλμῶν, τῶν τε ἑκατέρων ὤτων τὸ ἀκουστικὸν παραυτὰ ἀπολέσαι.

VIII. Τηνικαῦτα οὖν ὁ μακάριος Κλήμης, προχέας δάκρυα, προτρέπειν ἤρξατο τοὺς συμπαρόντας, ἵνα ὁμοθυμαδὸν παρὰ τοῦ Κυρίου αἰτήσωνται, ὅπως τῷ ἀνδρὶ αὐτῆς τήν τε ἀκοὴν χαρίσηται καὶ τὴν

δρασιν· θαρσαλέως τοίνυν ὁ μακάριος Κλήμης μετὰ τὴν εὐχὴν συνεπορεύθη τῇ γυναικὶ πρὸς τὸν ἐκείνης ἄνδρα, καὶ εὗρεν αὐτόν, ἀνεῳγμένων τῶν ὀμμάτων, οὐδὲν ὁρῶντα, οὔτε μὲν λόγου τὸ παράπαν, οὔτε τινὸς ἤχου ἀκούοντα· ἔνθα καὶ συμμιγεῖς ὀλοφυρμῶν ἅπαντες περιήχουν, οὗ τινος ὁ Σισίννιος παντάπασιν οὐκ ἠκροᾶτο.

IX. Τότε οὖν, κλίνας τὰ γόνατα πρὸς τὸν Θεόν, ἔφη ὁ μακάριος Κλήμης· Κύριε Ἰησοῦ Χριστέ, ὁ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν δεδωκὼς τῷ ἀποστόλῳ σου, διδασκάλῳ δὲ ἐμῷ Πέτρῳ, καὶ εἰπών· «Ἅπερ ἂν ἀνοίξῃς, ἠνέῳκται, καὶ ἅπερ κλείσῃς, κέκλεισται[1]», σὺ πρόσταξον ἵνα διανοιχθῶσι τῷ ἀνθρώπῳ τούτῳ αἱ ἀκοαί, καὶ οἱ ὀφθαλμοί· ὅτι σὺ εἶπας· «Ἅπερ ἂν αἰτήσητε πιστεύοντες, λήψεσθε.[2]» Καὶ αὕτη σου ἡ ἐπαγγελία διαμένει εἰς αἰῶνα αἰώνων. Καὶ ἡνίκα πάντες ἀπεκρίνοντο, Ἀμήν, διηνοίχθησαν οἱ ὀφθαλμοὶ Σισιννίου καὶ αἱ ἀκοαί. Καὶ ἰδὼν τὸν ἅγιον Κλήμεντα σὺν τῇ ἑαυτοῦ ἱστάμενον γυναικί, ἐξέστη τῇ διανοίᾳ, λογιζόμενος τί ἄρα εἴη τοῦτο, καὶ ὑπρνοῶν τοῦτο αὐτὸ γοητικαῖς τέχναις ἐμπεπαῖχθαι, ἤρξατο κράζειν τοῖς δούλοις αὐτοῦ· Κρατήσατε Κλήμεντα τὸν ἐπίσκοπον· διὰ γὰρ τοῦ εἰσελθεῖν πρὸς τὴν γυναῖκά μου, τῇ μαγικῇ αὐτοῦ τέχνῃ τὴν πήρωσίν μοι ἐπήγαγεν.

X. Ἐκεῖνοι δέ, οἷς ἐκέλευσε τὸν Κλήμεντα κατασφίγγειν τε καὶ σύρειν, αὐτοὶ τοὺς κειμένους στύλους δεσμοῦντες εἷλκον· ποτὲ μὲν ἔνδοθεν εἰς τὰ ἔξω, ποτὲ δὲ ἐκ τῶν ἔξω εἰς τὰ ἔσω· τοῦτο δὲ καὶ αὐτῷ τῷ Σισιννίῳ ἐδόκει, ὅτι περ τὸν ἅγιον Κλήμεντα δεδεμένον εἷλκόν τε καὶ κατεῖχον. Πρὸς ὃν ὁ ἅγιος Κλήμης ἔφη· Ἡ σκληρότης τῆς καρδίας σου εἰς λίθους ἐτράπη· ἐπειδὴ γὰρ τοὺς λίθους δοξάζεις εἶναι θεούς, λίθους σύρειν κεκλήρωσαι.

XI. Ἐκεῖνος δέ, ὡς δῆθεν δεδεμένου κατακαυχώμενος, ἔλεγεν· Ἐγώ σε ποιῶ εἰς ὑπόδειγμα πάντων τῶν γοήτων ἀναιρεθῆναι. Τηνικαῦτα ὁ ἅγιος Κλήμης, δεδωκὼς εὐχήν, καὶ εὐλογήσας τὴν ἐκείνου σύμβιον, ἀπῴχετο, τοῦτο ἐντειλάμενος αὐτῇ, μὴ παύσασθαι τὸ παράπαν τῆς προσευχῆς, μέχρις ἂν τὴν παρ' αὐτοῦ ἐπίσκεψιν ὁ Κύριος εἰς τὸν ἄνδρα αὐτῆς καταξιώσῃ ἀναδεῖξαι. Κλαιούσῃ τοίνυν καὶ εὐχομένῃ τῇ Θεοδώρᾳ, πρὸς ἑσπέραν ἐφάνη τις ἀνὴρ τῇ πολιᾷ αἰδέσιμος, καὶ εἶπε· Διὰ σὲ ὑγιὴς ἔσεται ὁ Σισίννιος· ὅπως πληρωθῇ ὅπερ ἔφη ὁ ἀδελφός μου Παῦλος ὁ ἀπόστολος· «Ἁγιασθήσεται ὁ ἀνὴρ ὁ ἄπιστος διὰ τὴν γυναῖκα τὴν πιστήν.[3]» Καὶ ταῦτα εἰπών, ἐκ τῆς ὄψεως αὐτῆς ἀνεχώρησεν. Ὅθεν ἀναμφίβολον ὑπάρχει καὶ κατάδηλον τὸν μακάριον ἐκεῖσε Πέτρον τὸν ἀπόστολον φανῆναι.

XII. Καὶ δὴ ἐξαυτῆς ἐκάλεσε πρὸς ἑαυτὸν ὁ Σισίννιος τὴν Θεοδώραν, καὶ λέγει αὐτῇ· Δέομαί σου ἵνα ἱκετεύσῃς τὸν Θεόν σου, τοῦ μὴ ὀργισθῆναί μοι. Σὲ γὰρ ζηλοτυπήσας, παρεγενόμην καὶ παρεισέβην κατόπιν σου εἰς τὴν ἐκκλησίαν. Καὶ διὰ τὸ θέλειν με ὁρᾶν τὰ τελούμενα,

---

1. Πρβλ. Ματθ. 16, 19. 2. Ματθ. 21, 22. 3. Α' Κορ. 7, 14.

καὶ ἀκροατὴν εἶναι τῶν λεγομένων, τήν τε ἀκοὴν ἅμα καὶ τὴν ὅρασιν ἀπώλεσα. Νυνὶ δέ, ἐπειδὴ τοῦ ταῦτά με ἀνακτήσασθαι ἡ τοῦ Κλήμεντος ἀπειργάσατο παρουσία, δεήθητι αὐτοῦ ὅπως ἔλθῃ πρός με, καὶ ποιήσῃ με τὴν ἀλήθειαν γνῶναι. Ἐπεὶ καὶ ἐμοὶ καὶ τοῖς παισί μου ἀσφαλῶς ἐνομίζετο τὸν Κλήμεντα δεσμεύειν σὺν τοῖς αὐτοῦ κληρικοῖς, καὶ τοῦτον περισύρειν· ἀλλ' οὗτοι λίθους τε καὶ στυλάρια δεσμοῦντες, ἕλκειν τε καὶ ἀνθέλκειν καταφαίνονται.

XIII. Τηνικαῦτα ἡ Θεοδώρα, πορευθεῖσα, διηγήσατο πάντα ἅπερ εἶδε, καὶ ἅπερ ὑπὸ τοῦ αὐτῆς συμβίου ἐλαλήθη, τῷ ἁγίῳ Κλήμεντι. Παραγενόμενος οὖν ὁ ἅγιος πρὸς τὸν Σισίννιον, μετὰ τιμῆς ὑπεδέχθη. Παρ' οὗ ἀκηκοὼς ὅσαπερ πρὸς οἰκοδομὴν τῆς ψυχῆς συνέτεινεν, ἐπίστευσε τῷ Θεῷ, καὶ ἐστερεώθη· καὶ ἤρξατο τοῖς γόνασι τοῦ Κλήμεντος προσκυλινδεῖσθαι, καὶ βοᾶν·

XIV. Εὐχαριστῶ τῷ ἀληθινῷ Θεῷ καὶ παντοκράτορι, ὃς διὰ τοῦτό με τετύφλωκεν, ἵνα ὄψωμαι, καὶ διὰ τοῦτο τὴν ἀκοὴν ἀφείλετο, ἵν' ἐνωτίσωμαι τὴν ἀλήθειαν, ἧς ποτε δι' ἄγνοιαν κατεγέλων· καὶ τοῦτο μὲν ἐνόμιζον ψευδὲς ὑπάρχειν, ὅπερ ἦν ἀληθές, ἐδόκουν δὲ τὸ ἔμπαλιν ἀληθές, ὃ ψευδὲς ἐτύγχανε· τὸ σκότος ἐνόμιζον φῶς, καὶ τὸ φῶς σκότος ὑπελάμβανον. Ἀλλ' ἐκαθαρίσθη ὁ νοῦς μου ἐκ τοῦ μολυσμοῦ τῆς εἰδωλομανίας. Ἀληθῶς γὰρ ἔγνων τοὺς δαίμονας ἐξαπατήσαντας τοὺς ἀνθρώπους· ὅπως τῶν μὴ πιστευόντων τὸν Χριστὸν εἶναι θεὸν κυριεύσωσι πέτραι καὶ λίθοι, κωφοὶ καὶ ἄλαλοι, ὥσπερ κἀμοῦ ἐπεκράτησαν μέχρι τῆς δεῦρο. Ταῦτα καὶ τὰ παραπλήσια τοῦ Σισιννίου φάσκοντος, χαρὰ μεγάλη γέγονεν. Ἐπίστευσε γὰρ σὺν πάσῃ τῇ αὐτοῦ οἰκίᾳ· καὶ ἐπιδεδωκὼς τὸ οἰκεῖον ὄνομα, προσεγγίζοντος τοῦ Πάσχα, ἐβαπτίσθη· ἠριθμήθησαν δὲ οἱ βαπτισθέντες ἐκ τοῦ οἴκου αὐτοῦ ἅμα πάντες ἄνδρες τε καὶ γυναῖκες σὺν τοῖς νηπίοις τετρακόσιοι εἴκοσι τρεῖς. Διὰ τοῦτον δὲ τὸν Σισίννιον πολλοὶ τῶν περιφανῶν καὶ φίλων Νερούα τοῦ βασιλέως πρὸς τὸν θεὸν ἐπεστράφησαν.

XV. Κατ' ἐκείνου δὲ τοῦ καιροῦ ὁ κόμης τῶν θείων ὀφφικίων Πούβλιος Ταρκουτιανός, ἑωρακὼς ἀναρίθμητον πληθὺν τῷ Χριστῷ πιστεύσασαν, προσεκαλέσατο τοὺς προστάτας τῶν ῥεγεώνων, ἐπιδεδωκὼς αὐτοῖς χρήματα, παρέσεισεν αὐτοὺς ἵνα κινήσωσι τάραχον τῷ Χριστιανῷ ὀνόματι.

XVI. Διοικοῦντος τοίνυν Μαμερτίνου τοῦ ἐπάρχου τοῦ πολιτικοῦ θρόνου, στάσις γέγονε τοῦ Ῥωμαίων δήμου ἐπ' ὀνόματι τοῦ Κλήμεντος· καὶ πρὸς ἀλλήλους συγχυθέντες, ἄλλοι μὲν ἔλεγον· Τί γὰρ κακὸν ἔπραξεν, ἢ τί τῶν καλῶν οὐ κατώρθωσεν; ὅστις γὰρ ἄρρωστος παρ' αὐτοῦ ἐπεσκέφθη, ἰάσεως ἔτυχεν. ὅστις πρὸς αὐτὸν λελυπημένος ἀπῆλθε, χαίρων ἀνεχώρησεν· οὐδένα ποτὲ ἔβλαψε, πάντας δὲ ὠφέλησεν. Ἄλλοι δὲ πνεύματι διαβολικῷ ἐκκαυθέντες, ἔκραζον· Γοητικαῖς τέχναις ταῦτα ποιῶν, τῶν θεῶν ἡμῶν τὴν λατρείαν ἀνατρέπει· τὸν Δία λέγει θεὸν μὴ εἶναι. Ἡρακλέα δὲ τὸν ἡμέτερον φύλακα, ἀκάθαρτον εἶναι λέγει

πνεῦμα· Ἀφροδίτην τὴν ὁσίαν θεάν, πόρνην γεγονέναι ὑποτίθεται· Ἑστίαν δὲ τὴν μεγάλην θεὰν πυρὶ κατηναλῶσθαι βλασφημεῖ. Ὡσαύτως δὲ καὶ τὴν εὐαγεστάτην θεὰν Ἀθηνᾶν, Ἄρτεμίν τε καὶ Ἑρμῆν, ἅμα τε καὶ τὸν Κρόνον, καὶ τὸν Ἄρεα διαβάλλει. Πάντα τε τὰ ὀνόματα τῶν ἡμετέρων θεῶν, καὶ τοὺς ναοὺς καθυβρίζει. Ἢ θύσει τοῖς θεοῖς ἡμῶν, ἢ αὐτὸς ἐξαλειφθείη.

XVII. Τότε Μαμερτῖνος ὁ τῆς πόλεως ἔπαρχος, μὴ φέρων τοῦ δήμου τὴν στάσιν, ἐκέλευσε πρὸς ἑαυτὸν ἀναχθῆναι τὸν μακαριώτατον Κλήμεντα· ὅνπερ θεασάμενος, ἤρξατο λέγειν· Ἐξ εὐγενοῦς μὲν ῥίζης προελήλυθας· ὅπερ ἡμῖν ἡ τῶν Ῥωμαίων πληθὺς προσμαρτυρεῖ· ἀλλὰ πλάνην ὑπέστης· καὶ διὰ τοῦτο οὐ φέρουσιν· ἐπειδὴ οὐκ οἶδα τίνα Χριστὸν σέβῃ, καὶ ἐναντία τῶν ἐν τοῖς ναοῖς τῶν θεῶν ἀποδέχῃ. Διὸ ἀποθέσθαι σε δεῖ πᾶσαν τὴν περιττὴν δεισιδαιμονίαν, καὶ τοῖς ἐξαισίοις θεοῖς λατρεύειν. Τότε ὁ μακάριος Κλήμης ἔφη· Ηὐχόμην τὴν τῆς σῆς ὑπεροχῆς φρόνησιν προσανέχειν μου τῇ ἀπολογίᾳ, καὶ μὴ διὰ στάσιν τῶν ἀπαιδεύτων, ἀλλὰ διὰ τὸν ἐμὸν λόγον γράψασθαί με. Ἐπεί, ἐὰν κύνες ἡμᾶς πολλοὶ περιυλάξωσι καὶ κατασχίσωσι, μὴ δύνανται ἀφελέσθαι καὶ τὸ εἶναι ἡμᾶς μὲν λογικοὺς ἀνθρώπους, ἐκείνους δὲ κύνας ἀλογίστως καθυλακτοῦντας. Καὶ γὰρ ἡ στάσις ἀεὶ παρὰ ἀπαιδεύτων προερχομένη διαδείκνυται, ὥστε μηδὲν ἀσφαλὲς ἔχειν, μήτε μὴν ἀληθές. Ὅθεν σιγῆς ζητείσθω πρόφασις, ἐν ᾗ ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας ὁ λογικὸς ἄνθρωπος, καὶ καθ' ἑαυτὸν βουλεύεσθαι καὶ διαλέγεσθαι ἀπάρξηται, ἵνα τὸν ἀληθῆ Θεὸν εὕροι, ᾧ τὴν ἑαυτοῦ πίστιν σεμνοπρεπῶς παράθοι.

XVIII. Τότε Πούβλιος ὁ Ταρκουτιανός, ἀποστείλας ἀναφορὰν Τραϊανῷ τῷ αὐτοκράτορι, ἀνήγαγε περὶ τοῦ ὀνόματος τοῦ μακαρίου Κλήμεντος, φάσκων· Τοῦτον τὸν Κλήμεντα στασιώδεσι κραυγαῖς ζητῶν ὁ δῆμος οὐ παύεται· καὶ ἀξιόπιστος ἀπόδειξις εἰς τὰ κατ' αὐτὸν εὑρεθῆναι οὐ δύναται. Τηνικαῦτα Τραϊανὸς ὁ αὐτοκράτωρ ἀντέγραψε, δέον αὐτὸν ἢ συναινεῖν θύοντα, ἢ πέραν τῆς θαλάσσης καὶ τοῦ Πόντου ἐν ἐρήμῳ παρακειμένῃ τῇ Χερσῶνι πόλει ἐξορισθῆναι.

XIX. Καὶ ὁπότε τῷ τοῦ Τραϊανοῦ κελεύσματι ἐπεκυρώθη, συνεσκέπτετο ὁ Μαμερτῖνος, ὅπως ὁ Κλήμης ἑκούσιον ὑπερορίαν μὴ αἰτήσηται, ἀλλὰ μᾶλλον τοῖς θεοῖς σπονδὰς ἐμπαρέξῃ. Ἀλλ' ὁ μακάριος Κλήμης ἠγωνίζετο καὶ αὐτοῦ τοῦ δικαστοῦ τὸν λογισμὸν εἰς τὴν πίστιν τοῦ Χριστοῦ μεταγαγεῖν, καὶ ἑαυτὸν ἀποδεῖξαι προαιρεῖσθαι μᾶλλον τὴν ὑπερορίαν, ἢ δεδίττεσθαι. Τοσαύτην τοίνυν ὁ Κύριος χάριν τῷ Κλήμεντι παρέσχετο, ὥστε κατοδύρεσθαι Μαμερτῖνον τὸν ἔπαρχον, καὶ λέγειν· Ὁ Θεὸς ᾧ σὺ εἰλικρινῶς λατρεύεις, αὐτός σοι βοηθήσει ἐν ταύτῃ γραφῇ τῆς ὑπερορίας· καὶ ἠφώρισεν ναῦν, καὶ πάντα τὰ ἀναγκαῖα ἐπιβαλών, ἀπέλυσεν. Ἐφορτώθη δὲ ἡ ναῦς. Οὐ μὴν ἀλλὰ καὶ ἐκ τοῦ λαοῦ εὐλαβεῖς ἄνδρες, καὶ πολλοὶ ἠκολούθησαν αὐτῷ.

XX. Ἡνίκα δὲ κατέλαβον τὸν τόπον τῆς ὑπερορίας, ἐν τῇ ἐργασίᾳ

τῆς τῶν μαρμάρων λατομίας, περαιτέρω δύο χιλιάδων Χριστιανοὺς αὐτόθι κατέλαβε, μακροχρονίῳ γραφῇ καταδικασθέντας. Οἵτινες, ἑωρακότες τὸν ἅγιον καὶ ἀοίδιμον Κλήμεντα ἐπίσκοπον, ἅπαντες ὁμοθυμαδὸν εἰς στεναγμὸν καὶ ὀδυρμὸν προσελθόντες ἔλεγον· Εὖξαι ὑπὲρ ἡμῶν, ὅσιε ἱεράρχα, ἵνα ἄξιοι ἀποδειχθῶμεν τῆς παρὰ τοῦ Χριστοῦ ἐπαγγελίας. Οὓς ἐγνωκὼς ὁ ἅγιος Κλήμης διὰ τοῦ Θεοῦ ὑπερορισθέντας, ἔφη· Οὐκ ἀπροσφόρως ὁ Κύριός με ἐνταῦθα ἀποκατέστησεν, ἵνα συμμέτοχος γενόμενος τῶν παθημάτων ὑμῶν, ἔτι παρηγορίας ὑποτύπωσιν καὶ ὑπομονῆς ἐμπαρέξω.

XXI. Ἔμαθε δὲ παρ' αὐτῶν, ὅτι ἀπὸ ἓξ μιλίων τὸ ὕδωρ ἐπὶ τῶν ἰδίων ὤμων ἐκόμιζον. Αὐτίκα οὖν ὁ ἅγιος Κλήμης προετρέψατο αὐτούς, λέγων· Εὐξώμεθα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα τοῖς ὁμολογηταῖς τῆς αὐτοῦ πίστεως νομὴν ὕδατος διανοίξῃ· καὶ ὁ πατάξας τὴν πέτραν ἐν τῇ ἐρήμῳ τοῦ Σινᾶ, καὶ ἐρρύησαν ὕδατα εἰς πλησμονήν [1], αὐτὸς ἡμῖν τὸ ἄφθονον νᾶμα παράσχοι, ὅπως τῇ αὐτοῦ χορηγίᾳ εὐφρανθῶμεν. Καὶ δὴ τῆς ἱκεσίας πληρωθείσης, ἔνθεν κἀκεῖθεν περιεβλέψατο· καὶ εἶδεν ἀμνὸν ἱστάμενον, ὃς τὸν δεξιὸν πόδα ἐκούφισεν, οἷα τὸν τόπον τῷ ἁγίῳ Κλήμεντι ὑποδεικνύς. Τότε ὁ ἅγιος Κλήμης, συννοήσας τὸν Κύριον εἶναι, ὃν μόνος αὐτὸς τεθέατο καὶ ἕτερος παντελῶς οὐδείς, ἐπορεύθη πρὸς τὸν τόπον, καὶ εἶπεν· Ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος κρούσατε ἐν τῷ τόπῳ τούτῳ. Καὶ ἐπειδὴ πάντες ἐν κύκλῳ τοῖς σκαπανίοις ἔσκαψαν, καὶ οὐκ αὐτὸν τὸν τόπον ἐν ᾧ ὁ ἀμνὸς ἔστη, λαβὼν μικρὸν σκαλίδιον ὁ ἅγιος, ἐλαφρῷ κρούσματι τὸν τόπον τὸν ὑπὸ τὸν πόδα τοῦ ἀμνοῦ, ἔτυψεν· ὅθεν παραχρῆμα πηγὴ ὑπερβλυούσαις ταῖς φλεψὶν εὐπρεπεστάτη ἀνεφάνη· ἥτις, σὺν ὁρμῇ ἐκχυθεῖσα, ποταμὸν ἀπετέλεσε. Τηνικαῦτα ὁ ἅγιος πάντων ἀγαλλιωμένων, ὑπακουστικὸν εἶπε· «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.[2]»

XXII. Διὰ ταύτην οὖν τὴν φήμην, προσέδραμε πᾶσα ἡ ἐπαρχία· καὶ οἱ ἐληλυθότες ἅπαντες πρὸς τὴν διδαχὴν τοῦ ἁγίου Κλήμεντος ἐπιστρέφοντες πρὸς τὸν Κύριον· ὥστε καθ' ἡμέραν πεντακόσιοι καὶ περαιτέρω βαπτιζόμενοι ἀνεχώρουν. Ἐντὸς δὲ ἑνὸς ἔτους, γεγόνασιν ἐκεῖσε παρὰ τῶν πιστῶν ἑβδομηκονταπέντε ἐκκλησίαι, καὶ πάντα τὰ εἴδωλα κατεθρύβησαν, πάντες οἱ ναοὶ τῆς περιχώρου καθηρέθησαν, πάντα τὰ ἄλση ἐπὶ τριακόσια μίλια διόλου ἐν κύκλῳ κατεκόπησαν καὶ κατεστρώθησαν.

XXIII. Τηνικαῦτα ἐπίφθονον διήγημα διέδραμε πρὸς τὸν βασιλέα Τραϊανόν, ὡς αὐτόθι πρὸς ἀναρίθμητον πλῆθος ὁ τῶν Χριστιανῶν ἐπηυξήθη λαός· καὶ ἀπεστάλη Αὐφιδιανὸς ὁ ἡγεμών· ὅστις, πλείστους τῶν Χριστιανῶν διαφόροις βασάνοις ἀνελών, ὁρῶν τε τοὺς πάντας τῷ μαρτυρίῳ μετὰ χαρᾶς προσερχομένους, παρεχώρησεν τῷ πλήθει,

1. Ἐξ. 17, 1 ἑξ. 2. Ψαλμ. 45, 5.

μόνον τὸν ἅγιον Κλήμεντα ἐπὶ τὸ θύειν βιαζόμενος. Καὶ βλέπων οὕτως ἱδρυμένον ἐν Κυρίῳ καὶ τὸ καθόλου μετατεθῆναι οὐχ οἷόν τε, λέγει τοῖς ἰδίοις· Ἀπαχθήτω δὲ εἰς μέσον τὴν θάλασσαν, καὶ δεσμήσατε πρὸς τὸν αὐχένα αὐτοῦ ἄγκυραν, καὶ κάτω κείσθω, ὅπως μὴ δυνηθεῖεν οἱ Χριστιανοὶ ἀντὶ θεοῦ αὐτὸν σέβεσθαι.

XXIV. Τούτου οὖν γενομένου, ἅπαν τὸ πλῆθος τῶν Χριστιανῶν ἐν τῷ αἰγιαλῷ παρέστη καὶ ὠδύρετο. Καὶ ἐπὶ τούτοις εἶπον Κορνήλιος καὶ Φοῖβος οἱ μαθηταὶ αὐτοῦ· Πάντες ὁμοθυμαδὸν εὐξώμεθα, ἵνα δείξῃ ἡμῖν ὁ Κύριος τοῦ μάρτυρος αὐτοῦ τὰ λείψανα. Εὐχομένου τοίνυν τοῦ λαοῦ, ὑπεχώρησεν ἡ θάλασσα εἰς τὸν ἴδιον κόλπον ἐπὶ τρία σχεδὸν μίλια· καὶ εἰσελθόντες διὰ ξηρᾶς οἱ λαοί, εὗρον ἐν σχήματι ναοῦ μαρμαρίνου οἴκημα παρὰ τοῦ Θεοῦ εὐτρεπισμένον καὶ αὐτόθι ἐν σορῷ λιθίνῃ ἐτέθη τὸ σῶμα τοῦ ἁγίου Κλήμεντος μαθητοῦ Πέτρου τοῦ ἀποστόλου, ὥστε τὴν ἄγκυραν μεθ' ἧς κατεβλήθη πλησίον αὐτοῦ κεῖσθαι.

XXV. Ἀπεκαλύφθη τοιγαροῦν τοῖς μαθηταῖς αὐτοῦ, τοῦ μὴ λαβεῖν αὐτόν· οἷς καὶ τοῦτο ἐχρηματίσθη, ὅτι ἑκάστῳ χρόνῳ ἐν τῇ ἡμέρᾳ τῆς ἀθλήσεως αὐτοῦ ὑποχωρήσει ἡ θάλασσα ἐπὶ ἑπτὰ ἡμέρας, τοῖς ἐρχομένοις ξηρὰν πορείαν ποιουμένη· ὅπερ εἰς αἶνον τοῦ ὀνόματος αὐτοῦ εὐδόκησεν ὁ Κύριος γενέσθαι μέχρι τῆς σήμερον ἡμέρας. Τούτου δὲ γεγονότος, πάντα τὰ κύκλωθεν ἔθνη ἐπίστευσαν τῷ Χριστῷ. Ἔνθα οὐδεὶς Ἕλλην, οὐδεὶς Ἑβραῖος, οὐδεὶς τὸ παράπαν εὑρίσκεται αἱρετικός. Καὶ γίνονται ἐκεῖσε πλεῖσται εὐεργεσίαι, τυφλοὶ φωτίζονται ἐν τῇ ἑορτῇ αὐτοῦ, δαίμονες ἀπελαύνονται, πάντες οἱ νοσοῦντες θεραπεύονται· καὶ διαμένει αὐτοῦ ὁ ἔπαινος εἰς ἀεί, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα σὺν τῷ παναγίῳ, ἀχράντῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

ΔΙΔΑΧΗ ΤΩΝ ΔΩΔΕΚΑ ΑΠΟΣΤΟΛΩΝ

ΔΙΔΑΧΗ ΤΩΝ ΔΩΔΕΚΑ ΑΠΟΣΤΟΛΩΝ

Α΄ ΕΙΣΑΓΩΓΙΚΑ*

1. Πρώτη ἔκδοσις. Οὐδεμία ἴσως φιλολογικὴ ἀνακάλυψις τοῦ δεκάτου ἐνάτου αἰῶνος προεκάλεσε τόσην συγκίνησιν εἰς τοὺς φιλολογικοὺς κύκλους ὁλοκλήρου τοῦ κόσμου, καὶ πρὸ πάντων ἐν Ἀγγλίᾳ, Γερμανίᾳ καὶ Ἀμερικῇ, ὅσον ἡ κατὰ τὸ 1838 ἔκδοσις ὑπὸ τοῦ Μητροπολίτου Νικομηδείας Φιλοθέου Βρυεννίου συγγράμματος, φέροντος τὸν τίτλον «Διδαχὴ τῶν 12 Ἀποστόλων» ἢ καὶ «Διδαχὴ Κυρίου διὰ τῶν 12 Ἀποστόλων τοῖς ἔθνεσιν.[1]» Ἡ ἔκδοσις ἐγένετο ἐκ τοῦ ἱεροσολυμιτικοῦ χειρογράφου τοῦ 1056. Ἐπηκολούθησαν πλεῖσται ἐκδόσεις ἐπὶ τῇ βάσει τοῦ μοναδικοῦ χειρογράφου, μεταφράσεις καὶ κριτικαὶ μελέται[2], περὶ τῶν συνθηκῶν ὑφ' ἃς ἐγράφη καὶ τῶν ἐξ αὐτῆς ἐξακτέων πορισμάτων.

2. Περιεχόμενον. Ἐν τῷ ἔργῳ τούτῳ, ὅπερ ἀποτελεῖ πολυτιμοτάτην συμβολὴν διὰ τὴν λατρείαν, τὸ πολίτευμα καὶ τὸν βίον καθόλου τῆς ἀρχαίας Ἐκκλησίας, α΄) ἀναπτύσσεται ἡ διδασκαλία

---

* Ἐκ τῆς «Πατρολογίας» Δημητρίου Σ. Μπαλάνου, Ἀθῆναι 1930 σελ. 36 ἑξ.

1. Ὁ πλήρης τίτλος τῆς ἐκδόσεως τοῦ Βρυεννίου εἶναι ὁ ἑξῆς: «Διδαχὴ τῶν 12 ἀποστόλων, ἐκ τοῦ ἱεροσολυμιτικοῦ χειρογράφου νῦν πρῶτον ἐκδιδομένη, μετὰ προλεγομένων καὶ σημειώσεων, ἐν οἷς καὶ τῆς συνόψεως τῆς Π. Διαθήκης, τῆς ὑπὸ Ἰωάννου τοῦ Χρυσοστόμου, σύγκρισις καὶ μέρος ἀνέκδοτον ἀπὸ τοῦ αὐτοῦ χειρογράφου, ὑπὸ Φιλοθέου Βρυεννίου μητροπολίτου Νικομηδείας». Ἐν Κων/πόλει 1883 (προλεγόμενα σελ. ρμθ' καὶ σ. 75 κείμενον καὶ σημειώσεις). Σημειωτέον ὅτι μετὰ τὴν ἀνακάλυψιν τοῦ Βρυεννίου εὑρέθη ἐν χειρογράφῳ τοῦ Μονάχου ἀρχαία λατινικὴ μετάφρασις τῶν ἓξ πρώτων κεφαλαίων, πιθανώτατα τοῦ β' αἰῶνος, εὑρέθησαν δὲ καὶ πάπυροι περιέχοντες ἀποσπάσματα ἑλληνιστὶ καὶ κοπτιστί.

2. Ἐκ τῶν εἰς τὴν Διδαχὴν ἀναφερομένων ἀπειραρίθμων μελετῶν ἀξιολογώτεραι εἶναι αἱ ὑπὸ τῶν Funk. Zahn, Krawutzcky, Taylor, Harnack, Robinson (ἴδε Bardenhewer Gesch. d. altk. Lit. τόμ. 1, 1913, σ. 102-103). Πρβλ. καὶ ἐκ τῶν νεωτέρων Loisy ἐν Revue d'histoire et de litt. religieuses, Paris 1921 σ. 433-481. Ἑλληνιστὶ σχετικὰς ἐργασίας ἔχομεν προσέτι: Φιλοθέου Βρυεννίου ἐν Ἐκκλησ. Ἀληθείᾳ ἔτος ε' (1884-1885) σ. 51-57 καὶ Χ. Ν. Μακρῆ, Ἡ διδαχὴ τῶν 12 ἀποστόλων καὶ τὸ ἀρχαῖον ἐκκλησιαστικὸν πολίτευμα (Λάρισσα 1910). Περὶ τῶν ἐντυπώσεων τῶν ἐν Ἑσπερίᾳ θεολόγων ἐκ τῆς ἀνακαλύψεως τῆς Διδαχῆς ἴδε ἐν Ἐκκλ. Ἀληθείᾳ 1884, τεῦχος ιθ' κ. ἑ.

τῶν δύο ὁδῶν, ἤτοι ἀντιπαραβάλλεται ἡ ἀκολουθητέα ὁδὸς τῆς ζωῆς πρὸς τὴν φευκτέαν ὁδὸν τοῦ θανάτου (κ. 1-6)· β΄) ἐκτίθενται τὰ τῆς λατρείας, ἤτοι περὶ βαπτίσματος, νηστείας, προσευχῆς, θείας εὐχαριστίας (κ. 7-10 καὶ 14)· γ΄) ἀναπτύσσονται τὰ τοῦ ἐκκλησιαστικοῦ πολιτεύματος, ἤτοι περὶ ἀποστόλων, προφητῶν, διδασκάλων, ἐπισκόπων καὶ διακόνων (κ. 11-13 καὶ 15) καὶ δ΄) γίνεται λόγος περὶ τῶν ἐσχάτων καὶ τῆς μελλούσης κρίσεως. (κ. 16).

3. ***Συγγραφεύς.*** *Ὁ ἀνώνυμος συγγραφεύς, ἢ μᾶλλον συλλογεύς, ἀπευθυνόμενος πρὸς ἐκεῖνον χάριν οὗ ἔγραψε τὸ βιβλίον καὶ ὃν ἀποκαλεῖ τέκνον του, παριστᾷ τὰς ὑποθήκας του ὡς διδαχὴν Κυρίου διὰ τῶν ἀποστόλων, ἵνα προσδώσῃ μεῖζον κῦρος εἰς αὐτὰς καὶ ἐκ τούτου προῆλθεν ὁ τίτλος τοῦ ἔργου. Αἱ ἀπόπειραι διαφόρων ἐπιστημόνων πρὸς καθορισμὸν τοῦ ἀνωνύμου συγγραφέως, στερούμεναι πάσης σοβαρᾶς βάσεως, εἶναι ὅλως ὑποκειμενικαὶ καὶ αὐθαίρετοι καὶ ἀποκυήματα φαντασιοπληξίας. Οὔτε γνωρίζομεν ποῖος εἶναι οὔτε ἐπὶ τῇ βάσει ἐσωτερικῶν ἢ ἐξωτερικῶν μαρτυρίων δυνάμεθα νὰ συναγάγωμέν τι μετὰ πιθανότητος περὶ αὐτοῦ.*

4. ***Χρόνος συγγραφῆς.*** *Ὁ χρόνος τῆς συγγραφῆς τοῦ ἔργου δὲν δύναται ἀκριβῶς νὰ καθορισθῇ· πόσον δ᾽ ὑποκειμενικαὶ εἶναι αἱ ἀπόπειραι περὶ καθορισμοῦ τούτου μαρτυρεῖται ἐκ τοῦ ὅτι διάφοροι διάφορον χρόνον καθώρισαν ἀπὸ τοῦ 40*[1] *μέχρι τοῦ 160, στηριζόμενοι πάντες ἐπὶ ἐσωτερικῶν λόγων. Δὲν ἔλειψαν μάλιστα καὶ οἱ θεωρήσαντες τοῦτο μεταγενέστερον σύγγραμμα, οὗ ἔθεσαν τὴν συγγραφὴν κατὰ τὸν πέμπτον ἢ καὶ τὸν ἕκτον αἰῶνα· ἀλλ᾽ αἱ αὐθαίρετοι αὗται γνῶμαι, ὡς ὀρθῶς λέγει ὁ Ehrhard, «δύνανται νὰ προκαλέσωσι μόνον παθολογικὸν ἐνδιαφέρον.*[2]*»*

Καὶ ἔκ τινων μὲν χωρίων θὰ ἠδύναντο νὰ ἐξαχθῶσιν ἐνδείξεις περὶ συγγραφῆς τοῦ βιβλίου εἰς ἀρχαιοτάτους χρόνους· οὕτω λ. χ. οἱ προϊστάμενοι ἐν τῇ Ἐκκλησίᾳ δὲν εἶναι οἱ ἐπίσκοποι, ἀλλ᾽ οἱ προφῆται («αὐτοὶ γὰρ εἰσὶν οἱ ἀρχιερεῖς» ὑμῶν 13, 3), οἱ βαπτιζόμενοι καθομολογοῦσι τὴν ἀποδοχὴν ἠθικῶν ἀληθειῶν καὶ οὐχὶ ἄρθρων πίστεως (7,1)· ἀφ᾽ ἑτέρου ὅμως ἄλλοθεν θὰ ἠδύνατο νὰ ἐξαχθῇ ὅτι προηγήθη ἤδη ἐξέλιξίς τις· οὕτως ὑπάρχουσι καθωρισμένοι τύποι καὶ εὐχαὶ τῆς θείας εὐχαριστίας, ἥτις τελεῖται κατὰ Κυριακὴν (κ. 14), ὁρίζεται νηστεία κατὰ Τετάρτην καὶ Παρασκευὴν (κ. 8) καὶ πρὸ τοῦ βαπτίσματος (κ.7). Ἡ πιθανωτέρα καθ᾽ ἡμᾶς γνώμη εἶναι ὅτι ἡ Διδαχὴ ἀπετελέσθη κατὰ τὰς ἀρχὰς τοῦ β΄ αἰῶνος, πάντως ὅμως ἐν οὐδεμιᾷ περιπτώσει μετὰ τὸ 160, ὡς φαίνεται ἐκ τοῦ ὅτι ἤδη Κλήμης ὁ Ἀλεξανδρεύς, κατὰ τὰς

---

1. *Οὕτως ὁ Schermann, Die allgemeine Kirchenordnung (Paderborn 1915).*

2. *Die altchr. Literatur und i. Erforschung von 1884-1900, Freiburg i. B. 1900, σ. 62.*

ἀρχὰς τοῦ β' ἡμίσεος τοῦ β' αἰῶνος, γνωρίζει ἤδη ταύτην καὶ ἐπωφελεῖται αὐτῆς.[1]

5. Τόπος συγγραφῆς. Ποῦ ἐγράφη τὸ ἔργον δὲν γνωρίζομεν· ἐκ τῆς μεγάλης διαδόσεως ὅμως αὐτοῦ ἐν Αἰγύπτῳ, εἴκασάν τινες ὅτι ἐγράφη αὐτόθι, ἄλλοι δὲ ἐν Συρίᾳ ἢ ἐν Παλαιστίνῃ καὶ ἄλλοι ἀπιθανώτερον ἐν Ἑλλάδι ἢ καὶ ἐν Μικρᾷ Ἀσίᾳ.

6. Αἱ δύο ὁδοί. Ὡς ἤδη ἐλέχθη, τὸ πρῶτον μέρος τῆς συλλογῆς περιλαμβάνει τὴν διδασκαλίαν τῶν δύο ὁδῶν (κ. 1-6)· ἡ διδασκαλία αὕτη, ὁμοία κατ' οὐσίαν καὶ ἐν πολλοῖς κατὰ λέξιν, ἀλλὰ κατά τι βραχυτέρα, εὑρίσκεται καὶ ἐν τῇ ἐπιστολῇ τοῦ Βαρνάβα (κ. 18-20), καὶ διαφέρουσά πως ἐν τῷ Ποιμένι τοῦ Ἑρμᾶ (ἐντολὴ 6). Ὅτι ὑπάρχει σχέσις μεταξὺ τῶν περικοπῶν περὶ δύο ὁδῶν τῶν τριῶν τούτων συγγραμμάτων, καὶ μάλιστα τῆς Διδαχῆς καὶ τοῦ Βαρνάβα, εἶναι ἀναντίρρητον· ἐγεννήθη λοιπὸν ζήτημα τίς ἐπωφελήθη τοῦ ἄλλου, ὁ Βαρνάβας τῆς Διδαχῆς ἢ ἡ Διδαχὴ τοῦ Βαρνάβα· πιθανωτέρα ὅμως φαίνεται ἡ γνώμη τοῦ *Harnack*[2] καὶ ἄλλων, καθ' ἣν ἀμφότεροι ἤντλησαν ἐκ κοινῆς τινος πηγῆς, συντόμου ἠθικῆς κατηχήσεως, ἣν ἐξεμάνθανον οἱ Χριστιανοὶ πρὶν ἢ βαπτισθῶσι, ἴσως γραφείσης ἐπὶ τῇ βάσει κατηχήσεως ἐν χρήσει ἐν τῇ ἰουδαϊκῇ συναγωγῇ πρὸς χρῆσιν τῶν προσηλύτων. Ἐν τῇ διδασκαλίᾳ τῶν δύο ὁδῶν οὐδεμία εἰδικὴ χριστιανικὴ διδασκαλία διαφαίνεται, πάντως δὲ ἡ ἐν τῇ Διδαχῇ περικοπὴ 1, 3-6, ἐν ᾗ μόνον ἐπαναλαμβάνονται λόγοι τοῦ Σωτῆρος, εἶναι μεταγενεστέρα προσθήκη, ὡς φαίνεται ἐκ τοῦ ὅτι αὕτη ἢ ἀνάλογος πρὸς αὐτὴν ἐλλείπει καὶ ἐκ τοῦ Βαρνάβα καὶ ἐκ τῆς περισωθείσης ἀρχαίας λατινικῆς μεταφράσεως τῶν δύο ὁδῶν.

7. Ἑνιαῖον τῆς διδαχῆς. Ὑπὸ πολλῶν ἠμφισβητήθη τὸ ἑνιαῖον τῆς Διδαχῆς καὶ ἐθεωρήθη ὅτι ἄλλος εἶναι ὁ συγγραφεὺς τοῦ α' τμήματος περὶ τῶν δύο ὁδῶν (κ. 1-6) καὶ ἄλλος τοῦ β' τμήματος (κ. 7 μέχρι τέλους). Ὑπὲρ τῆς γνώμης ταύτης φέρονται δύο λόγοι: α') ὅτι ἡ προαναφερθεῖσα ἀρχαία λατινικὴ μετάφρασις περιλαμβάνει μόνον τὰ ἓξ πρῶτα κεφάλαια, περὶ δύο ὁδῶν καὶ β') ἐθεωρήθη ὑπό τινων ἡ ἀρχὴ τοῦ ζ' κεφαλαίου («ταῦτα πάντα προειπόντες βαπτίσατε») ὡς ὅλως ἄσχετος πρὸς τὰ προηγούμενα. Ἀλλὰ α') τὸ ὅτι διεσώθησαν μέχρις ἡμῶν μόνον τὰ ἓξ πρῶτα κεφάλαια τῆς λατινικῆς μεταφράσεως δὲν εἶναι ἀπόδειξις ὅτι ἀρχῆθεν αὕτη μόνον ταῦτα περιελάμβανεν· ἄλλως δὲν εἶναι ἀπίθανον ὅτι μόνον τοῦτο τὸ τμῆμα μετεφράσθη, διότι τοῦτο ἐκίνησε τὸ ἐνδιαφέρον τοῦ μεταφραστοῦ, λόγῳ τῶν κατηχητικῶν σκοπῶν οὓς ἐξυπηρέτει· β') τὸ «ταῦτα πάντα προειπόντες»

1. Στρωμ. 1, 20. Προτρ. κ. 10. Παιδαγ. 2, 10 καὶ 3, 12. Τίς ὁ σωζ. πλούσιος κ. 29. Καὶ μετὰ τὸν Κλήμεντα ὁ Ὠριγένης. Ὁ Εὐσέβιος (Ἐ. Ἰ. 3, 25) κατατάσσει τὴν Διδαχὴν ἐν ταῖς ἀντιλεγομέναις ἢ νόθοις γραφαῖς.
2. Gesch. d. altchr. Lit. 1, 86 κ. ἑ.

(7, 1) ἀναφέρεται προφανῶς εἰς τὴν καθομολόγησιν τῶν ἐν τοῖς κεφ. 1-6 ἠθικῶν ἀληθειῶν.

8. **Ἰδιάζοντα χωρία.** *Ἐν 4, 8: «οὐκ ἀποστραφήσῃ τὸν ἐνδεόμενον, συγκοινωνήσεις δὲ πάντα τῷ ἀδελφῷ σου καὶ οὐκ ἐρεῖς ἴδια εἶναι· εἰ γὰρ ἐν τῷ ἀθανάτῳ κοινωνοί ἐστε, πόσῳ μᾶλλον ἐν τοῖς θνητοῖς;» (πρβλ. καὶ Βαρνάβα 19, 8). Ἐν 7, 2 διδάσκεται, ἐν ἐλλείψει ὕδατος ψυχροῦ ἢ θερμοῦ, ἡ τέλεσις τοῦ βαπτίσματος δι' ἐπιχύσεως ὕδατος εἰς τὴν κεφαλήν· ἐν 7, 3 ἡ νηστεία πρὸ τοῦ βαπτίσματος, βαπτίζοντος καὶ βαπτιζομένου· ἐν 8, 1 ἡ νηστεία Τετάρτην καὶ Παρασκευὴν καὶ ἐν 8, 3 ἡ τριττὴ ἡμερησίως προσευχή.*[1] *Ἐν κεφ. 9 καὶ 10 περιέχονται αἱ ἀρχαιότεραι προσευχαὶ πρὸ καὶ μετὰ τὴν εὐχαριστίαν· ἐν 12, 5 συνιστᾶται προσοχὴ ἀπὸ τῶν χριστεμπόρων.*

---

1. Ὁ G. Klein ἐν *Zeitschrift f. d. neutest. Wissenschaft..., Giessen*, 9, 1908 σ. 132 κ. ἑ., ζητεῖ νὰ καταδείξῃ τὴν μεγάλην συγγένειαν τῶν ἐν τῇ Διδαχῇ προσευχῶν πρὸς τὰς ἰουδαϊκὰς τοιαύτας. Πρβλ. τοῦ αὐτοῦ καὶ *Der älteste christliche Katechismus und die jüdische Propagandaliteratur*, Berlin 1909.

Β' ΚΕΙΜΕΝΟΝ*

Διδαχὴ κυρίου διὰ τῶν δώδεκα ἀποστόλων τοῖς ἔθνεσιν.

I. Ὁδοὶ δύο εἰσί, μία τῆς ζωῆς καὶ μία τοῦ θανάτου[1], διαφορὰ δὲ πολλὴ μεταξὺ τῶν δύο ὁδῶν.

2. Ἡ μὲν οὖν ὁδὸς τῆς ζωῆς ἐστιν αὕτη· πρῶτον, «ἀγαπήσεις τὸν θεὸν τὸν ποιήσαντά σε· δεύτερον, τὸν πλησίον σου ὡς σεαυτόν[2]», πάντα δὲ ὅσα ἐὰν θελήσῃς μὴ γίνεσθαί σοι, καὶ σὺ ἄλλῳ μὴ ποίει.[3]

3. Τούτων δὲ τῶν λόγων ἡ διδαχή ἐστιν αὕτη· «Εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν[4]», νηστεύετε δὲ ὑπὲρ τῶν διωκόντων ὑμᾶς· «ποία γὰρ χάρις, ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς; οὐχὶ καὶ τὰ ἔθνη τὸ αὐτὸ ποιοῦσιν; ὑμεῖς δὲ ἀγαπᾶτε τοὺς μισοῦντας ὑμᾶς[5]», καὶ οὐχ ἕξετε ἐχθρόν. 4. ἀπέχου τῶν σαρκικῶν καὶ σωματικῶν ἐπιθυμιῶν.[6] «ἐάν τις σοι δῷ ῥάπισμα εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, καὶ ἔσῃ τέλειος· ἐὰν ἀγγαρεύσῃ σέ τις μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο· ἐὰν ἄρῃ τις τὸ ἱμάτιόν σου, δὸς αὐτῷ καὶ τὸν χιτῶνα· ἐὰν λάβῃ τις ἀπὸ σοῦ τὸ σόν, μὴ ἀπαίτει·[7]» οὐδὲ γὰρ δύνασαι. 5. «παντὶ τῷ αἰτοῦντί σε δίδου καὶ μὴ ἀπαίτει·[8]» πᾶσι γὰρ θέλει δίδοσθαι ὁ πατὴρ ἐκ τῶν ἰδίων χαρισμάτων. μακάριος ὁ διδοὺς κατὰ τὴν ἐντολήν· ἀθῷος γάρ ἐστιν· οὐαὶ τῷ λαμβάνοντι· εἰ μὲν γὰρ χρείαν ἔχων λαμβάνει τις, ἀθῷος ἔσται· ὁ δὲ μὴ χρείαν ἔχων δώσει δίκην, ἵνα τί ἔλαβε καὶ εἰς τί· ἐν συνοχῇ δὲ γενόμενος ἐξετασθήσεται περὶ ὧν ἔπραξε, καὶ οὐκ ἐξελεύσεται ἐκεῖθεν μέχρις οὗ «ἀποδῷ τὸν ἔσχατον κοδράντην.[9]» 6. ἀλλὰ καὶ περὶ τούτου δὴ εἴρηται· Ἱδρωσάτω ἡ ἐλεημοσύνη σου εἰς τὰς χεῖράς σου, μέχρις ἂν γνῷς τίνι δῷς.[10]

II. Δευτέρα δὲ ἐντολὴ τῆς διδαχῆς·

2. «Οὐ φονεύσεις, οὐ μοιχεύσεις[11]», οὐ παιδοφθορήσεις, οὐ πορνεύσεις, «οὐ κλέψεις[12]», οὐ μαγεύσεις, οὐ φαρμακεύσεις, οὐ φονεύσεις τέκνον ἐν φθορᾷ οὐδὲ γεννηθέντα ἀποκτενεῖς, οὐκ ἐπιθυμήσεις τὰ τοῦ πλησίον. 3. «οὐκ ἐπιορκήσεις[13], οὐ ψευδομαρτυρήσεις[14]», οὐ

---

* Τὸ κείμενον τοῦτο ὡς καὶ πάντων τῶν καλουμένων Ἀποστολικῶν Πατέρων εἶναι εἰλημμένον ἐκ τῆς ἐκδόσεως τῶν O. Gebhardt - Ad. Harnack - Th. Zahn: Patrum Apostolicorum Opera. Editio minor[6] 1920 κατὰ εὐγενῆ παραχώρησιν τοῦ δικαιώματος τῆς ἐκτυπώσεως ὑπὸ τοῦ ἐκδοτικοῦ οἴκου J. C. Hinrichs - Leipzig.

1. Ἱερ. 21, 8. Ματθ. 7, 13. 2. Ματθ. 22, 37-39. Σοφ. Σειρ. 7, 30. 3. Πρβλ. Ματθ. 7, 12. 4. Ματθ. 5, 44-46. Λουκ. 6, 27-28. 5. Ματθ. 5, 46. 6. Α' Πέτρ. 2, 11. 7. Ματθ. 5, 39-41. Λουκ. 6, 29-30. 8. Λουκ. 6, 30. 9. Ματθ. 5, 26. 10. Γραφικόν; πρβλ. Σοφ. Σειρ. 12, 1. 11. Ἔξ. 20, 15, 13. 12. Ἔξ. 20, 14. 13. Λευΐτ. 19, 12, Ματθ. 5, 33. 14. Ἔξ. 20, 16.

κακολογήσεις, οὐ μνησικακήσεις. 4. οὐκ ἔσῃ διγνώμων οὐδὲ δίγλωσσος· παγὶς γὰρ θανάτου ἡ διγλωσσία.[1] 5. οὐκ ἔσται ὁ λόγος σου ψευδής, οὐ κενός, ἀλλὰ μεμεστωμένος πράξει. 6. οὐκ ἔσῃ πλεονέκτης οὐδὲ ἅρπαξ οὐδὲ ὑποκριτὴς οὐδὲ κακοήθης οὐδὲ ὑπερήφανος, οὐ λήψῃ βουλὴν πονηρὰν κατὰ τοῦ πλησίον σου. 7. οὐ μισήσεις πάντα ἄνθρωπον, ἀλλὰ οὓς μὲν ἐλέγξεις, οὓς δὲ ἐλεήσεις, περὶ δὲ ὧν προσεύξῃ, οὓς δὲ ἀγαπήσεις ὑπὲρ τὴν ψυχήν σου.

III. Τέκνον μου, φεῦγε ἀπὸ παντὸς πονηροῦ καὶ ἀπὸ παντὸς ὁμοίου αὐτοῦ. 2. μὴ γίνου ὀργίλος· ὁδηγεῖ γὰρ ἡ ὀργὴ πρὸς τὸν φόνον· μηδὲ ζηλωτὴς μηδὲ ἐριστικὸς μηδὲ θυμικός· ἐκ γὰρ τούτων ἁπάντων φόνοι γεννῶνται. 3. τέκνον μου, μὴ γίνου ἐπιθυμητής· ὁδηγεῖ γὰρ ἡ ἐπιθυμία πρὸς τὴν πορνείαν· μηδὲ αἰσχρολόγος μηδὲ ὑψηλόφθαλμος· ἐκ γὰρ τούτων ἁπάντων μοιχεῖαι γεννῶνται. 4. τέκνον μου, μὴ γίνου οἰωνοσκόπος· ἐπειδὴ ὁδηγεῖ εἰς τὴν εἰδωλολατρίαν· μηδὲ ἐπαοιδὸς μηδὲ μαθηματικὸς μηδὲ περικαθαίρων, μηδὲ θέλε αὐτὰ βλέπειν· ἐκ γὰρ τούτων ἁπάντων εἰδωλολατρία γεννᾶται. 5. τέκνον μου, μὴ γίνου ψεύστης· ἐπειδὴ ὁδηγεῖ τὸ ψεῦσμα εἰς τὴν κλοπήν· μηδὲ φιλάργυρος μηδὲ κενόδοξος· ἐκ γὰρ τούτων ἁπάντων κλοπαὶ γεννῶνται. 6. τέκνον μου, μὴ γίνου γόγγυσος· ἐπειδὴ ὁδηγεῖ εἰς τὴν βλασφημίαν· μηδὲ αὐθάδης[2] μηδὲ πονηρόφρων· ἐκ γὰρ τούτων ἁπάντων βλασφημίαι γεννῶνται. 7. ἴσθι δὲ πραΰς, ἐπεὶ «οἱ πραεῖς κληρονομήσουσι τὴν γῆν.[3]» 8. γίνου μακρόθυμος καὶ ἐλεήμων καὶ ἄκακος καὶ ἡσύχιος καὶ ἀγαθὸς καὶ τρέμων τοὺς λόγους[4] διὰ παντός, οὓς ἤκουσας. 9. οὐχ ὑψώσεις σεαυτὸν οὐδὲ δώσεις τῇ ψυχῇ σου θράσος. οὐ κολληθήσεται ἡ ψυχή σου μετὰ ὑψηλῶν, ἀλλὰ μετὰ δικαίων καὶ ταπεινῶν ἀναστραφήσῃ. 10. τὰ συμβαίνοντά σοι ἐνεργήματα ὡς ἀγαθὰ προσδέξῃ, εἰδὼς ὅτι ἄτερ θεοῦ οὐδὲν γίνεται.[5]

IV. Τέκνον μου, «τοῦ λαλοῦντός σοι τὸν λόγον τοῦ θεοῦ[6]» μνησθήσῃ νυκτὸς καὶ ἡμέρας, τιμήσεις δὲ αὐτὸν ὡς κύριον·[7] ὅθεν γὰρ ἡ κυριότης λαλεῖται, ἐκεῖ κύριός ἐστιν. 2. ἐκζητήσεις δὲ καθ' ἡμέραν τὰ πρόσωπα τῶν ἁγίων, ἵνα ἐπαναπαῇς τοῖς λόγοις αὐτῶν. 3. οὐ ποιήσεις σχίσμα, εἰρηνεύσεις δὲ μαχομένους· κρινεῖς δικαίως, οὐ λήψῃ πρόσωπον ἐλέγξαι ἐπὶ παραπτώμασιν.[8] 4. οὐ διψυχήσεις, πρότερον ἔσται ἢ οὔ. 5. μὴ γίνου πρὸς μὲν τὸ λαβεῖν ἐκτείνων τὰς χεῖρας, πρὸς δὲ τὸ δοῦναι συσπῶν.[9] 6. ἐὰν ἔχῃς διὰ τῶν χειρῶν σου, δώσεις λύτρωσιν ἁμαρτιῶν σου. 7. οὐ διστάσεις δοῦναι οὐδὲ διδοὺς γογγύσεις· γνώσῃ γὰρ τίς ἐστιν ὁ τοῦ μισθοῦ καλὸς ἀνταποδότης. 8. οὐκ ἀποστραφήσῃ τὸν ἐνδεόμενον[10], συγκοινωνήσεις δὲ πάντα τῷ ἀδελφῷ σου καὶ οὐκ ἐρεῖς ἴδια εἶναι· εἰ γὰρ ἐν τῷ ἀθανάτῳ κοινωνοί ἐστε, πόσῳ μᾶλλον ἐν τοῖς

---

1. Πρβλ. Παρμ. 21, 6. 2. Πρβλ. Β' Πέτρ. 2, 10. 3. Ματθ. 5, 4. 4. Πρβλ Ἡσ. 66, 2. 5. Πρβλ. Ματθ. 10, 29. 6. Ἑβρ. 13, 7. 7. Πρβλ. Ματθ. 10, 40. 8. Δευτ. 1, 17. 9. Σοφ. Σειρ. 4, 31. 10. Σοφ. Σειρ. 4, 5.

θνητοῖς. 9. οὐκ ἀρεῖς τὴν χεῖρά σου ἀπὸ τοῦ υἱοῦ σου ἢ ἀπὸ τῆς θυγατρός σου, ἀλλὰ ἀπὸ νεότητος διδάξεις τὸν φόβον τοῦ θεοῦ. 10. οὐκ ἐπιτάξεις δούλῳ σου ἢ παιδίσκῃ, τοῖς ἐπὶ τὸν αὐτὸν θεὸν ἐλπίζουσιν, ἐν πικρίᾳ σου, μήποτε οὐ μὴ φοβηθήσονται τὸν ἐπ' ἀμφοτέροις θεόν·[1] οὐ γὰρ ἔρχεται κατὰ πρόσωπον καλέσαι, ἀλλ' ἐφ' οὓς τὸ πνεῦμα ἡτοίμασεν. 11. ὑμεῖς δὲ οἱ δοῦλοι ὑποταγήσεσθε τοῖς κυρίοις ὑμῶν ὡς τύπῳ θεοῦ ἐν αἰσχύνῃ καὶ φόβῳ.[2] 12. μισήσεις πᾶσαν ὑπόκρισιν καὶ πᾶν ὃ μὴ ἀρεστὸν τῷ κυρίῳ. 13. οὐ μὴ ἐγκαταλίπῃς ἐντολὰς κυρίου, φυλάξεις δὲ ἃ παρέλαβες, μήτε προστιθεὶς μήτε ἀφαιρῶν. 14. ἐν ἐκκλησίᾳ ἐξομολογήσῃ τὰ παραπτώματά σου[3], καὶ οὐ προσελεύσῃ ἐπὶ προσευχήν σου ἐν συνειδήσει πονηρᾷ. αὕτη ἐστὶν ἡ ὁδὸς τῆς ζωῆς.

V. Ἡ δὲ τοῦ θανάτου ὁδός ἐστιν αὕτη· πρῶτον πάντων πονηρά ἐστι καὶ κατάρας μεστή· φόνοι, μοιχεῖαι, ἐπιθυμίαι, πορνεῖαι, κλοπαί, εἰδωλολατρίαι, μαγεῖαι, φαρμακίαι, ἁρπαγαί, ψευδομαρτυρίαι, ὑποκρίσεις, διπλοκαρδία, δόλος, ὑπερηφανία, κακία, αὐθάδεια, πλεονεξία, αἰσχρολογία, ζηλοτυπία, θρασύτης, ὕψος, ἀλαζονεία. 3. διῶκται ἀγαθῶν, μισοῦντες ἀλήθειαν, ἀγαπῶντες ψεῦδος, οὐ γινώσκοντες μισθὸν δικαιοσύνης, οὐ κολλώμενοι ἀγαθῷ οὐδὲ κρίσει δικαίᾳ, ἀγρυπνοῦντες οὐκ εἰς τὸ ἀγαθόν, ἀλλ' εἰς τὸ πονηρόν· ὧν μακρὰν πραΰτης καὶ ὑπομονή, μάταια ἀγαπῶντες, διώκοντες ἀνταπόδομα, οὐκ ἐλεοῦντες πτωχόν, οὐ πονοῦντες ἐπὶ καταπονουμένῳ, οὐ γινώσκοντες τὸν ποιήσαντα αὐτούς, φονεῖς τέκνων, φθορεῖς πλάσματος θεοῦ, ἀποστρεφόμενοι τὸν ἐνδεόμενον, καταπονοῦντες τὸν θλιβόμενον πλουσίων παράκλητοι, πενήτων ἄνομοι κριταί, πανθαμάρτητοι· ῥυσθείητε, τέκνα, ἀπὸ τούτων ἁπάντων.

VI. Ὅρα μή τις σε πλανήσῃ ἀπὸ ταύτης τῆς ὁδοῦ τῆς διδαχῆς, ἐπεὶ παρεκτὸς θεοῦ σε διδάσκει. 2. εἰ μὲν γὰρ δύνασαι βαστάσαι ὅλον τὸν ζυγὸν τοῦ κυρίου, τέλειος ἔσῃ·[4] εἰ δ' οὐ δύνασαι, ὃ δύνῃ τοῦτο ποίει. 3. περὶ δὲ τῆς βρώσεως, ὃ δύνασαι βάστασον· ἀπὸ δὲ τοῦ εἰδωλοθύτου λίαν πρόσεχε· λατρεία γάρ ἐστι θεῶν νεκρῶν.

VII. Περὶ δὲ τοῦ βαπτίσματος, οὕτω βαπτίσατε· ταῦτα πάντα προειπόντες «βαπτίσατε εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος[5] ἐν ὕδατι ζῶντι.[6]» 2. ἐὰν δὲ μὴ ἔχῃς ὕδωρ ζῶν, εἰς ἄλλο ὕδωρ βάπτισον· εἰ δ' οὐ δύνασαι ἐν ψυχρῷ, ἐν θερμῷ. 3. ἐὰν δὲ ἀμφότερα μὴ ἔχῃς, ἔκχεον εἰς τὴν κεφαλὴν τρὶς ὕδωρ εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. 4. πρὸ δὲ τοῦ βαπτίσματος προνηστευσάτω ὁ βαπτίζων καὶ ὁ βαπτιζόμενος καὶ εἴ τινες ἄλλοι δύνανται· κελεύσεις δὲ νηστεῦσαι τὸν βαπτιζόμενον πρὸ μιᾶς ἢ δύο.

VIII. Αἱ δὲ νηστεῖαι ὑμῶν μὴ ἔστωσαν μετὰ τῶν ὑποκριτῶν· νηστεύουσι γὰρ δευτέρᾳ σαββάτων καὶ πέμπτῃ· ὑμεῖς δὲ νηστεύσατε

---

1. Ἐφ. 6, 9. 2. Ἐφ. 6, 5. 3. Ἰακ. 5, 16. 4. Πρβλ. Ματθ. 11, 29-30. 19-21. 5. Ματθ. 28, 19. 6. Πρβλ. Ἰω. 4, 10, 11.

τετράδα καὶ παρασκευήν. 2. μηδὲ προσεύχεσθε ὡς οἱ ὑποκριταί[1], ἀλλ' ὡς ἐκέλευσεν ὁ κύριος ἐν τῷ εὐαγγελίῳ αὐτοῦ, οὕτω προσεύχεσθε· «Πάτερ ἡμῶν ὁ ἐν τῷ οὐρανῷ, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὴν ὀφειλὴν ἡμῶν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας.[2]» 3. τρὶς τῆς ἡμέρας οὕτω προσεύχεσθε.[3]

IX. Περὶ δὲ τῆς εὐχαριστίας, οὕτως εὐχαριστήσατε· 2. πρῶτον περὶ τοῦ ποτηρίου· Εὐχαριστοῦμέν σοι, πάτερ ἡμῶν, ὑπὲρ τῆς ἁγίας ἀμπέλου Δαβὶδ τοῦ παιδός σου[4], ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου· σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. 3. περὶ δὲ τοῦ κλάσματος· Εὐχαριστοῦμέν σοι, πάτερ ἡμῶν, ὑπὲρ τῆς ζωῆς καὶ γνώσεως ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου· σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. 4. ὥσπερ ἦν τοῦτο τὸ κλάσμα διεσκορπισμένον ἐπάνω τῶν ὀρέων καὶ συναχθὲν ἐγένετο ἕν[5], οὕτω συναχθήτω σου ἡ ἐκκλησία ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν σὴν βασιλείαν· ὅτι σοῦ ἐστιν ἡ δόξα καὶ ἡ δύναμις διὰ Ἰησοῦ Χριστοῦ εἰς τοὺς αἰῶνας. 5. μηδεὶς δὲ φαγέτω μηδὲ πιέτω ἀπὸ τῆς εὐχαριστίας ὑμῶν, ἀλλ' οἱ βαπτισθέντες εἰς ὄνομα κυρίου· καὶ γὰρ περὶ τούτου εἴρηκεν ὁ κύριος· «Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί.[6]»

X. Μετὰ δὲ τὸ ἐμπλησθῆναι οὕτως εὐχαριστήσατε· 2. Εὐχαριστοῦμέν σοι, πάτερ ἅγιε[7], ὑπὲρ τοῦ ἁγίου ὀνόματός σου[8], οὗ κατεσκήνωσας ἐν ταῖς καρδίαις ἡμῶν, καὶ ὑπὲρ τῆς γνώσεως καὶ πίστεως καὶ ἀθανασίας, ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου· σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. 3. σύ, δέσποτα παντοκράτορ, ἔκτισας τὰ πάντα ἕνεκεν τοῦ ὀνόματός σου, τροφήν τε καὶ ποτὸν ἔδωκας τοῖς ἀνθρώποις εἰς ἀπόλαυσιν, ἵνα σοι εὐχαριστήσωσιν, ἡμῖν δὲ ἐχαρίσω πνευματικὴν τροφὴν καὶ ποτὸν καὶ ζωὴν αἰώνιον διὰ τοῦ παιδός σου. 4. πρὸ πάντων εὐχαριστοῦμέν σοι ὅτι δυνατὸς εἶ·[9] σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. 5. μνήσθητι, κύριε, τῆς ἐκκλησίας σου τοῦ ῥύσασθαι αὐτὴν ἀπὸ παντὸς πονηροῦ καὶ τελειῶσαι αὐτὴν ἐν τῇ ἀγάπῃ σου[10], καὶ σύναξον αὐτὴν ἀπὸ τῶν τεσσάρων ἀνέμων[11], τὴν ἁγιασθεῖσαν, εἰς τὴν σὴν βασιλείαν, ἣν ἡτοίμασας αὐτῇ· ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. 6. ἐλθέτω χάρις καὶ παρελθέτω ὁ κόσμος οὗτος· Ὡσαννὰ τῷ θεῷ Δαβίδ.[12] εἴ τις ἅγιός ἐστιν, ἐρχέσθω· εἴ τις οὐκ ἔστι, μετανοείτω· «μαρὰν ἀθά·[13]» ἀμήν. 7. τοῖς δὲ προφήταις ἐπιτρέπετε εὐχαριστεῖν ὅσα θέλουσιν.

---

1. Ματθ. 6, 5. 2. Ματθ. 6, 9-13. 3. Πρβλ. Δαν. 6, 10. 4. Ψαλμ. 17, 1. Λουκ. 1, 69. 5. Πρβλ. Ἰω. 11, 52. 6. Ματθ. 7, 6. 7. Ἰω. 17, 11. 8. Ἰω. 17, 26. 9. Πρβλ. Ἀποκ. 11, 17. 10. Πρβλ. Α' Ἰω. 2, 5. 11. Ματθ. 24, 31. 12. Ματθ. 21, 9, 15. 13. Α' Κορ. 16, 22.

XI. Ὃς ἂν οὖν ἐλθὼν διδάξῃ ὑμᾶς ταῦτα πάντα τὰ προειρημένα, δέξασθε αὐτόν· 2. ἐὰν δὲ αὐτὸς ὁ διδάσκων στραφεὶς διδάσκῃ ἄλλην διδαχὴν εἰς τὸ καταλῦσαι, μὴ αὐτοῦ ἀκούσητε[1], εἰς δὲ τὸ προσθεῖναι δικαιοσύνην καὶ γνῶσιν κυρίου, δέξασθε αὐτὸν ὡς κύριον. 3. περὶ δὲ τῶν ἀποστόλων καὶ προφητῶν κατὰ τὸ δόγμα τοῦ εὐαγγελίου, οὕτω ποιήσατε.[2] 4. πᾶς δὲ ἀπόστολος ἐρχόμενος πρὸς ὑμᾶς δεχθήτω ὡς κύριος· 5. οὐ μενεῖ δὲ εἰ μὴ ἡμέραν μίαν· ἐὰν δὲ ᾖ χρεία, καὶ τὴν ἄλλην· τρεῖς δὲ ἐὰν μείνῃ, ψευδοπροφήτης ἐστίν. 6. ἐξερχόμενος δὲ ὁ ἀπόστολος μηδὲν λαμβανέτω εἰ μὴ ἄρτον ἕως οὗ αὐλισθῇ·[3] ἐὰν δὲ ἀργύριον αἰτῇ, ψευδοπροφήτης ἐστί. 7. καὶ πάντα προφήτην λαλοῦντα ἐν πνεύματι οὐ πειράσετε οὐδὲ διακρινεῖτε· πᾶσα γὰρ ἁμαρτία ἀφεθήσεται[4], αὕτη δὲ ἡ ἁμαρτία οὐκ ἀφεθήσεται. 8. οὐ πᾶς δὲ ὁ λαλῶν ἐν πνεύματι προφήτης ἐστίν, ἀλλ' ἐὰν ἔχῃ τοὺς τρόπους κυρίου· ἀπὸ οὖν τῶν τρόπων γνωσθήσεται ὁ ψευδοπροφήτης καὶ ὁ προφήτης.[5] 9. καὶ πᾶς προφήτης ὁρίζων τράπεζαν ἐν πνεύματι, οὐ φάγεται ἀπ' αὐτῆς, εἰ δὲ μήγε, ψευδοπροφήτης ἐστί. 10. πᾶς δὲ προφήτης διδάσκων τὴν ἀλήθειαν, εἰ ἃ διδάσκει οὐ ποιεῖ, ψευδοπροφήτης ἐστί. 11. πᾶς δὲ προφήτης δεδοκιμασμένος ἀληθινός, ποιῶν εἰς μυστήριον κοσμικὸν ἐκκλησίας, μὴ διδάσκων δὲ ποιεῖν ὅσα αὐτὸς ποιεῖ, οὐ κριθήσεται ἐφ' ὑμῶν· μετὰ θεοῦ γὰρ ἔχει τὴν κρίσιν· ὡσαύτως γὰρ ἐποίησαν καὶ οἱ ἀρχαῖοι προφῆται. 12. ὃς δ' ἂν εἴπῃ ἐν πνεύματι· Δός μοι ἀργύρια ἢ ἕτερά τινα, οὐκ ἀκούσεσθε αὐτοῦ· ἐὰν δὲ περὶ ἄλλων ὑστερούντων εἴπῃ δοῦναι, μηδεὶς αὐτὸν κρινέτω.

XII. Πᾶς δὲ «ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου[6]» δεχθήτω, ἔπειτα δὲ δοκιμάσαντες αὐτὸν γνώσεσθε —σύνεσιν γὰρ ἕξετε— δεξιὰν καὶ ἀριστεράν. 2. εἰ μὲν παρόδιός ἐστιν ὁ ἐρχόμενος, βοηθεῖτε αὐτῷ ὅσον δύνασθε· οὐ μενεῖ δὲ πρὸς ὑμᾶς εἰ μὴ δύο ἢ τρεῖς ἡμέρας, ἐὰν ᾖ ἀνάγκη. 3. εἰ δὲ θέλει πρὸς ὑμᾶς καθῆσθαι, τεχνίτης ὤν, ἐργαζέσθω καὶ φαγέτω.[7] 4. εἰ δὲ οὐκ ἔχει τέχνην, κατὰ τὴν σύνεσιν ὑμῶν προνοήσατε, πῶς μὴ ἀργὸς μεθ' ὑμῶν ζήσεται χριστιανός. 5. εἰ δ' οὐ θέλει οὕτω ποιεῖν, χριστέμπορός ἐστι·[8] προσέχετε ἀπὸ τῶν τοιούτων.

XIII. Πᾶς δὲ προφήτης ἀληθινός, θέλων καθῆσθαι πρὸς ὑμᾶς, «ἄξιός ἐστι τῆς τροφῆς αὐτοῦ.[9]» 2. ὡσαύτως διδάσκαλος ἀληθινός ἐστιν ἄξιος καὶ αὐτὸς ὥσπερ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ. 3. πᾶσαν οὖν ἀπαρχὴν γεννημάτων ληνοῦ καὶ ἅλωνος, βοῶν τε καὶ προβάτων λαβὼν δώσεις τὴν ἀπαρχὴν[10] τοῖς προφήταις· αὐτοὶ γάρ εἰσιν οἱ ἀρχιερεῖς ὑμῶν. 4. ἐὰν δὲ μὴ ἔχητε προφήτην, δότε τοῖς πτωχοῖς. 5. ἐὰν σιτίαν ποιῇς, τὴν ἀπαρχὴν λαβὼν δὸς κατὰ τὴν ἐντολήν. 6. ὡσαύτως κεράμιον οἴνου ἢ ἐλαίου ἀνοίξας τὴν ἀπαρχήν, λαβὼν δὸς τοῖς προφήταις·

---

1. Β' Ἰω. 10. 2. Πρβλ. Ματθ. 10, 5-12. 3. Ματθ. 10, 9-10. 4. Πρβλ. Ματθ. 12, 31. 5. Ματθ. 7, 16. 6. Ματθ. 21, 9. 7. Πρβλ. Β' Θεσσ. 3, 10. 8. Α' Τιμ. 6, 5. 9. Ματθ. 10, 10. 10. Πρβλ. Ἔξ. 22, 29. Δευτ. 18, 3-4.

7. ἀργυρίου δὲ καὶ ἱματισμοῦ καὶ παντὸς κτήματος λαβὼν τὴν ἀπαρχήν, ὡς ἄν σοι δόξῃ, δὸς κατὰ τὴν ἐντολήν.[1]

XIV. Κατὰ κυριακὴν δὲ κυρίου συναχθέντες κλάσατε ἄρτον καὶ εὐχαριστήσατε προεξομολογησάμενοι τὰ παραπτώματα ὑμῶν, ὅπως καθαρὰ ἡ θυσία ὑμῶν ᾖ. 2. πᾶς δὲ ἔχων τὴν ἀμφιβολίαν μετὰ τοῦ ἑταίρου αὐτοῦ μὴ συνελθέτω ὑμῖν, ἕως οὗ διαλλαγῶσιν[2], ἵνα μὴ κοινωθῇ ἡ θυσία ὑμῶν. 3. αὕτη γάρ ἐστιν ἡ ῥηθεῖσα ὑπὸ κυρίου· «Ἐν παντὶ τόπῳ καὶ χρόνῳ προσφέρειν μοι θυσίαν καθαράν· ὅτι βασιλεὺς μέγας εἰμί, λέγει κύριος, καὶ τὸ ὄνομά μου θαυμαστὸν ἐν τοῖς ἔθνεσι.[3]»

XV. Χειροτονήσατε οὖν ἑαυτοῖς ἐπισκόπους καὶ διακόνους ἀξίους τοῦ κυρίου, ἄνδρας πραεῖς καὶ ἀφιλαργύρους[4] καὶ ἀληθεῖς καὶ δεδοκιμασμένους· ὑμῖν γὰρ λειτουργοῦσι καὶ αὐτοὶ τὴν λειτουργίαν τῶν προφητῶν καὶ διδασκάλων. 2. μὴ οὖν ὑπερίδητε αὐτούς· αὐτοὶ γάρ εἰσιν οἱ τετιμημένοι ὑμῶν μετὰ τῶν προφητῶν καὶ διδασκάλων. 3. Ἐλέγχετε δὲ ἀλλήλους μὴ ἐν ὀργῇ, ἀλλ' ἐν εἰρήνῃ, ὡς ἔχετε ἐν τῷ εὐαγγελίῳ·[5] καὶ παντὶ ἀστοχοῦντι κατὰ τοῦ ἑτέρου μηδεὶς λαλείτω μηδὲ παρ' ὑμῶν ἀκουέτω, ἕως οὗ μετανοήσῃ. 4. τὰς δὲ εὐχὰς ὑμῶν καὶ τὰς ἐλεημοσύνας καὶ πάσας τὰς πράξεις οὕτως ποιήσατε ὡς ἔχετε ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν.

XVI. Γρηγορεῖτε ὑπὲρ τῆς ζωῆς ὑμῶν· «οἱ λύχνοι ὑμῶν μὴ σβεσθήτωσαν, καὶ αἱ ὀσφύες ὑμῶν μὴ ἐκλυέσθωσαν, ἀλλὰ γίνεσθε ἕτοιμοι· οὐ γὰρ οἴδατε τὴν ὥραν, ἐν ᾗ ὁ κύριος ἡμῶν ἔρχεται.[6]» 2. πυκνῶς δὲ συναχθήσεσθε ζητοῦντες τὰ ἀνήκοντα ταῖς ψυχαῖς ὑμῶν· οὐ γὰρ ὠφελήσει ὑμᾶς ὁ πᾶς χρόνος τῆς πίστεως ὑμῶν, ἐὰν μὴ ἐν τῷ ἐσχάτῳ καιρῷ τελειωθῆτε. 3. ἐν γὰρ ταῖς ἐσχάταις ἡμέραις πληθυνθήσονται οἱ ψευδοπροφῆται καὶ οἱ φθορεῖς καὶ στραφήσονται τὰ πρόβατα εἰς λύκους[7] καὶ ἡ ἀγάπη στραφήσεται εἰς μῖσος·[8] 4. αὐξανούσης γὰρ τῆς ἀνομίας μισήσουσιν ἀλλήλους καὶ διώξουσι καὶ παραδώσουσι[9], καὶ τότε φανήσεται ὁ κοσμοπλανὴς[10] ὡς υἱὸς θεοῦ[11] καὶ ποιήσει σημεῖα καὶ τέρατα[12], καὶ ἡ γῆ παραδοθήσεται εἰς χεῖρας αὐτοῦ, καὶ ποιήσει ἀθέμιτα, ἃ οὐδέποτε γέγονεν ἐξ αἰῶνος. 5. τότε ἥξει ἡ κτίσις τῶν ἀνθρώπων εἰς τὴν πύρωσιν τῆς δοκιμασίας, «καὶ σκανδαλισθήσονται πολλοὶ καὶ ἀπολοῦνται· οἱ δὲ ὑπομείναντες ἐν τῇ πίστει αὐτῶν σωθήσονται[13]» ὑπ' αὐτοῦ τοῦ καταθέματος. 6. καὶ τότε φανήσεται τὰ σημεῖα τῆς ἀληθείας· πρῶτον σημεῖον ἐκπετάσεως ἐν οὐρανῷ, εἶτα σημεῖον φωνῆς σάλπιγγος[14] καὶ τὸ τρίτον ἀνάστασις νεκρῶν· 7. οὐ πάντων δέ, ἀλλ' ὡς ἐρρέθη· «Ἥξει ὁ κύριος καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ.[15]» 8. τότε ὄψεται ὁ κόσμος τὸν κύριον ἐρχόμενον ἐπάνω τῶν νεφελῶν τοῦ οὐρανοῦ.[16]

---

1. Πρβλ. Ἀριθ. 15, 20-21. 2. Ματθ. 5, 23-24. 3. Μαλ. 1, 11. 4. Πρβλ. Α' Τιμ. 3, 3, 8. 5. Ματθ. 5, 22-26. 18, 15. 6. Ματθ. 24, 42, 44. Λουκ. 12, 35. 7. Ματθ. 7, 15. 8. Ματθ. 24, 12. 9. Ματθ. 24, 8-9. 10. Πρβλ. Ἀποκ. 12, 9. 11. Β' Θεσσ. 2, 4. 12. Ματθ. 24, 24. 13. Ματθ. 24, 10, 13. 14. Ματθ. 24, 31. 15. Ζαχ. 14, 5. 16. Ματθ. 24, 30.

ΒΑΡΝΑΒΑ ΕΠΙΣΤΟΛΗ

ΒΑΡΝΑΒΑ ΕΠΙΣΤΟΛΗ

Α΄ ΕΙΣΑΓΩΓΙΚΑ*

1. **Ἡ ἐπιστολή.** Ἐπεκράτησε νὰ λέγηται ἐπιστολὴ τοῦ Βαρνάβα, ἐπιστολὴ ἀνώνυμος, τὴν ὁποίαν ὁ πρῶτος ὅστις ἀναφέρει αὐτήν, Κλήμης ὁ Ἀλεξανδρεύς[1], καὶ μετ' αὐτὸν ὁ Ὠριγένης[2] καὶ οἱ λοιποὶ ἐκκλησιαστικοὶ συγγραφεῖς ἀποδίδουσιν εἰς τὸν Βαρνάβαν, τὸν συνοδὸν τοῦ ἀποστόλου Παύλου, ὅστις καὶ αὐτὸς λέγεται ἐν τῇ Καινῇ Διαθήκῃ ἀπόστολος.[3] Ὁ συγγραφεὺς ἀπευθύνει τὴν ἐπιστολήν του πρὸς ἄγνωστον χριστιανικὴν κοινότητα, ἧς τὰ μέλη, πρὸς τὰ ὁποῖα εἶχε κηρύξει τὸ εὐαγγέλιον, καλεῖ υἱοὺς καὶ θυγατέρας, τέκνα εὐφροσύνης, τέκνα ἀγάπης, ἀδελφοὺς κ.τ.τ.

Ἡ ἐξ 21 κεφαλαίων ἐπιστολὴ ἐκτὸς τοῦ προλόγου (κ.1) καὶ ἐπιλόγου (κ.21) διαιρεῖται εἰς δύο ἄνισα τμήματα, ὧν τὸ α΄ (κ.2-17)

---

* Ἐκ τῆς «Πατρολογίας» Δημητρίου Σ. Μπαλάνου, Ἀθῆναι 1930, σελ. 40 ἑξ.

Ἐκδόσεις: Μέχρι τοῦ 1862 ἡ ἐπιστολὴ τοῦ Βαρνάβα ἦτο γνωστὴ ἐξ 8 χειρογράφων, ἀντιγράφων ἑνὸς ἀρχετύπου κώδικος, ἀφ' ὧν ἔλειπον τὰ 4 ½ πρῶτα κεφάλαια τῆς ἐπιστολῆς, ἅτινα ἦσαν γνωστὰ μόνον ἐξ ἀρχαίας λατινικῆς μεταφράσεως τοῦ γ΄ αἰῶνος, ἀφ' ἧς πάλιν ἔλειπον τὰ κεφάλαια 18-21. Τοιουτοτρόπως ἐξεδόθη τὸ πρῶτον ἐν Ὀξφόρδῃ τὸ 1642 ὑπὸ τοῦ ἀγγλικανοῦ ἀρχιεπισκόπου J. Ussher von Armagh καὶ εἶτα ἐν Migne Ἑ. Π. 2, 727-871. Πλήρης ἐγνώσθη τὸ πρῶτον ἡ ἐπιστολὴ ὑπὸ τοῦ Tischendorf ἐν τῷ περιφήμῳ σιναϊτικῷ κώδικι τοῦ τετάρτου αἰῶνος, τὸ 1859 καὶ ἐξεδόθη τὸ 1862 ἐν Πετρουπόλει· ὀλίγον δὲ βραδύτερον ἐν τῷ ἱεροσολυμιτικῷ κώδικι τοῦ 1056 ὁ Φιλόθεος Βρυέννιος εὗρε καὶ τὴν ἐπιστολὴν τοῦ Βαρνάβα, μεθ' ἱκανῶν παραλλαγῶν ἀπὸ τοῦ σιναϊτικοῦ κώδικος (ἐξεδόθη ὑπὸ Hilgenfeld ἐν Λειψίᾳ τὸ 1877). Τὰς διαφόρους κατόπιν ἐκδόσεις ἐν τῇ συλλογῇ τῶν ἀποστολικῶν πατέρων. Μονογραφίας περὶ τῆς ἐκδόσεως ἔγραψαν πολλοί, ἐν οἷς ὁ C. Hefele, Das Sendschreiben des Ap. Barnabas, Tübingen 1840. Fr. X. Funk, ἐν Kirchengesch. Abhaudlungen u. Untersuchungen τόμ. 2, Paderborn 1899, σ. 77-108. I. Weiss, Der Barnabasbrief, Berlin 1888. Ph. Häuser, Der Barnabasbrief, Paderborn 1912. Ὁ J. Armitage Robinson, (Barnabas, Hermas and the Didache, Dublin 1920) φρονεῖ ἀστηρίκτως ὅτι ἡ Διδαχὴ ἐδανείσθη τὰς δύο ὁδοὺς παρὰ τοῦ Βαρνάβα, ὅστις εἶναι ὁ ἀπόστολος. Ἐν Ἐκκλ. Ἀληθείᾳ 1883 σ. 609-611 ὁ Φιλόθεος Βρυέννιος ἀναφέρει περὶ χειρογράφου ἐν Ἄνδρῳ τῆς ἐπιστολῆς τοῦ Βαρνάβα καὶ τοῦ Πολυκάρπου.

1. Στρωμ. 2, 6 καὶ 20. Κατ' Εὐσέβιον (Ἐ. Ἰ. 6, 14) ὁ Κλήμης ἡρμήνευσε καὶ τὴν Διδαχὴν εἰς τὰς ἀπολεσθείσας ὑποτυπώσεις του.

2. Ὁ Ὠριγένης καλεῖ ταύτην ἐπιστολὴν καθολικὴν (κ. Κέλ. 1, 63).

3. Πρ. Ἀπ. 14, 14.

πραγματεύεται περὶ τῆς σημασίας τῆς Παλαιᾶς Διαθήκης, τὸ δὲ β' (κ. 18-20) περὶ τῶν δύο ὁδῶν. Ἐν τῷ πρώτῳ τμήματι ὁ συγγραφεὺς ἀναπτύσσει, καθ' ὅλως ἰδιότυπον τρόπον, τὴν περὶ τῆς σημασίας τῆς Π. Δ. ἀντίληψίν του. Ὁ ὑπὸ τοῦ Θεοῦ δοθεὶς τοῖς Ἰουδαίοις τελετουργικὸς νόμος εἶχε, κατ' αὐτόν, ἁπλῶς ἀλληγορικὴν σημασίαν· ἡ ἀπαγόρευσις λ. χ. τῆς βρώσεως τοῦ χοιρείου κρέατος δὲν πρέπει νὰ νοηθῇ κατὰ λέξιν, ἀλλ' ὡς σύστασις ἀποφυγῆς τῆς συναναστροφῆς μετ' ἀνθρώπων «οἵτινές εἰσιν ὅμοιοι χοίρων» (κ.2)· καὶ περὶ νηστειῶν καὶ θυσιῶν ὅταν γίνηται λόγος δὲν πρέπει νὰ νοῆται περὶ ὑλικῶν τοιούτων, καθόσον ὁ Θεὸς «οὔτε θυσιῶν οὔτε ὁλοκαυτωμάτων οὔτε προσφορῶν χρῄζει», ἀλλὰ περὶ ἀποχῆς ἀπὸ κακῶν διανοημάτων, λόγων καὶ ἔργων (κ.2 καὶ 3). Ὅταν δὲ γίνηται λόγος περὶ περιτομῆς, δὲν πρέπει νὰ νοῆται ἡ περιτομὴ τῆς σαρκός, ἀλλ' ἡ περιτομὴ τῶν ὤτων καὶ τῆς καρδίας, ἤτοι ἡ ἀποφυγὴ πάσης κακῆς ἀναστροφῆς, διανοήσεως καὶ πράξεως· καὶ ἂς μὴ προβληθῶσιν ὡς ἐπιχείρημα ὑπὲρ τῆς ἀρχαιότητος τῆς περιτομῆς τὰ ἐν τῇ Γενέσει (14, 14 καὶ 17, 27) ἱστορούμενα περὶ περιτομῆς τῶν 318 οἰκογενῶν, ἤτοι δούλων τοῦ Ἀβραάμ· τοῦτο δέον νὰ νοηθῇ μόνον ἀλληγορικῶς, διότι ὁ ἀριθμὸς 318 εἶναι ἁπλῶς σύμβολον τοῦ σταυρικοῦ θανάτου τοῦ Σωτῆρος, καθόσον ὁ μὲν ἀριθμὸς 300 ἀποδίδεται ἑλληνιστὶ διὰ τοῦ γράμματος Τ, ὅπερ εἰκονίζει τὸν σταυρόν, ὁ δὲ ἀριθμὸς 18 ἀποδίδεται ἑλληνιστὶ διὰ τῶν γραμμάτων ΙΗ, ἀρχικῶν τοῦ ὀνόματος τοῦ Ἰησοῦ (κ. 9)! Καὶ ὁ μὲν Μωϋσῆς ὡς ἀλληγορίαν παρέλαβε παρὰ τοῦ Θεοῦ τὸν νόμον καὶ ὡς τοιαύτην ἔδωκεν αὐτὸν τοῖς Ἰουδαίοις, αὐτοὶ ὅμως «οὐκ ἐγένοντο ἄξιοι» (κ. 14) καὶ «παρέβησαν, ὅτι ἄγγελος πονηρὸς ἐσόφιζεν αὐτούς» (κ. 9) καὶ ἔκτοτε ἤρχισαν τὴν κατὰ γράμμα ἐφαρμογὴν τοῦ νόμου, παραμελήσαντες τὴν πνευματικὴν τήρησιν αὐτοῦ. Πόσον ἡ περὶ Π. Δ. ἀντίληψις τοῦ συγγραφέως τῆς ἐπιστολῆς ταύτης εἶναι οὐσιωδῶς διάφορος τῆς τῶν ἀποστόλων καὶ αὐτοῦ τοῦ Παύλου εἶναι περιττὸν νὰ εἴπωμεν· κατὰ τὴν ἀποστολικὴν ἀντίληψιν ὁ τελετουργικὸς νόμος ἐδόθη εἰς τοὺς Ἑβραίους ὑπὸ τοῦ Θεοῦ καὶ ἡ τήρησίς του διὰ τὸν προχριστιανικὸν κόσμον εἶχε μεγάλην σημασίαν, καθόσον ἐχρησίμευσεν ὡς παιδαγωγὸς εἰς Χριστόν, ἐνῷ κατὰ τὴν ἀντίληψιν τοῦ συγγραφέως τῆς ἐπιστολῆς ὁ τελετουργικὸς νόμος εἶχεν ἁπλῶς ἀλληγορικὴν σημασίαν καὶ ἡ κατὰ γράμμα ἐφαρμογή του ἦτο προϊὸν διαβολικῆς ἐνεργείας (κ. 9) καὶ παράβασις τοῦ θείου θελήματος.

Ἐν τῷ δευτέρῳ τμήματι τῆς ἐπιστολῆς (κ. 18-20) περιέχεται ἡ διδασκαλία περὶ τῶν δύο ὁδῶν, τοῦ φωτὸς καὶ τοῦ σκότους, ὁμοιάζουσα πολύ, πολλαχοῦ καὶ κατὰ λέξιν πρὸς τὴν ἐν τῇ Διδαχῇ σχετικὴν περικοπήν.

Διὰ τῆς ἐπιστολῆς ταύτης ὁ συγγραφεὺς ζητεῖ α') νὰ πείσῃ τοὺς ἰουδαΐζοντας Χριστιανοὺς νὰ παύσωσι τὴν προσκόλλησιν εἰς τὸ γράμμα τῆς Π. Δ., ἥτις δὲν εἶναι παιδαγωγὸς εἰς Χριστὸν ἀλλ' ἁπλῶς

τύπος, σκιὰ καὶ ἀλληγορία τοῦ Χριστιανισμοῦ· καὶ β') νὰ διδάξῃ αὐτοὺς τὴν ὁδὸν τῆς ἀρετῆς καὶ τὴν ἀποφυγὴν τῆς ὁδοῦ τῆς κακίας.

2. Συγγραφεύς. Ὁ ἀπόστολος Βαρνάβας δὲν δύναται νὰ εἶναι ὁ συγγραφεὺς τῆς ἐπιστολῆς, ὡς ἐνόμισεν ὁ Κλήμης, ὁ Ὠριγένης καὶ οἱ μετ' αὐτούς· τοῦτο ἀπέδειξεν ἡ νεωτέρα κριτική, στηριζομένη ἐπὶ διαφόρων συλλογισμῶν, ὧν κυριώτεροι εἶναι οἱ ἑξῆς: α') ἂν ἡ ἐπιστολὴ ἦτο ἔργον τοῦ ἀποστόλου Βαρνάβα, θὰ ἀπετέλει μέρος τοῦ κανόνος τῆς Κ. Δ. καὶ δὲν θὰ κατετάσσετο εἰς τὰ νόθα.[1] β') ἡ περὶ Π. Δ. ἰδιότυπος διδασκαλία τῆς ἐπιστολῆς, ξένη πρὸς τὴν ἀντίληψιν τῶν ἀποστόλων καὶ τοῦ Παύλου, δὲν εἶναι δυνατὸν νὰ εἶναι ἡ ἀντίληψις τοῦ ἀποστόλου Βαρνάβα. γ') Δυσκόλως ὁ Βαρνάβας, ὢν ἀπόστολος, θὰ ἠδύνατο νὰ εἴπῃ ὅτι ὁ Σωτὴρ ἐξέλεξε «τοὺς ἰδίους ἀποστόλους ὄντας ὑπὲρ πᾶσαν ἁμαρτίαν ἀνομωτέρους» (5, 9). δ') ὁ Λευΐτης Βαρνάβας δὲν ἠδύνατο νὰ διατελῇ ἐν ἀγνοίᾳ τῶν ἰουδαϊκῶν ἐθίμων, ὁποίαν δεικνύει ὁ συγγραφεὺς τῆς ἐπιστολῆς. Ἡ γνώμη καθ' ἣν ἐν τῇ ἐπιστολῇ τοῦ Βαρνάβα διαφαίνονται δύο διάφοροι συγγραφεῖς, ἀφ' ἑνὸς ὁ περιφρονῶν τὴν Π. Δ. καὶ ἀφ' ἑτέρου ὁ ἀναφέρων τὰς προφητείας τῆς Π. Δ. ἐπὶ τὸν Χριστόν, ὡς καὶ ἡ γνώμη καθ' ἣν ἡ ἐπιστολὴ ἐν τῇ παρούσῃ της μορφῇ εἶναι ἐπεξεργασία ἀρχικοῦ τύπου εἶναι ὅλως ὑποκειμενικαὶ καὶ ἀπίθανοι. Ἡ παρατηρουμένη ἀληθῶς ἔλλειψις συνοχῆς καὶ λογικῆς ἀλληλουχίας ἐν πολλοῖς προέρχεται ἐξ ἀναμφιλέκτου ἐλλείψεως συγγραφικῆς ἱκανότητος καὶ λογοτεχνικοῦ ταλάντου.

3. Χρόνος συγγραφῆς. Ἐκ τοῦ ὅτι τὸ ἔργον γνωρίζει ἤδη Κλήμης ὁ Ἀλεξανδρεύς, δυνάμεθα ἀσφαλῶς νὰ συναγάγωμεν ὅτι ἐγράφη πάντως πρὸ τοῦ 160. Ἐκ τοῦ χωρίου 16, 3-4[2] εἴκασάν τινες ὅτι πρόκειται περὶ τοῦ χρόνου τῆς ἐπὶ Ἀδριανοῦ ἀνοικοδομήσεως τοῦ ναοῦ (130-131). Ὅλως δὲ ματαία εἶναι ἡ ἀπόπειρα τοῦ χρονικοῦ καθορισμοῦ ἐκ τοῦ χωρίου 4, 3 κ. ἑ.[3] καὶ θὰ ἦτο λίαν

---

1. Εὐσεβίου Ἐ. Ἱ. 3, 25. 6, 13 κ. ἑ.

2. «Ἰδοὺ οἱ καθελόντες τὸν ναὸν τοῦτον, αὐτοὶ αὐτὸν οἰκοδομήσουσιν· γίνεται. διὰ γὰρ τὸ πολεμεῖν αὐτοὺς καθῃρέθη ὑπὸ τῶν ἐχθρῶν· νῦν καὶ αὐτοὶ καὶ οἱ τῶν ἐχθρῶν ὑπηρέται ἀνοικοδομήσουσιν αὐτόν».

3. Ἐν τῷ χωρίῳ τούτῳ ὁ συγγραφεὺς φρονεῖ ὅτι ἤγγικε τὸ τέλος τοῦ κόσμου, διότι ἐπληρώθη ἡ προφητεία τοῦ Δανιὴλ (7,24), καθ' ἣν «βασιλεῖαι δέκα ἐπὶ τῆς γῆς βασιλεύσουσι καὶ ἐξαναστήσεται ὄπισθεν αὐτῶν μικρὸς βασιλεύς, ὃς ταπεινώσει τρεῖς ὑφ' ἓν τῶν βασιλέων.» Ὁ Hilgenfeld, ὁ Funk καὶ ἄλλοι ἀποδέχονται ὅτι ἐνταῦθα ὡς ἑνδέκατος βασιλεὺς νοητέος ὁ Νέρβας (96-98), ὅστις ἐκθρονίσας τὸν Δομιτιανὸν παρίσταται ἐκθρονίσας ὁλόκληρον τὴν δυναστείαν του εἰς ἣν ἀνῆκον οἱ τρεῖς τελευταῖοι αὐτοκράτορες (Οὐεσπεσιανός, Τίτος, Δομιτιανός) καὶ οὕτως «ἐταπείνωσεν ὑφ' ἓν τρία τῶν μεγάλων κεράτων» (4, 5). Καὶ εἶναι μὲν ἀληθὲς ὅτι ὁ Νέρβας εἶναι ὁ 12ος κατὰ σειρὰν ἡγεμών, ἀλλὰ κατὰ τὴν γνώμην ταύτην ὁ συγγραφεὺς παραλείπει τινὰ τῶν πρὸ τοῦ Οὐεσπεσιανοῦ ἀρξάντων, τὸν Γάλβαν ἢ τὸν Ὄθωνα ἢ τὸν Βι-

τολμηρὸν ἐκ σκοτεινῶν προφητικῶν καὶ ἀποκαλυπτικῶν χωρίων νὰ ἐπιζητῆται ἡ ἐξαγωγὴ συμπερασμάτων περὶ χρονικοῦ καθορισμοῦ. Ὀρθῶς ὁ Harnack φρονεῖ ὅτι ὁ χρόνος τῆς συγγραφῆς τῆς ἐπιστολῆς δέον νὰ τεθῇ μεταξὺ τοῦ 80 καὶ 130· οὐχὶ πρὸ τοῦ 80, διότι ὁ συγγραφεὺς δὲν φαίνεται ἐλθὼν εἰς οἱανδήποτε προσωπικὴν σχέσιν πρὸς τοὺς ἀποστόλους (5, 9)· οὐχὶ μετὰ τὸ 130, διότι ὁ συγγραφεὺς ἀγνοεῖ τὸν Μαρκίωνα καὶ τὰ μεγάλα γνωστικὰ συστήματα, ὡς καὶ τοὺς ἐκ τοῦ Γνωστικισμοῦ κινδύνους, οὓς δὲν θὰ ἠγνόει ἐὰν ἔγραφε μετὰ τὸ 130.

4. Τόπος συγγραφῆς. Ἐκ τῆς διαδόσεως τῆς ἐπιστολῆς ἐν Αἰγύπτῳ, ἔνθα αὕτη πολὺ ἐτιμᾶτο, καὶ ἐκ τῆς ἐν αὐτῇ κρατούσης ἀλληγορικῆς ἑρμηνείας, ἧς μεγάλη χρῆσις ἐγίνετο ἐν Αἰγύπτῳ, δύναταί τις νὰ συμπεράνῃ ὅτι ἡ ἐπιστολὴ ἐγράφη ἐν Ἀλεξανδρείᾳ.

τάλιον, οἵτινες καὶ ὀλίγον χρόνον ἦρξαν καὶ δὲν ἀνεγνωρίσθησαν εἰς ὁλόκληρον τὸ Κράτος. Κατ' ἄλλας ἑρμηνείας τοῦ χωρίου δὲν πρόκειται περὶ τοῦ αὐτοκράτορος Νέρβα, ἀλλὰ περὶ τοῦ Οὐεσπεσιανοῦ ἢ Δομιτιανοῦ ἢ Ἀδριανοῦ.

Β' ΚΕΙΜΕΝΟΝ*

I. Χαίρετε, υἱοὶ καὶ θυγατέρες, ἐν ὀνόματι κυρίου τοῦ ἀγαπήσαντος ἡμᾶς, ἐν εἰρήνῃ.

2. Μεγάλων μὲν ὄντων καὶ πλουσίων τῶν τοῦ θεοῦ δικαιωμάτων εἰς ὑμᾶς, ὑπέρ τι καὶ καθ' ὑπερβολὴν ὑπερευφραίνομαι ἐπὶ τοῖς μακαρίοις καὶ ἐνδόξοις ὑμῶν πνεύμασιν· οὕ τὸ ἔμφυτον, τῆς δωρεᾶς πνευματικῆς χάριν εἰλήφατε. 3. διὸ καὶ μᾶλλον συγχαίρω ἐμαυτῷ ἐλπίζων σωθῆναι, ὅτι ἀληθῶς βλέπω ἐν ὑμῖν ἐκκεχυμένον ἀπὸ τοῦ πλουσίου τῆς ἀγάπης κυρίου πνεῦμα ἐφ' ὑμᾶς. οὕτω με ἐξέπληξεν ἐπὶ ὑμῶν ἡ ἐπιποθήτη ὄψις ὑμῶν. 4. πεπεισμένος οὖν τοῦτο καὶ συνειδὼς ἐμαυτῷ, ὅτι ἐν ὑμῖν λαλήσας πολλὰ ἐπίσταμαι ὅτι ἐμοὶ συνώδευσεν ἐν ὁδῷ δικαιοσύνης κύριος, καὶ πάντως ἀναγκάζομαι κἀγὼ εἰς τοῦτο, ἀγαπᾶν ὑμᾶς ὑπὲρ τὴν ψυχήν μου· ὅτι μεγάλη πίστις καὶ ἀγάπη ἐγκατοικεῖ ἐν ὑμῖν ἐλπίδι ζωῆς αὐτοῦ. 5. λογισάμενος οὖν τοῦτο, ὅτι ἐὰν μελήσῃ μοι περὶ ὑμῶν τοῦ μέρος τι μεταδοῦναι ἀφ' οὗ ἔλαβον, ὅτι ἔσται μοι τοιούτοις πνεύμασιν ὑπηρετήσαντι εἰς μισθόν, ἐσπούδασα κατὰ μικρὸν ὑμῖν πέμπειν, ἵνα μετὰ τῆς πίστεως ὑμῶν τελείαν ἔχητε τὴν γνῶσιν. 6. τρία οὖν δόγματά ἐστιν κυρίου· ζωῆς ἐλπίς, ἀρχὴ καὶ τέλος πίστεως ἡμῶν· καὶ δικαιοσύνη, κρίσεως ἀρχὴ καὶ τέλος· ἀγάπη εὐφροσύνης καὶ ἀγαλλιάσεως, ἔργων δικαιοσύνης μαρτυρία. 7. ἐγνώρισεν γὰρ ἡμῖν ὁ δεσπότης διὰ τῶν προφητῶν τὰ παρεληλυθότα καὶ τὰ ἐνεστῶτα, καὶ τῶν μελλόντων δοὺς ἀπαρχὰς ἡμῖν γεύσεως. ὧν τὰ καθ' ἕκαστα βλέποντες ἐνεργούμενα, καθὼς ἐλάλησεν, ὀφείλομεν πλουσιώτερον καὶ ὑψηλότερον προσάγειν τῷ φόβῳ αὐτοῦ. 8. ἐγὼ δὲ οὐχ ὡς διδάσκαλος ἀλλ' ὡς εἷς ἐξ ὑμῶν ὑποδείξω ὀλίγα, δι' ὧν ἐν τοῖς παροῦσιν εὐφρανθήσεσθε.

II. Ἡμερῶν οὖν οὐσῶν πονηρῶν καὶ αὐτοῦ τοῦ ἐνεργοῦντος ἔχοντος τὴν ἐξουσίαν, ὀφείλομεν ἑαυτοῖς προσέχοντες ἐκζητεῖν τὰ δικαιώματα κυρίου. 2. τῆς οὖν πίστεως ἡμῶν εἰσὶν βοηθοὶ φόβος καὶ ὑπομονή, τὰ δὲ συνμαχοῦντα ἡμῖν μακροθυμία καὶ ἐγκράτεια· 3. τούτων μενόντων τὰ πρὸς κύριον ἁγνῶς, συνευφραίνονται αὐτοῖς σοφία, σύνεσις, ἐπιστήμη, γνῶσις. 4. πεφανέρωκεν γὰρ ἡμῖν διὰ πάντων τῶν προφητῶν ὅτι οὔτε θυσιῶν οὔτε ὁλοκαυτωμάτων οὔτε προσφορῶν χρῄζει, λέγων ὁτὲ μέν· 5. «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει κύριος. πλήρης εἰμὶ ὁλοκαυτωμάτων, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι. τίς γὰρ ἐξεζήτησεν ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν μου τὴν αὐλὴν οὐ προσθήσεσθε· ὁτὲ δέ· Ἐὰν φέρητε σεμίδαλιν, μάταιον·

---

* Ἰδὲ ὑποσημείωσιν ἐν σελ. 215.

θυμίαμα, βδέλυγμά μοί ἐστιν· τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα οὐκ ἀνέχομαι.[1]» 6. ταῦτα οὖν κατήργησεν, ἵνα ὁ καινὸς νόμος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἄνευ ζυγοῦ ἀνάγκης ὤν, μὴ ἀνθρωποποίητον ἔχῃ τὴν προσφοράν. 7. λέγει δὲ πάλιν πρὸς αὐτούς· «Μὴ ἐγὼ ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν ἐκπορευομένοις ἐκ γῆς Αἰγύπτου, προσενέγκαι μοι ὁλοκαυτώματα καὶ θυσίας; 8. ἀλλ' ἢ τοῦτο ἐνετειλάμην αὐτοῖς· Ἕκαστος ὑμῶν κατὰ τοῦ πλησίον ἐν τῇ καρδίᾳ αὐτοῦ κακίαν μὴ μνησικακείτω, καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε.[2]» 9. αἰσθάνεσθαι οὖν ὀφείλομεν, μὴ ὄντες ἀσύνετοι, τὴν γνώμην τῆς ἀγαθωσύνης τοῦ πατρὸς ἡμῶν· ὅτι ἡμῖν λέγει, θέλων ἡμᾶς μὴ ὁμοίως πλανωμένους ἐκείνοις ζητεῖν πῶς προσάγωμεν αὐτῷ. 10. ἡμῖν οὖν οὕτως λέγει· «Θυσία τῷ θεῷ καρδία συντετριμμένη[3]», ὀσμὴ εὐωδίας τῷ κυρίῳ καρδία δοξάζουσα τὸν πεπλακότα αὐτήν. ἀκριβεύεσθαι οὖν ὀφείλομεν, ἀδελφοί, περὶ τῆς σωτηρίας ἡμῶν, ἵνα μὴ ὁ πονηρὸς παρείσδυσιν πλάνης ποιήσας ἐν ἡμῖν ἐκσφενδονήσῃ ἡμᾶς ἀπὸ τῆς ζωῆς ὑμῶν.

III. Λέγει οὖν πάλιν περὶ τούτων πρὸς αὐτούς· «Ἱνατί μοι νηστεύετε, λέγει κύριος, ὡς σήμερον ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν; οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην, λέγει κύριος, οὐκ ἄνθρωπον ταπεινοῦντα τὴν ψυχὴν αὐτοῦ, 2. οὐδ' ἂν κάμψητε ὡς κρίκον τὸν τράχηλον ὑμῶν, καὶ σάκκον ἐνδύσησθε καὶ σποδὸν ὑποστρώσητε, οὐδ' οὕτως καλέσετε νηστείαν δεκτήν.[4]» 3. πρὸς ἡμᾶς δὲ λέγει· «Ἰδοὺ αὕτη ἡ νηστεία ἣν ἐγὼ ἐξελεξάμην, λέγει κύριος· οὐκ ἄνθρωπον ταπεινοῦντα τὴν ψυχὴν αὐτοῦ, ἀλλά· λῦε πᾶν σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν ἄδικον συγγραφὴν διάσπα. διάθρυπτε πεινῶσιν τὸν ἄρτον σου, καὶ γυμνὸν ἐὰν ἴδῃς, περίβαλε· ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου, καὶ ἐὰν ἴδῃς ταπεινόν, οὐχ ὑπερόψῃ αὐτόν, οὐδὲ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου. 4. τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἱμάτιά σου ταχέως ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη, καὶ ἡ δόξα τοῦ θεοῦ περιστελεῖ σε· 5. τότε βοήσεις, καὶ ὁ θεὸς ἐπακούσεταί σου, ἔτι λαλοῦντός σου ἐρεῖ· Ἰδοὺ πάρειμι· ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον καὶ χειροτονίαν καὶ ῥῆμα γογγυσμοῦ, καὶ δῷς πεινῶντι τὸν ἄρτον σου ἐκ ψυχῆς σου, καὶ ψυχὴν τεταπεινωμένην ἐλεήσῃς.[5]» 6. εἰς τοῦτο οὖν, ἀδελφοί, ὁ μακρόθυμος προβλέψας, ὡς ἐν ἀκεραιοσύνῃ πιστεύσει ὁ λαὸς ὃν ἡτοίμασεν ἐν τῷ ἠγαπημένῳ αὐτοῦ, προεφανέρωσεν ἡμῖν περὶ πάντων, ἵνα μὴ προσρησσώμεθα ὡς ἐπήλυτοι τῷ ἐκείνων νόμῳ.

IV. Δεῖ οὖν ἡμᾶς περὶ τῶν ἐνεστώτων ἐπιπολὺ ἐρευνῶντας ἐκζητεῖν τὰ δυνάμενα ἡμᾶς σώζειν. φύγωμεν οὖν τελείως ἀπὸ πάντων τῶν ἔργων τῆς ἀνομίας, μήποτε καταλάβῃ ἡμᾶς τὰ ἔργα τῆς ἀνο-

1. Ἠσ. 1, 11-13. 2. Ἰερ. 7, 22-23. Ζαχ. 8, 17. 3. Ψαλμ. 50, 19. 4. Ἠσ. 58, 4-5. 5. Ἠσ. 58, 6-10.

μίας· καὶ μισήσωμεν τὴν πλάνην τοῦ νῦν καιροῦ, ἵνα εἰς τὸν μέλλοντα ἀγαπηθῶμεν. 2. μὴ δῶμεν τῇ ἑαυτῶν ψυχῇ ἄνεσιν, ὥστε ἔχειν αὐτὴν ἐξουσίαν μετὰ ἁμαρτωλῶν καὶ πονηρῶν συντρέχειν, μήποτε ὁμοιωθῶμεν αὐτοῖς. 3. τὸ τέλειον σκάνδαλον ἤγγικεν, περὶ οὗ γέγραπται, ὡς Ἐνὼχ λέγει.[1] εἰς τοῦτο γὰρ ὁ δεσπότης συντέτμηκεν τοὺς καιροὺς καὶ τὰς ἡμέρας, ἵνα ταχύνῃ ὁ ἠγαπημένος αὐτοῦ καὶ ἐπὶ τὴν κληρονομίαν ἥξῃ. 4. λέγει δὲ οὕτως καὶ ὁ προφήτης· «Βασιλεῖαι δέκα ἐπὶ τῆς γῆς βασιλεύσουσιν, καὶ ἐξαναστήσεται ὄπισθεν αὐτῶν μικρὸς βασιλεύς, ὃς ταπεινώσει τρεῖς ὑφ' ἓν τῶν βασιλέων. 5.[2]» ὁμοίως περὶ τοῦ αὐτοῦ λέγει Δανιήλ· «Καὶ εἶδον τὸ τέταρτον θηρίον πονηρὸν καὶ ἰσχυρὸν καὶ χαλεπώτερον παρὰ πάντα τὰ θηρία τῆς γῆς, καὶ ὡς ἐξ αὐτοῦ ἀνέτειλεν δέκα κέρατα, καὶ ἐξ αὐτῶν μικρὸν κέρας παραφυάδιον, καὶ ὡς ἐταπείνωσεν ὑφ' ἓν τρία τῶν μεγάλων κεράτων.[3]» 6. συνιέναι οὖν ὀφείλετε. ἔτι δὲ καὶ τοῦτο ἐρωτῶ ὑμᾶς ὡς εἷς ἐξ ὑμῶν ὤν, ἰδίως δὲ καὶ πάντας ἀγαπῶν ὑπὲρ τὴν ψυχήν μου, προσέχειν νῦν ἑαυτοῖς καὶ μὴ ὁμοιοῦσθαί τισιν, ἐπισωρεύοντας ταῖς ἁμαρτίαις ὑμῶν, λέγοντας ὅτι ἡ διαθήκη ἐκείνων καὶ ἡμῶν. ἡμῶν μέν· ἀλλ' ἐκεῖνοι οὕτως εἰς τέλος ἀπώλεσαν αὐτήν, λαβόντος ἤδη τοῦ Μωϋσέως. 7. λέγει γὰρ ἡ γραφή· «Καὶ ἦν Μωϋσῆς ἐν τῷ ὄρει νηστεύων ἡμέρας τεσσεράκοντα καὶ νύκτας τεσσεράκοντα, καὶ ἔλαβεν τὴν διαθήκην ἀπὸ τοῦ κυρίου, πλάκας λιθίνας γεγραμμένας τῷ δακτύλῳ τῆς χειρὸς τοῦ κυρίου.[4]» 8. ἀλλὰ ἐπιστραφέντες ἐπὶ τὰ εἴδωλα ἀπώλεσαν αὐτήν. λέγει γὰρ οὕτως κύριος· «Μωϋσῆ Μωϋσῆ, κατάβηθι τὸ τάχος, ὅτι ἠνόμησεν ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου.[5]» καὶ συνῆκεν Μωϋσῆς καὶ ἔριψεν τὰς δύο πλάκας ἐκ τῶν χειρῶν αὐτοῦ· καὶ συνετρίβη αὐτῶν ἡ διαθήκη, ἵνα ἡ τοῦ ἠγαπημένου Ἰησοῦ ἐνκατασφραγισθῇ εἰς τὴν καρδίαν ἡμῶν ἐν ἐλπίδι τῆς πίστεως αὐτοῦ. 9. πολλὰ δὲ θέλων γράφειν, οὐχ ὡς διδάσκαλος ἀλλ' ὡς πρέπει ἀγαπῶντι, ἀφ' ὧν ἔχομεν μὴ ἐλλείπειν, γράφειν ἐσπούδασα, περίψημα ὑμῶν. διὸ προσέχωμεν ἐν ταῖς ἐσχάταις ἡμέραις. οὐδὲν γὰρ ὠφελήσει ἡμᾶς ὁ πᾶς χρόνος τῆς πίστεως ἡμῶν, ἐὰν μὴ νῦν ἐν τῷ ἀνόμῳ καιρῷ καὶ τοῖς μέλλουσιν σκανδάλοις, ὡς πρέπει υἱοῖς θεοῦ, ἀντιστῶμεν, ἵνα μὴ σχῇ παρείσδυσιν ὁ μέλας. 10. φύγωμεν ἀπὸ πάσης ματαιότητος, μισήσωμεν τελείως τὰ ἔργα τῆς πονηρᾶς ὁδοῦ. μὴ καθ' ἑαυτοὺς ἐνδύνοντες μονάζετε ὡς ἤδη δεδικαιωμένοι, ἀλλ' ἐπὶ τὸ αὐτὸ συνερχόμενοι συνζητεῖτε περὶ τοῦ κοινῇ συμφέροντος. 11. λέγει γὰρ ἡ γραφή· «Οὐαὶ οἱ συνετοὶ ἑαυτοῖς καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες.[6]» γενώμεθα πνευματικοί, γενώμεθα ναὸς τέλειος τῷ θεῷ. ἐφ' ὅσον ἐστὶν ἐν ἡμῖν, μελετῶμεν τὸν φόβον τοῦ θεοῦ καὶ φυλάσσειν ἀγωνιζώμεθα τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἐν τοῖς δικαιώμασιν αὐτοῦ εὐφρανθῶμεν. 12. ὁ

1. Πρβλ. Ἐνὼχ 89, 61-64. 2. Δαν. 7, 24. 3. Δαν. 7, 7-8. 4. Ἔξ. 34, 28. 31, 18. 5. Ἔξ. 32, 7. 6. Ἠσ. 5, 21.

κύριος ἀπροσωπολήμπτως κρινεῖ τὸν κόσμον. ἕκαστος καθὼς ἐποίησεν κομιεῖται. ἐὰν ᾖ ἀγαθός, ἡ δικαιοσύνη αὐτοῦ προηγήσεται αὐτοῦ· ἐὰν ᾖ πονηρός, ὁ μισθὸς τῆς πονηρίας ἔμπροσθεν αὐτοῦ· 13. ἵνα μήποτε ἐπαναπαυόμενοι ὡς κλητοὶ ἐπικαθυπνώσωμεν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ὁ πονηρὸς ἄρχων λαβὼν τὴν καθ' ἡμῶν ἐξουσίαν ἀπώσηται ἡμᾶς ἀπὸ τῆς βασιλείας τοῦ κυρίου. 14. ἔτι δὲ κἀκεῖνο, ἀδελφοί μου, νοεῖτε· ὅταν βλέπετε μετὰ τηλικαῦτα σημεῖα καὶ τέρατα τὰ γεγονότα ἐν τῷ Ἰσραήλ, καὶ οὕτως ἐνκαταλελεῖφθαι αὐτούς· προσέχωμεν μήποτε, ὡς γέγραπται, «πολλοὶ κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί[1]» εὑρεθῶμεν.

V. Εἰς τοῦτο γὰρ ὑπέμεινεν ὁ κύριος παραδοῦναι τὴν σάρκα εἰς καταφθοράν, ἵνα τῇ ἀφέσει τῶν ἁμαρτιῶν ἁγνισθῶμεν, ὅ ἐστιν ἐν τῷ αἵματι τοῦ ῥαντίσματος αὐτοῦ. 2. γέγραπται γὰρ περὶ αὐτοῦ ἃ μὲν πρὸς τὸν Ἰσραήλ, ἃ δὲ πρὸς ἡμᾶς. λέγει δὲ οὕτως· «Ἐτραυματίσθη διὰ τὰς ἀνομίας ἡμῶν καὶ μεμαλάκισται διὰ τὰς ἁμαρτίας ἡμῶν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἄφωνος ἐναντίον τοῦ κείραντος αὐτόν.[2]» 3. οὐκοῦν ὑπερευχαριστεῖν ὀφείλομεν τῷ κυρίῳ, ὅτι καὶ τὰ παρεληλυθότα ἡμῖν ἐγνώρισεν, καὶ ἐν τοῖς ἐνεστῶσιν ἡμᾶς ἐσόφισεν, καὶ εἰς τὰ μέλλοντα οὐκ ἐσμὲν ἀσύνετοι. 4. λέγει δὲ ἡ γραφή· «Οὐκ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς.[3]» τοῦτο λέγει ὅτι δικαίως ἀπολεῖται ἄνθρωπος, ὃς ἔχων ὁδοῦ δικαιοσύνης γνῶσιν, ἑαυτὸν εἰς ὁδὸν σκότους ἀποσυνέχει. 5. ἔτι δὲ καὶ τοῦτο, ἀδελφοί μου· εἰ ὁ κύριος ὑπέμεινεν παθεῖν περὶ τῆς ψυχῆς ἡμῶν, ὢν παντὸς τοῦ κόσμου κύριος, ᾧ εἶπεν ὁ θεὸς ἀπὸ καταβολῆς κόσμου· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν·[4]» πῶς οὖν ὑπέμεινεν ὑπὸ χειρὸς ἀνθρώπων παθεῖν; μάθετε. 6. οἱ προφῆται, ἀπ' αὐτοῦ ἔχοντες τὴν χάριν, εἰς αὐτὸν ἐπροφήτευσαν. αὐτὸς δὲ ἵνα καταργήσῃ τὸν θάνατον καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν δείξῃ, ὅτι ἐν σαρκὶ ἔδει αὐτὸν φανερωθῆναι, ὑπέμεινεν, 7. ἵνα καὶ τοῖς πατράσιν τὴν ἐπαγγελίαν ἀποδῷ καὶ αὐτὸς ἑαυτῷ τὸν λαὸν τὸν καινὸν ἑτοιμάζων ἐπιδείξῃ, ἐπὶ τῆς γῆς ὤν, ὅτι τὴν ἀνάστασιν αὐτὸς ποιήσας κρινεῖ. 8. πέρας γέ τοι διδάσκων τὸν Ἰσραὴλ καὶ τηλικαῦτα τέρατα καὶ σημεῖα ποιῶν ἐκήρυσσεν, καὶ ὑπερηγάπησεν αὐτόν. 9. ὅτε δὲ τοὺς ἰδίους ἀποστόλους τοὺς μέλλοντας κηρύσσειν τὸ εὐαγγέλιον αὐτοῦ ἐξελέξατο, ὄντας ὑπὲρ πᾶσαν ἁμαρτίαν ἀνομωτέρους, ἵνα δείξῃ ὅτι «οὐκ ἦλθεν καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλούς[5]», τότε ἐφανέρωσεν ἑαυτὸν εἶναι υἱὸν θεοῦ. 10. εἰ γὰρ μὴ ἦλθεν ἐν σαρκί, οὐδ' ἄν πως οἱ ἄνθρωποι ἐσώθησαν βλέποντες αὐτόν· ὅτε τὸν μέλλοντα μὴ εἶναι ἥλιον, ἔργον τῶν χειρῶν αὐτοῦ ὑπάρχοντα, ἐμβλέποντες οὐκ ἰσχύουσιν εἰς τὰς ἀκτῖνας αὐτοῦ ἀντοφθαλμῆσαι. 11. οὐκοῦν ὁ υἱὸς τοῦ θεοῦ εἰς τοῦτο ἐν σαρκὶ ἦλθεν, ἵνα τὸ τέλειον τῶν ἁμαρτιῶν

---

1. Ματθ. 22, 14. 2. Ἡσ. 53, 5, 7. 3. Παρμ. 1, 17. 4. Γεν. 1, 26. 5. Ματθ. 9, 13.

ἀνακεφαλαιώσῃ τοῖς διώξασιν ἐν θανάτῳ τοὺς προφήτας αὐτοῦ. 12. οὐκοῦν εἰς τοῦτο ὑπέμεινεν. λέγει γὰρ ὁ θεὸς τὴν πληγὴν τῆς σαρκὸς αὐτοῦ ὅτι ἐξ αὐτῶν· «Ὅταν πατάξωσιν τὸν ποιμένα ἑαυτῶν, τότε ἀπολεῖται τὰ πρόβατα τῆς ποίμνης.[1]» 13. αὐτὸς δὲ ἠθέλησεν οὕτω παθεῖν. ἔδει γὰρ ἵνα ἐπὶ ξύλου πάθῃ. λέγει γὰρ ὁ προφητεύων ἐπ' αὐτῷ· «Φεῖσαί μου τῆς ψυχῆς ἀπὸ ῥομφαίας· καί· Καθήλωσόν μου τὰς σάρκας, ὅτι πονηρευομένων συναγωγαὶ ἐπανέστησάν μοι.[2]» 14. καὶ πάλιν λέγει· «Ἰδοὺ τέθεικά μου τὸν νῶτον εἰς μάστιγας καὶ τὰς σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου ἔθηκα ὡς στερεὰν πέτραν.[3]»

VI. Ὅτε οὖν ἐποίησεν τὴν ἐντολήν, τί λέγει; «Τίς ὁ κρινόμενός μοι; ἀντιστήτω μοι· ἢ τίς ὁ δικαιούμενός μοι; ἐγγισάτω τῷ παιδὶ κυρίου. 2. οὐαὶ ὑμῖν, ὅτι ὑμεῖς πάντες ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ σὴς καταφάγεται ὑμᾶς.[4]» καὶ πάλιν λέγει ὁ προφήτης, ἐπεὶ ὡς λίθος ἰσχυρὸς ἐτέθη εἰς συντριβήν· «Ἰδοὺ ἐμβαλῶ εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, ἐκλεκτόν, ἀκρογωνιαῖον, ἔντιμον.[5]» 3. εἶτα τί λέγει; «Καὶ ὃς ἐλπίσει ἐπ' αὐτὸν ζήσεται εἰς τὸν αἰῶνα.[6]» ἐπὶ λίθον οὖν ἡμῶν ἡ ἐλπίς; μὴ γένοιτο. ἀλλ' ἐπεὶ ἐν ἰσχύι τέθεικεν τὴν σάρκα αὐτοῦ κύριος. λέγει γάρ· «Καὶ ἔθηκέν με ὡς στερεὰν πέτραν.[7]» 4. λέγει δὲ πάλιν ὁ προφήτης· «Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.[8]» καὶ πάλιν λέγει· «Αὕτη ἐστὶν ἡ ἡμέρα ἡ μεγάλη καὶ θαυμαστή, ἣν ἐποίησεν ὁ κύριος.[9]» 5. ἁπλούστερον ὑμῖν γράφω, ἵνα συνιῆτε, ἐγὼ περίψημα τῆς ἀγάπης ὑμῶν. 6. τί οὖν λέγει πάλιν ὁ προφήτης; «Περιέσχεν με συναγωγὴ πονηρευομένων, ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον·[10]» καί· «Ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.[11]» 7. ἐν σαρκὶ οὖν αὐτοῦ μέλλοντος φανεροῦσθαι καὶ πάσχειν, προεφανερώθη τὸ πάθος. λέγει γὰρ ὁ προφήτης ἐπὶ τὸν Ἰσραήλ· Οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες· «Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστίν.[12]» 8. τί λέγει ὁ ἄλλος προφήτης Μωϋσῆς αὐτοῖς; «Ἰδοὺ τάδε λέγει κύριος ὁ θεός· Εἰσέλθατε εἰς τὴν γῆν τὴν ἀγαθήν, ἣν ὤμοσεν κύριος τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ κατακληρονομήσατε αὐτήν, γῆν ῥέουσαν γάλα καὶ μέλι.[13]» 9. τί λέγει ἡ γνῶσις; μάθετε. ἐλπίσατε, φησίν, ἐπὶ τὸν ἐν σαρκὶ μέλλοντα φανεροῦσθαι ὑμῖν Ἰησοῦν. ἄνθρωπος γὰρ γῆ ἐστὶν πάσχουσα· ἀπὸ προσώπου γὰρ τῆς γῆς ἡ πλάσις τοῦ Ἀδὰμ ἐγένετο. 10. τί οὖν λέγει· «Εἰς τὴν γῆν τὴν ἀγαθήν, γῆν ῥέουσαν γάλα καὶ μέλι;[14]» εὐλογητὸς ὁ κύριος ἡμῶν, ἀδελφοί, ὁ σοφίαν καὶ νοῦν θέμενος ἐν ἡμῖν τῶν κρυφίων αὐτοῦ. λέγει γὰρ ὁ προφήτης παραβολὴν κυρίου· τίς νοήσει, εἰ μὴ σοφὸς καὶ ἐπιστήμων καὶ ἀγαπῶν τὸν κύριον

---

1. Ζαχ. 13, 7. 2. Ψαλμ. 21, 21. 118, 120. 21, 17. 3. Ἡσ. 50, 6-7. 4. Ἡσ. 50, 8-9. 5. Ἡσ. 28, 16. 6. Ἡσ. 28, 16. 7. Ἡσ. 50, 7. 8. Ψαλμ. 117, 22. 9. Ψαλμ. 117, 24. 10. Ψαλμ. 21, 17. 117, 12. 11. Ψαλμ. 21, 19. 12. Ἡσ. 3, 9-10. 13. Ἔξ. 33, 1, 3. 14. Ἔξ. 33, 3.

αὐτοῦ; 11 ἐπεὶ οὖν ἀνακαινίσας ἡμᾶς ἐν τῇ ἀφέσει τῶν ἁμαρτιῶν, ἐποίησεν ἡμᾶς ἄλλον τύπον, ὡς παιδίων ἔχειν τὴν ψυχήν, ὡς ἂν δὴ ἀναπλάσσοντος αὐτοῦ ἡμᾶς. 12. λέγει γὰρ ἡ γραφὴ περὶ ἡμῶν, ὡς λέγει τῷ υἱῷ· «Ποιήσωμεν κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμῶν τὸν ἄνθρωπον, καὶ ἀρχέτωσαν τῶν θηρίων τῆς γῆς καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν ἰχθύων τῆς θαλάσσης.[1]» καὶ εἶπεν κύριος ἰδὼν τὸ καλὸν πλάσμα ἡμῶν· «Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν.[2]» ταῦτα πρὸς τὸν υἱόν. 13. πάλιν σοι ἐπιδείξω πῶς πρὸς ἡμᾶς λέγει. δευτέραν πλάσιν ἐπ' ἐσχάτων ἐποίησεν. λέγει δὲ κύριος· «Ἰδοὺ ποιῶ τὰ ἔσχατα ὡς τὰ πρῶτα.[3]» εἰς τοῦτο οὖν ἐκήρυξεν ὁ προφήτης· «Εἰσέλθατε εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, καὶ κατακυριεύσατε αὐτῆς.[4]» 14. ἴδε οὖν, ἡμεῖς ἀναπεπλάσμεθα, καθὼς πάλιν ἐν ἑτέρῳ προφήτῃ λέγει· «Ἰδού, λέγει κύριος, ἐξελῶ τούτων, τουτέστιν ὧν προέβλεπεν τὸ πνεῦμα κυρίου, τὰς λιθίνας καρδίας καὶ ἐμβαλῶ σαρκίνας.[5]» ὅτι αὐτὸς ἐν σαρκὶ ἔμελλεν φανεροῦσθαι καὶ ἐν ἡμῖν κατοικεῖν. 15. ναὸς γὰρ ἅγιος, ἀδελφοί μου, τῷ κυρίῳ τὸ κατοικητήριον ἡμῶν τῆς καρδίας. 16. λέγει γὰρ κύριος πάλιν· «Καὶ ἐν τίνι ὀφθήσομαι τῷ κυρίῳ τῷ θεῷ μου καὶ δοξασθήσομαι; λέγει· Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ ἀδελφῶν μου καὶ ψαλῶ σοι ἀναμέσον ἐκκλησίας ἁγίων.[6]» οὐκοῦν ἡμεῖς ἐσμὲν οὓς εἰσήγαγεν εἰς τὴν γῆν τὴν ἀγαθήν. 17. τί οὖν τὸ γάλα καὶ τὸ μέλι; ὅτι πρῶτον τὸ παιδίον μέλιτι, εἶτα γάλακτι ζωοποιεῖται. οὕτως οὖν καὶ ἡμεῖς τῇ πίστει τῆς ἐπαγγελίας καὶ τῷ λόγῳ ζωοποιούμενοι ζήσομεν κατακυριεύοντες τῆς γῆς. 18. προειρήκαμεν δὲ ἐπάνω· «Καὶ αὐξανέσθωσαν καὶ πληθυνέσθωσαν καὶ ἀρχέτωσαν τῶν ἰχθύων.[7]» τίς οὖν ὁ δυνάμενος νῦν ἄρχειν θηρίων ἢ ἰχθύων ἢ πετεινῶν τοῦ οὐρανοῦ; αἰσθάνεσθαι γὰρ ὀφείλομεν ὅτι τὸ ἄρχειν ἐξουσίας ἐστίν, ἵνα τις ἐπιτάξας κυριεύσῃ. 19. εἰ οὖν οὐ γίνεται τοῦτο νῦν, ἄρα ἡμῖν εἴρηκεν πότε· ὅταν καὶ αὐτοὶ τελειωθῶμεν κληρονόμοι τῆς διαθήκης κυρίου γενέσθαι.

VII. Οὐκοῦν νοεῖτε, τέκνα εὐφροσύνης, ὅτι πάντα ὁ καλὸς κύριος προεφανέρωσεν ἡμῖν, ἵνα γνῶμεν ᾧ κατὰ πάντα εὐχαριστοῦντες ὀφείλομεν αἰνεῖν. 2. εἰ οὖν ὁ υἱὸς τοῦ θεοῦ, ὢν κύριος καὶ μέλλων κρίνειν ζῶντας καὶ νεκρούς, ἔπαθεν ἵνα ἡ πληγὴ αὐτοῦ ζωοποιήσῃ ἡμᾶς, πιστεύσωμεν ὅτι ὁ υἱὸς τοῦ θεοῦ οὐκ ἠδύνατο παθεῖν εἰ μὴ δι' ἡμᾶς. 3. ἀλλὰ καὶ σταυρωθεὶς ἐποτίζετο ὄξει καὶ χολῇ. ἀκούσατε πῶς περὶ τούτου πεφανέρωκαν οἱ ἱερεῖς τοῦ ναοῦ. γεγραμμένης ἐντολῆς· «Ὃς ἂν μὴ νηστεύσῃ τὴν νηστείαν, θανάτῳ ἐξολεθρευθήσεται[8]», ἐνετείλατο κύριος, ἐπεὶ καὶ αὐτὸς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτιῶν ἔμελλεν τὸ σκεῦος τοῦ πνεύματος προσφέρειν θυσίαν, ἵνα καὶ ὁ τύπος

---

1. Γεν. 1, 26. 2. Γεν. 1, 28. 3. Γραφικόν; 4. Ἔξ. 33, 1 ἑξ. 5. Ἰεζ. 11, 19. 36, 26. 6. Ψαλμ. 41, 3. 21, 23. 7. Γεν. 1, 26, 28. 8. Πρβλ. Λευϊτ. 23, 29.

ὁ γενόμενος ἐπὶ Ἰσαὰκ τοῦ προσενεχθέντος ἐπὶ τὸ θυσιαστήριον τελεσθῇ. 4. τί οὖν λέγει ἐν τῷ προφήτῃ; «Καὶ φαγέτωσαν ἐκ τοῦ τράγου τοῦ προσφερομένου τῇ νηστείᾳ ὑπὲρ πασῶν τῶν ἁμαρτιῶν.[1] προσέχετε ἀκριβῶς· «Καὶ φαγέτωσαν οἱ ἱερεῖς μόνοι πάντες τὸ ἔντερον ἄπλυτον μετὰ ὄξους.[2]» 5. πρὸς τί; Ἐπειδὴ ἐμέ, ὑπὲρ ἁμαρτιῶν μέλλοντα τοῦ λαοῦ μου τοῦ καινοῦ προσφέρειν τὴν σάρκα μου, μέλλετε ποτίζειν χολὴν μετὰ ὄξους, φάγετε ὑμεῖς μόνοι, τοῦ λαοῦ νηστεύοντος καὶ κοπτομένου ἐπὶ σάκκου καὶ σποδοῦ· ἵνα δείξῃ ὅτι δεῖ αὐτὸν πολλὰ παθεῖν ὑπ' αὐτῶν. 6. ἃ ἐνετείλατο προσέχετε· «Λάβετε δύο τράγους καλοὺς καὶ ὁμοίους καὶ προσενέγκατε, καὶ λαβέτω ὁ ἱερεὺς τὸν ἕνα εἰς ὁλοκαύτωμα ὑπὲρ ἁμαρτιῶν.[3]» 7. τὸν δὲ ἕνα τί ποιήσωσιν; Ἐπικατάρατος, φησίν, ὁ εἷς. προσέχετε πῶς ὁ τύπος τοῦ Ἰησοῦ φανεροῦται· 8. «Καὶ ἐμπτύσατε πάντες καὶ κατακεντήσατε, καὶ περίθετε τὸ ἔριον τὸ κόκκινον περὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ οὕτως εἰς ἔρημον βληθήτω.[4]» καὶ ὅταν γένηται οὕτως, ἄγει ὁ βαστάζων τὸν τράγον εἰς τὴν ἔρημον, καὶ ἀφαιρεῖ τὸ ἔριον καὶ ἐπιτίθησιν αὐτὸ ἐπὶ φρύγανον τὸ λεγόμενον ῥαχία, οὗ καὶ τοὺς βλαστοὺς εἰώθαμεν τρώγειν ἐν τῇ χώρᾳ εὑρίσκοντες. οὕτω μόνης τῆς ῥάχου οἱ καρποὶ γλυκεῖς εἰσίν. 9. τί οὖν τοῦτό ἐστιν; προσέχετε· Τὸν μὲν ἕνα ἐπὶ τὸ θυσιαστήριον, τὸν δὲ ἕνα ἐπικατάρατον, καὶ ὅτι τὸν ἐπικατάρατον ἐστεφανωμένον· ἐπειδὴ ὄψονται αὐτὸν τότε τῇ ἡμέρᾳ τὸν ποδήρη ἔχοντα τὸν κόκκινον περὶ τὴν σάρκα, καὶ ἐροῦσιν· Οὐχ οὗτός ἐστιν ὅν ποτε ἡμεῖς ἐσταυρώσαμεν ἐξουθενήσαντες καὶ κατακεντήσαντες καὶ ἐμπτύσαντες; ἀληθῶς οὗτος ἦν ὁ τότε λέγων ἑαυτὸν υἱὸν τοῦ θεοῦ εἶναι. 10. πῶς γὰρ ὅμοιος ἐκείνῳ; εἰς τοῦτο ὁμοίους τοὺς τράγους, καλούς, ἴσους, ἵνα ὅταν ἴδωσιν αὐτὸν τότε ἐρχόμενον, ἐκπλαγῶσιν ἐπὶ τῇ ὁμοιότητι τοῦ τράγου. οὐκοῦν ἴδε τὸν τράγον τὸν τύπον τοῦ μέλλοντος πάσχειν Ἰησοῦ. 11. τί δὲ ὅτι τὸ ἔριον μέσον τῶν ἀκανθῶν τιθέασιν; τύπος ἐστὶν τοῦ Ἰησοῦ τῇ ἐκκλησίᾳ θέμενος, ὅτι ὃς ἐὰν θέλῃ τὸ ἔριον ἆραι τὸ κόκκινον, δεῖ αὐτὸν πολλὰ παθεῖν διὰ τὸ εἶναι φοβερὰν τὴν ἄκανθαν, καὶ θλιβέντα κυριεῦσαι αὐτοῦ. Οὕτω, φησίν, οἱ θέλοντές με ἰδεῖν καὶ ἅψασθαί μου τῆς βασιλείας ὀφείλουσιν θλιβέντες καὶ παθόντες λαβεῖν με.

VIII. Τίνα δὲ δοκεῖτε τύπον εἶναι, ὅτι ἐντέταλται τῷ Ἰσραὴλ προσφέρειν δάμαλιν τοὺς ἄνδρας ἐν οἷς εἰσὶν ἁμαρτίαι τέλειαι, καὶ σφάξαντας κατακαίειν, καὶ αἴρειν τότε τὰ παιδία σποδὸν καὶ βάλλειν εἰς ἄγγη, καὶ περιτιθέναι τὸ ἔριον τὸ κόκκινον ἐπὶ ξύλον (ἴδε πάλιν ὁ τύπος ὁ τοῦ σταυροῦ καὶ τὸ ἔριον τὸ κόκκινον) καὶ τὸ ὕσσωπον, καὶ οὕτως ῥαντίζειν τὰ παιδία καθ' ἕνα τὸν λαόν, ἵνα ἁγνίζωνται ἀπὸ τῶν ἁμαρτιῶν;[5] 2. νοεῖτε πῶς ἐν ἁπλότητι λέγει ὑμῖν· ὁ μόσχος

1. Γραφικόν; 2. Γραφικόν; 3. Λευϊτ. 16, 7. 4. Γραφικόν; πρβλ. Λευϊτ. 16, 8 ἑξ. 5. Πρβλ. Ἀριθ. 19, 1 ἑξ.

ὁ Ἰησοῦς ἐστίν, οἱ προσφέροντες ἄνδρες ἁμαρτωλοὶ οἱ προσενέγκαντες αὐτὸν ἐπὶ τὴν σφαγήν. εἶτα οὐκέτι ἄνδρες, οὐκέτι ἁμαρτωλῶν ἡ δόξα. 3. οἱ ῥαντίζοντες παῖδες οἱ εὐαγγελισάμενοι ἡμῖν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τὸν ἁγνισμὸν τῆς καρδίας, οἷς ἔδωκεν τοῦ εὐαγγελίου τὴν ἐξουσίαν, οὖσιν δεκαδύο εἰς μαρτύριον τῶν φυλῶν (ὅτι δεκαδύο φυλαὶ τοῦ Ἰσραήλ), εἰς τὸ κηρύσσειν. 4. διατί δὲ τρεῖς παῖδες οἱ ῥαντίζοντες; εἰς μαρτύριον Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ, ὅτι οὗτοι μεγάλοι τῷ θεῷ. 5. ὅτι δὲ τὸ ἔριον ἐπὶ τὸ ξύλον· ὅτι ἡ βασιλεία Ἰησοῦ ἐπὶ ξύλου, καὶ ὅτι οἱ ἐλπίζοντες ἐπ' αὐτὸν ζήσονται εἰς τὸν αἰῶνα. 6. διατί δὲ ἅμα τὸ ἔριον καὶ τὸ ὕσσωπον; ὅτι ἐν τῇ βασιλείᾳ αὐτοῦ ἡμέραι ἔσονται πονηραὶ καὶ ῥυπαραί, ἐν αἷς ἡμεῖς σωθησόμεθα· ὅτι ὁ ἀλγῶν σάρκα διὰ τοῦ ῥύπου τοῦ ὑσσώπου ἰᾶται. 7. καὶ διὰ τοῦτο οὕτως γενόμενα ἡμῖν μέν ἐστιν φανερά, ἐκείνοις δὲ σκοτεινά, ὅτι οὐκ ἤκουσαν φωνῆς κυρίου.

IX. Λέγει γὰρ πάλιν περὶ τῶν ὠτίων, πῶς περιέτεμεν ἡμῶν τὴν καρδίαν. λέγει κύριος ἐν τῷ προφήτῃ· «Εἰς ἀκοὴν ὠτίου ὑπήκουσάν μου.[1]» καὶ πάλιν λέγει· «Ἀκοῇ ἀκούσονται οἱ πόρρωθεν, ἃ ἐποίησα γνώσονται·[2]» καί· «Περιτμήθητε, λέγει κύριος, τὰς καρδίας ὑμῶν.[3]» 2. καὶ πάλιν λέγει· «Ἄκουε, Ἰσραήλ, ὅτι τάδε λέγει κύριος ὁ θεός σου.[4]» καὶ πάλιν τὸ πνεῦμα κυρίου προφητεύει· «Τίς ἐστιν ὁ θέλων ζῆσαι εἰς τὸν αἰῶνα; ἀκοῇ ἀκουσάτω τῆς φωνῆς τοῦ παιδός μου.[5]» 3. καὶ πάλιν λέγει· «Ἄκουε οὐρανέ, καὶ ἐνωτίζου γῆ, ὅτι κύριος ἐλάλησεν ταῦτα εἰς μαρτύριον.[6]» καὶ πάλιν λέγει· «Ἀκούσατε λόγον κυρίου, ἄρχοντες τοῦ λαοῦ τούτου.[7]» καὶ πάλιν λέγει· «Ἀκούσατε, τέκνα, φωνῆς βοῶντος ἐν τῇ ἐρήμῳ.[8]» 4. οὐκοῦν περιέτεμεν ἡμῶν τὰς ἀκοάς, ἵνα ἀκούσαντες λόγον πιστεύσωμεν ἡμεῖς. ἀλλὰ καὶ ἡ περιτομὴ ἐφ' ᾗ πεποίθασιν κατήργηται· περιτομὴν γὰρ εἴρηκεν οὐ σαρκὸς γενηθῆναι. ἀλλὰ παρέβησαν, ὅτι ἄγγελος πονηρὸς ἐσόφιζεν αὐτούς. 5. λέγει πρὸς αὐτούς· Τάδε λέγει κύριος ὁ θεὸς ὑμῶν (ὧδε εὑρίσκω ἐντολήν)· «Μὴ σπείρητε ἐπ' ἀκάνθαις, περιτμήθητε τῷ κυρίῳ ὑμῶν.[9]» καὶ τί λέγει; «Περιτμήθητε τὸ σκληρὸν τῆς καρδίας ὑμῶν, καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε.[10]» λάβε πάλιν· «Ἰδού, λέγει κύριος, πάντα τὰ ἔθνη ἀπερίτμητα ἀκροβυστίαν, ὁ δὲ λαὸς οὗτος ἀπερίτμητος καρδίας.[11]» 6. ἀλλ' ἐρεῖς· Καὶ μὴν περιτέτμηται ὁ λαὸς εἰς σφραγῖδα. ἀλλὰ καὶ πᾶς Σύρος καὶ Ἄραψ καὶ πάντες οἱ ἱερεῖς τῶν εἰδώλων. ἄρα οὖν κἀκεῖνοι ἐκ τῆς διαθήκης αὐτῶν εἰσίν· ἀλλὰ καὶ οἱ Αἰγύπτιοι ἐν περιτομῇ εἰσίν. 7. μάθετε οὖν, τέκνα ἀγάπης, περὶ πάντων πλουσίως, ὅτι Ἀβραὰμ πρῶτος περιτομὴν δοὺς ἐν πνεύματι προβλέψας εἰς τὸν Ἰησοῦν περιέτεμεν, λαβὼν τριῶν γραμμάτων δόγματα. 8. λέγει γάρ·

1. Ψαλμ. 17, 45. 2. Ἡσ. 33, 13. 3. Ἰερ. 4, 4. 4. Ἰερ. 7, 2-3. 5. Ψαλμ. 33, 13. Ἡσ. 50, 10. 6. Ἡσ. 1, 20. 7. Ἡσ. 1, 10. 8. Ἡσ. 40, 3. 9. Ἰερ. 4, 3. 10. Δευτ. 10, 16. 11. Ἰερ. 9, 26.

«Καὶ περιέτεμεν Ἀβραὰμ ἐκ τοῦ οἴκου αὐτοῦ ἄνδρας δεκαοκτὼ καὶ τριακοσίους.[1]» τίς οὖν ἡ δοθεῖσα αὐτῷ γνῶσις; μάθετε ὅτι τοὺς δεκαοκτὼ πρώτους, καὶ διάστημα ποιήσας λέγει τριακοσίους. τὸ δεκαοκτώ· Ι δέκα, Η ὀκτώ· ἔχεις Ἰησοῦν. ὅτι δὲ ὁ σταυρὸς ἐν τῷ Τ ἤμελλεν ἔχειν τὴν χάριν, λέγει καὶ τριακοσίους. δηλοῖ οὖν τὸν μὲν Ἰησοῦν ἐν τοῖς δυσὶν γράμμασιν, καὶ ἐν τῷ ἑνὶ τὸν σταυρόν. 9. οἶδεν ὁ τὴν ἔμφυτον δωρεὰν τῆς διδαχῆς αὐτοῦ θέμενος ἐν ἡμῖν· οὐδεὶς γνησιώτερον ἔμαθεν ἀπ' ἐμοῦ λόγον· ἀλλὰ οἶδα ὅτι ἄξιοί ἐστε ὑμεῖς.

X. Ὅτι δὲ Μωϋσῆς εἶπεν· «Οὐ φάγεσθε χοῖρον οὔτε ἀετὸν οὔτε ὀξύπτερον οὔτε κόρακα, οὔτε πάντα ἰχθὺν ὃς οὐκ ἔχει λεπίδα ἐν ἑαυτῷ[2]», τρία ἔλαβεν ἐν τῇ συνέσει δόγματα. 2. πέρας γέ τοι λέγει αὐτοῖς ἐν τῷ Δευτερονομίῳ· «Καὶ διαθήσομαι πρὸς τὸν λαὸν τοῦτον τὰ δικαιώματά μου.[3]» ἄρα οὖν οὐκ ἔστιν ἐντολὴ θεοῦ τὸ μὴ τρώγειν, Μωϋσῆς δὲ ἐν πνεύματι ἐλάλησεν. 3. τὸ οὖν χοιρίον πρὸς τοῦτο εἶπεν· οὐ κολληθήσῃ, φησίν, ἀνθρώποις τοιούτοις, οἵτινές εἰσιν ὅμοιοι χοίρων· τουτέστιν ὅταν σπαταλῶσιν, ἐπιλανθάνονται τοῦ κυρίου, ὅταν δὲ ὑστεροῦνται, ἐπιγινώσκουσιν τὸν κύριον, ὡς καὶ ὁ χοῖρος ὅταν τρώγει, τὸν κύριον οὐκ οἶδεν, ὅταν δὲ πεινᾷ κραυγάζει, καὶ λαβὼν πάλιν σιωπᾷ. 4. «Οὔτε φάγῃ τὸν ἀετὸν οὐδὲ τὸν ὀξύπτερον οὐδὲ τὸν ἰκτῖνα οὐδὲ τὸν κόρακα·[4]» οὐ μή, φησίν, κολληθήσῃ οὐδὲ ὁμοιωθήσῃ ἀνθρώποις τοιούτοις, οἵτινες οὐκ οἴδασιν διὰ κόπου καὶ ἱδρῶτος πορίζειν ἑαυτοῖς τὴν τροφήν, ἀλλὰ ἁρπάζουσιν τὰ ἀλλότρια ἐν ἀνομίᾳ αὐτῶν καὶ ἐπιτηροῦσιν ὡς ἐν ἀκεραιοσύνῃ περιπατοῦντες, καὶ περιβλέπονται τίνα ἐκδύσωσιν διὰ τὴν πλεονεξίαν, ὡς καὶ τὰ ὄρνεα ταῦτα μόνα ἑαυτοῖς οὐ πορίζει τὴν τροφήν, ἀλλὰ ἀργὰ καθήμενα ἐκζητεῖ πῶς ἀλλοτρίας σάρκας καταφάγῃ, ὄντα λοιμὰ τῇ πονηρίᾳ αὐτῶν. 5. Καὶ οὐ φάγῃ, φησίν, σμύραιναν οὐδὲ πώλυπα οὐδὲ σηπίαν·[5] οὐ μή, φησίν, ὁμοιωθήσῃ κολλώμενος ἀνθρώποις τοιούτοις, οἵτινες εἰς τέλος εἰσὶν ἀσεβεῖς καὶ κεκριμένοι ἤδη τῷ θανάτῳ, ὡς καὶ ταῦτα τὰ ἰχθύδια μόνα ἐπικατάρατα ἐν τῷ βυθῷ νήχεται, μὴ κολυμβῶντα ὡς τὰ λοιπά, ἀλλὰ ἐν τῇ γῇ κάτω τοῦ βυθοῦ κατοικεῖ. 6. ἀλλὰ καὶ τὸν δασύποδα οὐ φάγῃ. πρὸς τί; οὐ μὴ γένῃ παιδοφθόρος, οὐδὲ ὁμοιωθήσῃ τοῖς τοιούτοις. ὅτι ὁ λαγωὸς κατ' ἐνιαυτὸν πλεονεκτεῖ τὴν ἀφόδευσιν· ὅσα γὰρ ἔτη ζῇ, τοσαύτας ἔχει τρύπας. 7. ἀλλὰ οὐδὲ τὴν ὕαιναν φάγῃ. οὐ μή, φησίν, γένῃ μοιχὸς οὐδὲ φθορεύς, οὐδὲ ὁμοιωθήσῃ τοῖς τοιούτοις. πρὸς τί; ὅτι τὸ ζῷον τοῦτο παρ' ἐνιαυτὸν ἀλλάσσει τὴν φύσιν, καὶ ποτὲ μὲν ἄρρεν, ποτὲ δὲ θῆλυ γίνεται. 8. ἀλλὰ καὶ τὴν γαλῆν ἐμίσησεν καλῶς. οὐ μή, φησίν, γενηθῇς τοιοῦτος, οἵους ἀκούομεν ἀνομίαν ποιοῦντας ἐν τῷ στόματι δι' ἀκαθαρσίαν, οὐδὲ κολληθήσῃ ταῖς ἀκαθάρτοις ταῖς τὴν ἀνομίαν ποιούσαις ἐν τῷ στόματι.

---

1. Γεν. 17, 23. 14, 14. 2. Πρβλ. Λευϊτ. 11, 1 ἑξ. Δευτ. 14, 4 ἑξ. 3. Δευτ. 4, 1. 4. Λευϊτ. 11, 13-16. 5. Πρβλ. Λευϊτ. 11, 10.

τὸ γὰρ ζῷον τοῦτο τῷ στόματι κύει. 9. περὶ μὲν τῶν βρωμάτων λαβὼν Μωϋσῆς τρία δόγματα οὕτως ἐν πνεύματι ἐλάλησεν, οἱ δὲ κατ' ἐπιθυμίαν τῆς σαρκὸς ὡς περὶ βρώσεως προσεδέξαντο. 10. λαμβάνει δὲ τῶν αὐτῶν τριῶν δογμάτων γνῶσιν Δαυίδ, καὶ λέγει ὁμοίως· «Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν [1]», καθὼς οἱ ἰχθύες, πορεύονται ἐν σκότει εἰς τὰ βάθη, «καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη [1]», καθὼς οἱ δοκοῦντες φοβεῖσθαι τὸν κύριον ἁμαρτάνουσιν ὡς ὁ χοῖρος, «καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν [2]», καθὼς τὰ πετεινὰ τὰ καθήμενα εἰς ἁρπαγήν. ἔχετε τελείως καὶ περὶ τῆς βρώσεως. 11. πάλιν λέγει Μωϋσῆς· «Φάγεσθε πᾶν διχηλοῦν καὶ μαρυκώμενον.[3]» τί λέγει; ὁ τὴν τροφὴν λαμβάνων οἶδεν τὸν τρέφοντα αὐτόν, καὶ ἐπ' αὐτῷ ἀναπαυόμενος εὐφραίνεσθαι δοκεῖ. καλῶς εἶπεν βλέπων τὴν ἐντολήν. τί οὖν λέγει; κολλᾶσθε μετὰ τῶν φοβουμένων τὸν κύριον, μετὰ τῶν μελετώντων ὃ ἔλαβον διάσταλμα ῥήματος ἐν τῇ καρδίᾳ, μετὰ τῶν λαλούντων δικαιώματα κυρίου καὶ τηρούντων, μετὰ τῶν εἰδότων ὅτι ἡ μελέτη ἐστὶν ἔργον εὐφροσύνης καὶ ἀναμαρυκωμένων τὸν λόγον κυρίου. τί δὲ τὸ διχηλοῦν; ὅτι ὁ δίκαιος καὶ ἐν τούτῳ τῷ κόσμῳ περιπατεῖ καὶ τὸν ἅγιον αἰῶνα ἐκδέχεται. βλέπετε πῶς ἐνομοθέτησεν ὁ Μωϋσῆς καλῶς. 12. ἀλλὰ πόθεν ἐκείνοις ταῦτα νοῆσαι ἢ συνιέναι; ἡμεῖς δὲ δικαίως νοήσαντες τὰς ἐντολάς, λαλοῦμεν ὡς ἠθέλησεν κύριος. διὰ τοῦτο περιέτεμεν τὰς ἀκοὰς ἡμῶν καὶ τὰς καρδίας, ἵνα συνιῶμεν ταῦτα.

XI. Ζητήσωμεν δὲ εἰ ἐμέλησεν τῷ κυρίῳ προφανερῶσαι περὶ τοῦ ὕδατος καὶ περὶ τοῦ σταυροῦ. περὶ μὲν τοῦ ὕδατος γέγραπται ἐπὶ τὸν Ἰσραήλ, πῶς τὸ βάπτισμα τὸ φέρον ἄφεσιν ἁμαρτιῶν οὐ μὴ προσδέξονται, ἀλλ' ἑαυτοῖς οἰκοδομήσουσιν. 2. λέγει γὰρ ὁ προφήτης· «Ἔκστηθι οὐρανέ, καὶ ἐπὶ τούτῳ πλεῖον φριξάτω ἡ γῆ, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαὸς οὗτος· ἐμὲ ἐγκατέλιπον πηγὴν ζωῆς, καὶ ἑαυτοῖς ὤρυξαν βόθρον θανάτου.[4]» 3. «Μὴ πέτρα ἔρημός ἐστιν τὸ ὄρος τὸ ἅγιόν μου Σινᾶ; ἔσεσθε γὰρ ὡς πετεινοῦ νοσσοὶ ἀνιπτάμενοι νοσσιᾶς ἀφῃρημένης.[5]» 4. καὶ πάλιν λέγει ὁ προφήτης· «Ἐγὼ πορεύσομαι ἔμπροσθέν σου, καὶ ὄρη ὁμαλιῶ καὶ πύλας χαλκᾶς συντρίψω καὶ μοχλοὺς σιδηροῦς συνκλάσω, καὶ δώσω σοι θησαυροὺς σκοτεινούς, ἀποκρύφους, ἀοράτους, ἵνα γνῶσιν ὅτι ἐγὼ κύριος ὁ θεός.[6]» καί· «Κατοικήσεις ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς. 5. καί· «Τὸ ὕδωρ αὐτοῦ πιστόν· βασιλέα μετὰ δόξης ὄψεσθε, καὶ ἡ ψυχὴ ὑμῶν μελετήσει φόβον κυρίου.[7]» 6. καὶ πάλιν ἐν ἄλλῳ προφήτῃ λέγει· «Ἔσται ὁ ταῦτα ποιῶν ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται. 7. οὐχ οὕτως οἱ ἀσεβεῖς,

---

1. Ψαλμ. 1, 1. 2. Ψαλμ. 1, 1. 3. Λευϊτ. 11, 3. Δευτ. 14, 6. 4. Ἱερ. 2, 12-13. 5. Ἡσ. 16, 1-2. 6. Ἡσ. 45, 2-3. 7. Ἡσ. 33. 16-18.

οὐχ οὕτως, ἀλλ' ἢ ὡς ὁ χνοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. διὰ τοῦτο οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων· ὅτι γινώσκει κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.[1]» 8. αἰσθάνεσθε πῶς τὸ ὕδωρ καὶ τὸν σταυρὸν ἐπὶ τὸ αὐτὸ ὥρισεν. τοῦτο γὰρ λέγει· Μακάριοι οἱ ἐπὶ τὸν σταυρὸν ἐλπίσαντες κατέβησαν εἰς τὸ ὕδωρ· ὅτι τὸν μὲν μισθὸν λέγει ἐν καιρῷ αὐτοῦ· τότε, φησίν, ἀποδώσω. νῦν δὲ ὃ λέγει· Τὰ φύλλα οὐκ ἀπορυήσεται, τοῦτο λέγει ὅτι πᾶν ῥῆμα ὃ ἐὰν ἐξελεύσεται ἐξ ὑμῶν διὰ τοῦ στόματος ὑμῶν ἐν πίστει καὶ ἀγάπῃ, ἔσται εἰς ἐπιστροφὴν καὶ ἐλπίδα πολλοῖς. 9. καὶ πάλιν ἕτερος προφήτης λέγει· «Καὶ ἦν ἡ γῆ τοῦ Ἰακὼβ ἐπαινουμένη παρὰ πᾶσαν τὴν γῆν.[2]» τοῦτο λέγει· τὸ σκεῦος τοῦ πνεύματος αὐτοῦ δοξάζει. 10. εἶτα τί λέγει; «Καὶ ἦν ποταμὸς ἕλκων ἐκ δεξιῶν, καὶ ἀνέβαινεν ἐξ αὐτοῦ δένδρα ὡραῖα· καὶ ὃς ἂν φάγῃ ἐξ αὐτῶν ζήσεται εἰς τὸν αἰῶνα.[3]» 11. τοῦτο λέγει ὅτι ἡμεῖς μὲν καταβαίνομεν εἰς τὸ ὕδωρ γέμοντες ἁμαρτιῶν καὶ ῥύπου, καὶ ἀναβαίνομεν καρποφοροῦντες ἐν τῇ καρδίᾳ, τὸν φόβον καὶ τὴν ἐλπίδα εἰς τὸν Ἰησοῦν ἐν τῷ πνεύματι ἔχοντες. Καὶ ὃς ἂν φάγῃ ἀπὸ τούτων ζήσεται εἰς τὸν αἰῶνα, τοῦτο λέγει· ὅς ἄν, φησίν, ἀκούσῃ τούτων λαλουμένων καὶ πιστεύσῃ, ζήσεται εἰς τὸν αἰῶνα.

XII. Ὁμοίως πάλιν περὶ τοῦ σταυροῦ ὁρίζει ἐν ἄλλῳ προφήτῃ λέγοντι· «Καὶ πότε ταῦτα συντελεσθήσεται; λέγει κύριος· Ὅταν ξύλον κλιθῇ καὶ ἀναστῇ, καὶ ὅταν ἐκ ξύλου αἷμα στάξῃ.[4]» ἔχεις πάλιν περὶ τοῦ σταυροῦ καὶ τοῦ σταυροῦσθαι μέλλοντος. 2. λέγει δὲ πάλιν ἐν τῷ Μωϋσῇ, πολεμουμένου τοῦ Ἰσραὴλ ὑπὸ τῶν ἀλλοφύλων, καὶ ἵνα ὑπομνήσῃ αὐτοὺς πολεμουμένους ὅτι διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθησαν εἰς θάνατον· λέγει εἰς τὴν καρδίαν Μωϋσέως τὸ πνεῦμα, ἵνα ποιήσῃ τύπον σταυροῦ καὶ τοῦ μέλλοντος πάσχειν, ὅτι ἐὰν μή, φησίν, ἐλπίσωμεν ἐπ' αὐτῷ, εἰς τὸν αἰῶνα πολεμηθήσονται. τίθησιν οὖν Μωϋσῆς ἓν ἐφ' ἓν ὅπλον ἐν μέσῳ τῆς πυγμῆς, καὶ ὑψηλότερος σταθεὶς πάντων ἐξέτεινεν τὰς χεῖρας. καὶ οὕτως πάλιν ἐνίκα ὁ Ἰσραήλ. εἶτα, ὁπόταν καθεῖλεν, πάλιν ἐθανατοῦντο. 3. πρὸς τί; ἵνα γνῶσιν ὅτι οὐ δύνανται σωθῆναι, ἐὰν μὴ ἐπ' αὐτῷ ἐλπίσωσιν. 4. καὶ πάλιν ἐν ἑτέρῳ προφήτῃ λέγει· «Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθῆ καὶ ἀντιλέγοντα ὁδῷ δικαίᾳ μου.[5]» 5. πάλιν Μωϋσῆς ποιεῖ τύπον τοῦ Ἰησοῦ, ὅτι δεῖ αὐτὸν παθεῖν καὶ αὐτὸς ζωοποιήσει ὃν δόξουσιν ἀπολωλεκέναι ἐν σημείῳ, πίπτοντος τοῦ Ἰσραήλ. ἐποίησεν γὰρ κύριος πάντα ὄφιν δάκνειν αὐτούς, καὶ ἀπέθνησκον (ἐπειδὴ ἡ παράβασις διὰ τοῦ ὄφεως ἐν Εὔᾳ ἐγένετο), ἵνα ἐλέγξῃ αὐτοὺς ὅτι διὰ τὴν παράβασιν αὐτῶν εἰς θλῖψιν θανάτου παραδοθήσονται. 6. πέρας γέ τοι αὐτὸς Μωϋσῆς ἐντειλάμενος· «Οὐκ

---

1. Ψαλμ. 1, 3-6. 2. Γραφικόν; 3 Πρβλ. Ἰεζ. 47, 1 ἑξ. 4. Γραφικόν; 5. Ἡσ. 65, 2.

ἔσται ὑμῖν οὔτε χωνευτὸν οὔτε γλυπτὸν εἰς θεὸν ὑμῖν [1]», αὐτὸς ποιεῖ, ἵνα τύπον τοῦ Ἰησοῦ δείξῃ. ποιεῖ οὖν Μωϋσῆς χαλκοῦν ὄφιν καὶ τίθησιν ἐνδόξως, καὶ κηρύγματι καλεῖ τὸν λαόν. 7. ἐλθόντες οὖν ἐπὶ τὸ αὐτὸ ἐδέοντο Μωϋσέως, ἵνα περὶ αὐτῶν ἀνενέγκῃ δέησιν περὶ τῆς ἰάσεως αὐτῶν. εἶπεν δὲ πρὸς αὐτοὺς Μωϋσῆς· Ὅταν, φησίν, δηχθῇ τις ὑμῶν, ἐλθέτω ἐπὶ τὸν ὄφιν τὸν ἐπὶ τοῦ ξύλου ἐπικείμενον, καὶ ἐλπισάτω πιστεύσας ὅτι αὐτὸς ὢν νεκρὸς δύναται ζωοποιῆσαι, καὶ παραχρῆμα σωθήσεται. καὶ οὕτως ἐποίουν. ἔχειν πάλιν καὶ ἐν τούτοις τὴν δόξαν τοῦ Ἰησοῦ, ὅτι ἐν αὐτῷ πάντα καὶ εἰς αὐτόν. 8. τί λέγει πάλιν Μωϋσῆς Ἰησοῦ υἱῷ Ναυή, ἐπιθεὶς αὐτῷ τοῦτο τὸ ὄνομα, ὄντι προφήτῃ, ἵνα μόνον ἀκούσῃ πᾶς ὁ λαὸς ὅτι ὁ πατὴρ πάντα φανεροῖ περὶ τοῦ υἱοῦ Ἰησοῦ; 9. λέγει οὖν Μωϋσῆς Ἰησοῦ υἱῷ Ναυή, ἐπιθεὶς τοῦτο ὄνομα, ὁπότε ἔπεμψεν αὐτὸν κατάσκοπον τῆς γῆς· «Λάβε βιβλίον εἰς τὰς χεῖράς σου καὶ γράψον ἃ λέγει κύριος, ὅτι ἐκκόψει ἐκ ῥιζῶν τὸν οἶκον πάντα τοῦ Ἀμαλὴκ ὁ υἱὸς τοῦ θεοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν.[2]» 10. ἴδε πάλιν Ἰησοῦς, οὐχὶ υἱὸς ἀνθρώπου ἀλλὰ υἱὸς τοῦ θεοῦ, τύπῳ δὲ ἐν σαρκὶ φανερωθείς. ἐπεὶ οὖν μέλλουσιν λέγειν ὅτι Χριστὸς υἱὸς Δαυίδ ἐστιν, αὐτὸς προφητεύει ὁ Δαυίδ, φοβούμενος καὶ συνίων τὴν πλάνην τῶν ἁμαρτωλῶν· «Εἶπεν κύριος τῷ κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[3]» 11. καὶ πάλιν λέγει οὕτως Ἡσαΐας· «Εἶπεν κύριος τῷ Χριστῷ μου κυρίῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς αὐτοῦ, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ ἰσχὺν βασιλέων διαρρήξω.[4]» ἴδε πῶς Δαυὶδ λέγει αὐτὸν κύριον, καὶ υἱὸν οὐ λέγει.

XIII. Ἴδωμεν δὲ εἰ οὗτος ὁ λαὸς κληρονομεῖ ἢ ὁ πρῶτος, καὶ εἰ ἡ διαθήκη εἰς ἡμᾶς ἢ εἰς ἐκείνους. 2. ἀκούσατε οὖν περὶ τοῦ λαοῦ τί λέγει ἡ γραφή· « Εδεῖτο δὲ Ἰσαὰκ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. καὶ συνέλαβεν. εἶτα ἐξῆλθεν Ῥεβέκκα πυθέσθαι παρὰ κυρίου. καὶ εἶπεν κύριος πρὸς αὐτήν· Δύο ἔθνη ἐν τῇ γαστρί σου καὶ δύο λαοὶ ἐν τῇ κοιλίᾳ σου, καὶ ὑπερέξει λαὸς λαοῦ, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.[5]» 3. αἰσθάνεσθαι ὀφείλετε τίς ὁ Ἰσαὰκ καὶ τίς ἡ Ῥεβέκκα, καὶ ἐπὶ τίνων δέδειχεν ὅτι μείζων ὁ λαὸς οὗτος ἢ ἐκεῖνος. 4. καὶ ἐν ἄλλῃ προφητείᾳ λέγει φανερώτερον ὁ Ἰακὼβ πρὸς Ἰωσὴφ τὸν υἱὸν αὐτοῦ, λέγων· «Ἰδού, οὐκ ἐστέρησέν με κύριος τοῦ προσώπου σου· προσάγαγέ μοι τοὺς υἱούς σου, ἵνα εὐλογήσω αὐτούς.[6]» 5. καὶ προσήγαγεν Ἐφραὶμ καὶ Μανασσῆ, τὸν Μανασσῆ θέλων ἵνα εὐλογηθῇ, ὅτι πρεσβύτερος ἦν· ὁ γὰρ Ἰωσὴφ προσήγαγεν εἰς τὴν δεξιὰν χεῖρα τοῦ πατρὸς Ἰακώβ. εἶδεν δὲ Ἰακὼβ τύπον τῷ πνεύματι τοῦ λαοῦ τοῦ μεταξύ. καὶ τί λέγει; «Καὶ ἐποίησεν Ἰακὼβ ἐναλλὰξ τὰς χεῖρας αὐτοῦ, καὶ ἐπέθηκεν τὴν δεξιὰν ἐπὶ τὴν κεφαλὴν

---

1. Δευτ. 27, 15. 2. Ἔξ. 17, 14. 3. Ψαλμ. 109, 1. 4. Ἠσ. 45, 1. 5. Γεν. 25, 21-23. 6. Γεν. 48, 11, 9.

Ἐφραὶμ τοῦ δευτέρου καὶ νεωτέρου, καὶ εὐλόγησεν αὐτόν. καὶ εἶπεν Ἰωσὴφ πρὸς Ἰακώβ· Μετάθες σου τὴν δεξιὰν ἐπὶ τὴν κεφαλὴν Μανασσῆ, ὅτι πρωτότοκός μου υἱός ἐστιν. καὶ εἶπεν Ἰακὼβ πρὸς Ἰωσήφ· Οἶδα, τέκνον, οἶδα· ἀλλ' ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. καὶ οὗτος δὲ εὐλογηθήσεται.[1]» 6. βλέπετε ἐπὶ τίνων τέθεικεν, τὸν λαὸν τοῦτον εἶναι πρῶτον καὶ τῆς διαθήκης κληρονόμον. 7. εἰ οὖν ἔτι καὶ διὰ τοῦ Ἀβραὰμ ἐμνήσθη, ἀπέχομεν τὸ τέλειον τῆς γνώσεως ἡμῶν. τί οὖν λέγει τῷ Ἀβραάμ, ὅτε μόνος πιστεύσας ἐτέθη εἰς δικαιοσύνην; «Ἰδοὺ τέθεικά σε, Ἀβραάμ, πατέρα ἐθνῶν τῶν πιστευόντων δι' ἀκροβυστίας τῷ θεῷ.[2]»

XIV. Ναί. ἀλλὰ τὴν διαθήκην ἣν ὤμοσεν τοῖς πατράσι δοῦναι τῷ λαῷ, εἰ δέδωκεν ζητῶμεν. δέδωκεν· αὐτοὶ δὲ οὐκ ἐγένοντο ἄξιοι λαβεῖν διὰ τὰς ἁμαρτίας αὐτῶν. 2. λέγει γὰρ ὁ προφήτης· «Καὶ ἦν Μωϋσῆς νηστεύων ἐν ὄρει Σινᾶ, τοῦ λαβεῖν τὴν διαθήκην κυρίου πρὸς τὸν λαόν, ἡμέρας τεσσεράκοντα καὶ νύκτας τεσσεράκοντα. καὶ ἔλαβεν Μωϋσῆς παρὰ κυρίου τὰς δύο πλάκας τὰς γεγραμμένας τῷ δακτύλῳ τῆς χειρὸς κυρίου ἐν πνεύματι.[3]» καὶ λαβὼν Μωϋσῆς κατέφερεν πρὸς τὸν λαὸν δοῦναι. 3. καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν· «Μωϋσῆ Μωϋσῆ, κατάβηθι τὸ τάχος, ὅτι ὁ λαός σου ὃν ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ἠνόμησεν. καὶ συνῆκεν Μωϋσῆς ὅτι ἐποίησαν ἑαυτοῖς πάλιν χωνεύματα, καὶ ἔρριψεν ἐκ τῶν χειρῶν τὰς πλάκας, καὶ συνετρίβησαν αἱ πλάκες τῆς διαθήκης κυρίου.[4]» 4. Μωϋσῆς μὲν ἔλαβεν, αὐτοὶ δὲ οὐκ ἐγένοντο ἄξιοι. πῶς δὲ ἡμεῖς ἐλάβομεν; μάθετε. Μωϋσῆς θεράπων ὢν ἔλαβεν, αὐτὸς δὲ κύριος ἡμῖν ἔδωκεν εἰς λαὸν κληρονομίας, δι' ἡμᾶς ὑπομείνας. 5. ἐφανερώθη δὲ ἵνα κἀκεῖνοι τελειωθῶσιν τοῖς ἁμαρτήμασιν καὶ ἡμεῖς διὰ τοῦ κληρονομοῦντος διαθήκην κυρίου Ἰησοῦ λάβωμεν, ὃς εἰς τοῦτο ἡτοιμάσθη, ἵνα αὐτὸς φανεὶς τὰς ἤδη δεδαπανημένας ἡμῶν καρδίας τῷ θανάτῳ καὶ παραδεδομένας τῇ τῆς πλάνης ἀνομίᾳ λυτρωσάμενος ἐκ τοῦ σκότους, διάθηται ἐν ἡμῖν διαθήκην λόγῳ. 6. γέγραπται γὰρ πῶς αὐτῷ ὁ πατὴρ ἐντέλλεται, λυτρωσάμενον ἡμᾶς ἐκ τοῦ σκότους, ἑτοιμάσαι ἑαυτῷ λαὸν ἅγιον. 7. λέγει οὖν ὁ προφήτης· «Ἐγὼ κύριος ὁ θεός σου ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου καὶ ἐνισχύσω σε, καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, καὶ ἐξαγαγεῖν ἐκ δεσμῶν πεπεδημένους καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει.[5]» γινώσκομεν οὖν πόθεν ἐλυτρώθημεν. 8. πάλιν ὁ προφήτης λέγει· «Ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς· οὕτως λέγει κύριος ὁ λυτρωσάμενός σε θεός.[6]» 9. καὶ πάλιν ὁ προφήτης λέγει· «Πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με εὐαγγελίσασθαι ταπεινοῖς χάριν, ἀπέσταλκέν

1. Γεν. 48, 14 ἑξ. 2. Πρβλ. Γεν. 15, 6. 17, 5. Ρωμ. 4, 9 ἑξ. 3. Ἔξ. 24, 18. 31, 18. 4. Ἔξ. 32, 7, 19. 5. Ἡσ. 42, 6-7. 6. Ἡσ. 49, 6-7.

με ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως, παρακαλέσαι πάντας τοὺς πενθοῦντας.[1]»

XV. Ἔτι οὖν καὶ περὶ τοῦ σαββάτου γέγραπται ἐν τοῖς δέκα λόγοις, ἐν οἷς ἐλάλησεν ἐν τῷ ὄρει Σινᾶ πρὸς Μωϋσῆν κατὰ πρόσωπον· «Καὶ ἁγιάσατε τὸ σάββατον κυρίου χερσὶν καθαραῖς καὶ καρδίᾳ καθαρᾷ.[2]» 2. καὶ ἐν ἑτέρῳ λέγει· «Ἐὰν φυλάξωσιν οἱ υἱοί μου τὸ σάββατον, τότε ἐπιθήσω τὸ ἔλεός μου ἐπ' αὐτούς.[3]» 3. τὸ σάββατον λέγει ἐν ἀρχῇ τῆς κτίσεως· «Καὶ ἐποίησεν ὁ θεὸς ἐν ἓξ ἡμέραις τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καὶ συνετέλεσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ κατέπαυσεν ἐν αὐτῇ, καὶ ἡγίασεν αὐτήν.[4]» 4. προσέχετε, τέκνα, τί λέγει τό· «Συνετέλεσεν ἐν ἓξ ἡμέραις.» τοῦτο λέγει ὅτι ἐν ἑξακισχιλίοις ἔτεσιν συντελέσει κύριος τὰ σύνπαντα. ἡ γὰρ ἡμέρα παρ' αὐτῷ χίλια ἔτη. αὐτὸς δέ μοι μαρτυρεῖ λέγων· «Ἰδοὺ σήμερον ἡμέρα ἔσται ὡς χίλια ἔτη.[5]» οὐκοῦν, τέκνα, ἐν ἓξ ἡμέραις, ἐν τοῖς ἑξακισχιλίοις ἔτεσιν συντελεσθήσεται τὰ σύνπαντα. 5. Καὶ κατέπαυσεν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. τοῦτο λέγει· ὅταν ἐλθὼν ὁ υἱὸς αὐτοῦ καταργήσει τὸν καιρὸν τοῦ ἀνόμου καὶ κρινεῖ τοὺς ἀσεβεῖς καὶ ἀλλάξει τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας, τότε καλῶς καταπαύσεται ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. 6. πέρας γέ τοι λέγει· «Ἁγιάσεις αὐτὴν χερσὶν καθαραῖς καὶ καρδίᾳ καθαρᾷ.[6]» εἰ οὖν ἣν ὁ θεὸς ἡμέραν ἡγίασεν, νῦν τις δύναται ἁγιάσαι εἰ μὴ καθαρὸς ὢν τῇ καρδίᾳ, ἐν πᾶσιν πεπλανήμεθα. 7. ἴδε οὖν ἄρα τότε καλῶς καταπαυόμενοι ἁγιάσομεν αὐτήν, ὅτε δυνησόμεθα αὐτοὶ δικαιωθέντες καὶ ἀπολαβόντες τὴν ἐπαγγελίαν, μηκέτι οὔσης τῆς ἀνομίας, καινῶν δὲ γεγονότων πάντων ὑπὸ κυρίου· τότε δυνησόμεθα αὐτὴν ἁγιάσαι, αὐτοὶ ἁγιασθέντες πρῶτον. 8. πέρας γέ τοι λέγει αὐτοῖς· Τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα οὐκ ἀνέχομαι. ὁρᾶτε πῶς λέγει· Οὐ τὰ νῦν σάββατα ἐμοὶ δεκτά, ἀλλὰ ὃ πεποίηκα, ἐν ᾧ καταπαύσας τὰ πάντα ἀρχὴν ἡμέρας ὀγδόης ποιήσω, ὅ ἐστιν ἄλλου κόσμου ἀρχήν. 9. διὸ καὶ ἄγομεν τὴν ἡμέραν τὴν ὀγδόην εἰς εὐφροσύνην, ἐν ᾗ καὶ ὁ Ἰησοῦς ἀνέστη ἐκ νεκρῶν καὶ φανερωθεὶς ἀνέβη εἰς οὐρανούς.

XVI. Ἔτι δὲ καὶ περὶ τοῦ ναοῦ ἐρῶ ὑμῖν, πῶς πλανώμενοι οἱ ταλαίπωροι εἰς τὴν οἰκοδομὴν ἤλπισαν, καὶ οὐκ ἐπὶ τὸν θεὸν αὐτῶν τὸν ποιήσαντα αὐτούς, ὡς ὄντα οἶκον θεοῦ. 2. σχεδὸν γὰρ ὡς τὰ ἔθνη ἀφιέρωσαν αὐτὸν ἐν τῷ ναῷ. ἀλλὰ πῶς λέγει κύριος καταργῶν αὐτόν; μάθετε· «Τίς ἐμέτρησεν τὸν οὐρανὸν σπιθαμῇ, ἢ τίς τὴν γῆν δρακί; οὐκ ἐγώ; λέγει κύριος. Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον οἶκον οἰκοδομήσετέ μοι; ἢ τίς τόπος τῆς καταπαύ-

---

1. Ἠσ. 61, 1-2. 2. Πρβλ. Ἔξ. 20, 8. Ψαλμ. 23, 4. 3. Πρβλ. Ἔξ. 31, 13 ἑξ. Ἰερ. 17, 24. 4. Γεν. 2, 2. 5. Ψαλμ. 89, 4. 6. Ἔξ. 20, 8.

σεώς μου;[1]» ἐγνώκατε ὅτι ματαία ἡ ἐλπὶς αὐτῶν. 3. πέρας γέ τοι πάλιν λέγει· «Ἰδοὺ οἱ καθελόντες τὸν ναὸν τοῦτον, αὐτοὶ αὐτὸν οἰκοδομήσουσιν.[2]» 4. γίνεται. διὰ γὰρ τὸ πολεμεῖν αὐτοὺς καθηρέθη ὑπὸ τῶν ἐχθρῶν. νῦν καὶ αὐτοὶ καὶ οἱ τῶν ἐχθρῶν ὑπηρέται ἀνοικοδομήσουσιν αὐτόν. 5. πάλιν ὡς ἔμελλεν ἡ πόλις καὶ ὁ ναὸς καὶ ὁ λαὸς Ἰσραὴλ παραδίδοσθαι ἐφανερώθη. λέγει γὰρ ἡ γραφή· «Καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν, καὶ παραδώσει κύριος τὰ πρόβατα τῆς νομῆς καὶ τὴν μάνδραν καὶ τὸν πύργον αὐτῶν εἰς καταφθοράν.[3]» καὶ ἐγένετο καθ' ἃ ἐλάλησεν κύριος. 6. ζητήσωμεν οὖν εἰ ἔστιν ναὸς θεοῦ. ἔστιν, ὅπου αὐτὸς λέγει ποιεῖν καὶ καταρτίζειν. γέγραπται γάρ· «Καὶ ἔσται τῆς ἑβδομάδος συντελουμένης, οἰκοδομηθήσεται ναὸς θεοῦ ἐνδόξως ἐπὶ τῷ ὀνόματι κυρίου.[4]» 7. εὑρίσκω οὖν ὅτι ἐστὶν ναός. πῶς οὖν οἰκοδομηθήσεται ἐπὶ τῷ ὀνόματι κυρίου; μάθετε. πρὸ τοῦ ἡμᾶς πιστεῦσαι τῷ θεῷ ἦν ἡμῶν τὸ κατοικητήριον τῆς καρδίας φθαρτὸν καὶ ἀσθενές, ὡς ἀληθῶς οἰκοδομητὸς ναὸς διὰ χειρός· ὅτι ἦν πλήρης μὲν εἰδωλολατρείας καὶ ἦν οἶκος δαιμονίων, διὰ τὸ ποιεῖν ὅσα ἦν ἐναντία τῷ θεῷ. 8. οἰκοδομηθήσεται δὲ ἐπὶ τῷ ὀνόματι κυρίου. προσέχετε, ἵνα ὁ ναὸς τοῦ κυρίου ἐνδόξως οἰκοδομηθῇ. πῶς; μάθετε.λαβόντες τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ ἐλπίσαντες ἐπὶ τὸ ὄνομα ἐγενόμεθα καινοί, πάλιν ἐξ ἀρχῆς κτιζόμενοι· διὸ ἐν τῷ κατοικητηρίῳ ἡμῶν ἀληθῶς ὁ θεὸς κατοικεῖ ἐν ἡμῖν. 9. πῶς; ὁ λόγος αὐτοῦ τῆς πίστεως, ἡ κλῆσις αὐτοῦ τῆς ἐπαγγελίας, ἡ σοφία τῶν δικαιωμάτων, αἱ ἐντολαὶ τῆς διδαχῆς, αὐτὸς ἐν ἡμῖν προφητεύων, αὐτὸς ἐν ἡμῖν κατοικῶν, τοὺς τῷ θανάτῳ δεδουλωμένους, ἀνοίγων ἡμῖν τὴν θύραν τοῦ ναοῦ, ὅ ἐστιν στόμα, μετάνοιαν διδοὺς ἡμῖν εἰσάγει εἰς τὸν ἄφθαρτον ναόν. 10. ὁ γὰρ ποθῶν σωθῆναι βλέπει οὐκ εἰς τὸν ἄνθρωπον ἀλλὰ εἰς τὸν ἐν αὐτῷ κατοικοῦντα καὶ λαλοῦντα, ἐπ' αὐτῷ ἐκπλησσόμενος ἐπὶ τῷ μηδέποτε μήτε τοῦ λέγοντος τὰ ῥήματα ἀκηκοέναι ἐκ τοῦ στόματος μήτε αὐτός ποτε ἐπιτεθυμηκέναι ἀκούειν. τοῦτό ἐστιν πνευματικὸς ναὸς οἰκοδομούμενος τῷ κυρίῳ.

XVII. Ἐφ' ὅσον ἦν ἐν δυνατῷ καὶ ἁπλότητι δηλῶσαι ὑμῖν, ἐλπίζει μου ἡ ψυχὴ τῇ ἐπιθυμίᾳ μου μὴ παραλελοιπέναι τι τῶν ἀνηκόντων εἰς σωτηρίαν. 2. ἐὰν γὰρ περὶ τῶν ἐνεστώτων ἢ μελλόντων γράφω ὑμῖν, οὐ μὴ νοήσητε, διὰ τὸ ἐν παραβολαῖς κεῖσθαι. ταῦτα μὲν οὕτως.

XVIII. Μεταβῶμεν δὲ καὶ ἐπὶ ἑτέραν γνῶσιν καὶ διδαχήν. Ὁδοὶ δύο εἰσὶν διδαχῆς καὶ ἐξουσίας, ἥ τε τοῦ φωτὸς καὶ ἡ τοῦ σκότους. διαφορὰ δὲ πολλὴ τῶν δύο ὁδῶν. ἐφ' ἧς μὲν γάρ εἰσιν τεταγμένοι φωταγωγοὶ ἄγγελοι τοῦ θεοῦ, ἐφ' ἧς δὲ ἄγγελοι τοῦ σατανᾶ. 2. καὶ ὁ μέν ἐστιν κύριος ἀπὸ αἰώνων καὶ εἰς τοὺς αἰῶνας, ὁ δὲ ἄρχων καιροῦ τοῦ νῦν τῆς ἀνομίας.

---

1. Ἡσ. 40, 12. 66,1. 2. Πρβλ. Ἡσ. 49, 17. 3. Ἐνὼχ 89, 56.
4. Πρβλ. Δαν. 9, 24.

XIX. Ἡ οὖν ὁδὸς τοῦ φωτός ἐστιν αὕτη· ἐάν τις θέλων ὁδὸν ὁδεύειν ἐπὶ τὸν ὡρισμένον τόπον, σπεύσῃ τοῖς ἔργοις αὐτοῦ. ἔστιν οὖν ἡ δοθεῖσα ἡμῖν γνῶσις τοῦ περιπατεῖν ἐν αὐτῇ τοιαύτη· 2. ἀγαπήσεις τὸν ποιήσαντά σε, φοβηθήσῃ τόν σε πλάσαντα, δοξάσεις τόν σε λυτρωσάμενον ἐκ θανάτου· ἔσῃ ἁπλοῦς τῇ καρδίᾳ καὶ πλούσιος τῷ πνεύματι· οὐ κολληθήσῃ μετὰ πορευομένων ἐν ὁδῷ θανάτου, μισήσεις πᾶν ὃ οὐκ ἔστιν ἀρεστὸν τῷ θεῷ, μισήσεις πᾶσαν ὑπόκρισιν· οὐ μὴ ἐγκαταλίπῃς ἐντολὰς κυρίου. 3. οὐχ ὑψώσεις σεαυτόν, ἔσῃ δὲ ταπεινόφρων κατὰ πάντα. οὐκ ἀρεῖς ἐπὶ σεαυτὸν δόξαν. οὐ λήμψῃ βουλὴν πονηρὰν κατὰ τοῦ πλησίον σου· οὐ δώσεις τῇ ψυχῇ σου θράσος. 4. οὐ πορνεύσεις, οὐ μοιχεύσεις, οὐ παιδοφθορήσεις. οὐ μή σου ὁ λόγος τοῦ θεοῦ ἐξέλθῃ ἐν ἀκαθαρσίᾳ τινῶν. οὐ λήμψῃ πρόσωπον ἐλέγξαι τινὰ ἐπὶ παραπτώματι. ἔσῃ πραΰς, ἔσῃ ἡσύχιος, ἔσῃ τρέμων τοὺς λόγους οὓς ἤκουσας. οὐ μνησικακήσεις τῷ ἀδελφῷ σου. 5. οὐ μὴ διψυχήσῃς πότερον ἔσται ἢ οὔ. οὐ μὴ λάβῃς ἐπὶ ματαίῳ τὸ ὄνομα κυρίου. ἀγαπήσεις τὸν πλησίον σου ὑπὲρ τὴν ψυχήν σου. οὐ φονεύσεις τέκνον ἐν φθορᾷ, οὐδὲ πάλιν γεννηθὲν ἀποκτενεῖς. οὐ μὴ ἄρῃς τὴν χεῖρά σου ἀπὸ τοῦ υἱοῦ σου ἢ ἀπὸ τῆς θυγατρός σου, ἀλλὰ ἀπὸ νεότητος διδάξεις φόβον θεοῦ. 6. οὐ μὴ γένῃ ἐπιθυμῶν τὰ τοῦ πλησίον σου, οὐ μὴ γένῃ πλεονέκτης. οὐδὲ κολληθήσῃ ἐκ ψυχῆς σου μετὰ ὑψηλῶν, ἀλλὰ μετὰ ταπεινῶν καὶ δικαίων ἀναστραφήσῃ. τὰ συμβαίνοντά σοι ἐνεργήματα ὡς ἀγαθὰ προσδέξῃ, εἰδὼς ὅτι ἄνευ θεοῦ οὐδὲν γίνεται. 7. οὐκ ἔσῃ διγνώμων οὐδὲ γλωσσώδης. ὑποταγήσῃ κυρίοις ὡς τύπῳ θεοῦ ἐν αἰσχύνῃ καὶ φόβῳ. οὐ μὴ ἐπιτάξῃς δούλῳ σου ἢ παιδίσκῃ ἐν πικρίᾳ, τοῖς ἐπὶ τὸν αὐτὸν θεὸν ἐλπίζουσιν, μήποτε οὐ μὴ φοβηθήσονται τὸν ἐπ' ἀμφοτέροις θεόν· ὅτι ἦλθεν οὐ κατὰ πρόσωπον καλέσαι, ἀλλ' ἐφ' οὓς τὸ πνεῦμα ἡτοίμασεν. 8. κοινωνήσεις ἐν πᾶσιν τῷ πλησίον σου, καὶ οὐκ ἐρεῖς ἴδια εἶναι.- εἰ γὰρ ἐν τῷ ἀφθάρτῳ κοινωνοί ἐστε, πόσῳ μᾶλλον ἐν τοῖς φθαρτοῖς. οὐκ ἔσῃ πρόγλωσσος· παγὶς γὰρ τὸ στόμα θανάτου. ὅσον δύνασαι ὑπὲρ τῆς ψυχῆς σου ἁγνεύσεις. 9. μὴ γίνου πρὸς μὲν τὸ λαβεῖν ἐκτείνων τὰς χεῖρας, πρὸς δὲ τὸ δοῦναι συσπῶν.[1] ἀγαπήσεις ὡς κόρην τοῦ ὀφθαλμοῦ σου πάντα τὸν λαλοῦντά σοι τὸν λόγον κυρίου. 10. μνησθήσῃ ἡμέραν κρίσεως νυκτὸς καὶ ἡμέρας, καὶ ἐκζητήσεις καθ' ἑκάστην ἡμέραν τὰ πρόσωπα τῶν ἁγίων, ἢ διὰ λόγου κοπιῶν καὶ πορευόμενος εἰς τὸ παρακαλέσαι καὶ μελετῶν εἰς τὸ σῶσαι ψυχὴν τῷ λόγῳ, ἢ διὰ τῶν χειρῶν σου ἐργάσῃ εἰς λύτρον ἁμαρτιῶν σου. 11. οὐ διστάσεις δοῦναι οὐδὲ διδοὺς γογγύσεις, γνώσῃ δὲ τίς ὁ τοῦ μισθοῦ καλὸς ἀνταποδότης. φυλάξεις ἃ παρέλαβες, μήτε προστιθεὶς μήτε ἀφαιρῶν.[2] εἰς τέλος μισήσεις τὸν πονηρόν. κρινεῖς δικαίως.[3] 12. οὐ ποιήσεις σχίσμα, εἰρηνεύσεις δὲ μαχομένους συναγαγών. ἐξομολογήσῃ ἐπὶ ἁμαρτίαις σου. οὐ προσήξεις

1. Πρβλ. Σοφ. Σειρ. 4, 31. 2. Δευτ. 12, 32. 3. Δευτ. 1, 16.

ἐπὶ προσευχὴν ἐν συνειδήσει πονηρᾷ. αὕτη ἐστὶν ἡ ὁδὸς τοῦ φωτός.

XX. Ἡ δὲ τοῦ μέλανος ὁδός ἐστιν σκολιὰ καὶ κατάρας μεστή. ὁδὸς γάρ ἐστιν θανάτου αἰωνίου μετὰ τιμωρίας, ἐν ᾗ ἐστὶν τὰ ἀπολλύντα τὴν ψυχὴν αὐτῶν· εἰδωλολατρεία, θρασύτης, ὕψος δυνάμεως, ὑπόκρισις, διπλοκαρδία, μοιχεία, φόνος, ἁρπαγή, ὑπερηφανία, παράβασις, δόλος, κακία, αὐθάδεια, φαρμακεία, μαγεία, πλεονεξία, ἀφοβία θεοῦ. 2. διῶκται τῶν ἀγαθῶν, μισοῦντες ἀλήθειαν, ἀγαπῶντες ψεύδη, οὐ γινώσκοντες μισθὸν δικαιοσύνης, οὐ κολλώμενοι ἀγαθῷ[1], οὐ κρίσει δικαίᾳ, χήρᾳ καὶ ὀρφανῷ οὐ προσέχοντες, ἀγρυπνοῦντες οὐκ εἰς φόβον θεοῦ ἀλλὰ ἐπὶ τὸ πονηρόν, ὧν μακρὰν καὶ πόρρω πραΰτης καὶ ὑπομονή, ἀγαπῶντες μάταια[2], διώκοντες ἀνταπόδομα[2], οὐκ ἐλεῶντες πτωχόν, οὐ πονοῦντες ἐπὶ καταπονουμένῳ, εὐχερεῖς ἐν καταλαλιᾷ, οὐ γινώσκοντες τὸν ποιήσαντα αὐτούς, φονεῖς τέκνων, φθορεῖς πλάσματος θεοῦ, ἀποστρεφόμενοι τὸν ἐνδεόμενον καὶ καταπονοῦντες τὸν θλιβόμενον, πλουσίων παράκλητοι, πενήτων ἄνομοι κριταί, πανθαμάρτητοι.

XXI. Καλὸν οὖν ἐστὶν μαθόντα τὰ δικαιώματα τοῦ κυρίου, ὅσα γέγραπται, ἐν τούτοις περιπατεῖν. ὁ γὰρ ταῦτα ποιῶν ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ δοξασθήσεται· ὁ ἐκεῖνα ἐκλεγόμενος μετὰ τῶν ἔργων αὐτοῦ συναπολεῖται. διὰ τοῦτο ἀνάστασις, διὰ τοῦτο ἀνταπόδομα. 2. ἐρωτῶ τοὺς ὑπερέχοντας, εἴ τινά μου γνώμης ἀγαθῆς λαμβάνετε συμβουλίαν· ἔχετε μεθ' ἑαυτῶν εἰς οὓς ἐργάσησθε τὸ καλόν· μὴ ἐλλείπητε. 3. ἐγγὺς ἡ ἡμέρα ἐν ᾗ συναπολεῖται πάντα τῷ πονηρῷ. ἐγγὺς ὁ κύριος καὶ ὁ μισθὸς αὐτοῦ.[4] 4. ἔτι καὶ ἔτι ἐρωτῶ ὑμᾶς· ἑαυτῶν γίνεσθε νομοθέται ἀγαθοί, ἑαυτῶν μένετε σύμβουλοι πιστοί, ἄρατε ἐξ ὑμῶν πᾶσαν ὑπόκρισιν. 5. ὁ δὲ θεός, ὁ τοῦ παντὸς κόσμου κυριεύων, δῴη ὑμῖν σοφίαν, σύνεσιν, ἐπιστήμην, γνῶσιν τῶν δικαιωμάτων αὐτοῦ, ὑπομονήν. 6. γίνεσθε δὲ θεοδίδακτοι, ἐκζητοῦντες τί ζητεῖ κύριος ἀφ' ὑμῶν, καὶ ποιεῖτε ἵνα εὑρεθῆτε ἐν ἡμέρᾳ κρίσεως. 7. εἰ δέ τίς ἐστιν ἀγαθοῦ μνεία, μνημονεύετέ μου μελετῶντες ταῦτα, ἵνα καὶ ἡ ἐπιθυμία καὶ ἡ ἀγρυπνία εἴς τι ἀγαθὸν χωρήσῃ. ἐρωτῶ ὑμᾶς, χάριν αἰτούμενος. 8. ἕως ἔτι τὸ καλὸν σκεῦός ἐστιν μεθ' ὑμῶν, μὴ ἐλλείπητε μηδενὶ ἑαυτῶν, ἀλλὰ συνεχῶς ἐκζητεῖτε ταῦτα καὶ ἀναπληροῦτε πᾶσαν ἐντολήν· ἔστιν γὰρ ἄξια. 9. διὸ μᾶλλον ἐσπούδασα γράψαι ἀφ' ὧν ἠδυνήθην, εἰς τὸ εὐφρᾶναι ὑμᾶς. Σώζεσθε, ἀγάπης τέκνα καὶ εἰρήνης. ὁ κύριος τῆς δόξης καὶ πάσης χάριτος μετὰ τοῦ πνεύματος ὑμῶν.

Ἐπιστολὴ Βαρνάβα.

---

1. Ῥωμ. 12, 9. 2. Ψαλμ. 4, 3. 3. Ἠσ. 1, 23. 4. Ἠσ. 40, 10.

Η ΠΡΟΣ ΔΙΟΓΝΗΤΟΝ ΕΠΙΣΤΟΛΗ

Η ΠΡΟΣ ΔΙΟΓΝΗΤΟΝ ΕΠΙΣΤΟΛΗ

Α΄ ΕΙΣΑΓΩΓΙΚΑ*

1. Ἡ ἐπιστολή. Ἐν τοῖς ἀπολογητικοῖς ἔργοις τῆς α΄ περιόδου δέον νὰ καταλεχθῇ καὶ ἡ ὑπ' ἀγνώστου γραφεῖσα ἐπιστολὴ πρὸς τὸν «κράτιστον» Διόγνητον. Ὁ Διόγνητος οὗτος, περὶ οὗ ἐλλείπει πᾶσα ἄλλη πληροφορία[1], ἐζήτησεν, ὡς φαίνεται ἐκ τοῦ πρώτου κεφαλαίου τῆς ἐπιστολῆς, πληροφορίας παρὰ τοῦ συγγραφέως περὶ τῆς χριστιανικῆς θρησκείας καὶ τοῦ βίου τῶν Χριστιανῶν· ὁ συγγραφεὺς ἐθεώρησε καθῆκόν του νὰ ἀπαντήσῃ, ἔχων τὴν ἐλπίδα ὅτι θὰ ἠδύνατο ὁ Διόγνητος, λαμβάνων ὑπ' ὄψιν τὴν ἀπάντησιν, «βελτίω γενέσθαι,... ὡς μὴ λυπηθῆναι τὸν εἰπόντα» (κ. 1). Ἀπαντῶν, α΄) δεικνύει τὸ οὐτιδανὸν τῶν θεῶν τῆς ἐθνικῆς θρησκείας, οἵτινες πάντες εἶναι «ἐκ φθαρτῆς ὕλης» (κ. 2)· β΄) ἐλέγχει τοὺς Ἰουδαίους, διότι, καίτοι καλῶς ποιοῦντες σέβονται ἕνα καὶ μόνον Θεόν, οὐδὲν διαφέρουσι τῶν ἐθνικῶν, ἐφόσον ἀπονέμουσιν αὐτῷ ὑλιστικὴν λατρείαν (θυσίαι, νηστεῖαι, σάββατον, περιτομή· (κ. 3-4)· γ΄) πρὸς Ἐθνικοὺς καὶ Ἰουδαίους ἀντιπαραβάλλει τοὺς Χριστιανούς, ὧν ἐξαίρει τὸν βίον (κ. 5-6) καὶ τὴν θρησκείαν, ἣν ἐδίδαξεν αὐτοῖς ὁ Θεὸς διὰ τοῦ Υἱοῦ του, οὗ ἡ δικαιοσύνη ἐκάλυψε τὰς ἁμαρτίας ἡμῶν (κ. 7-9)· καὶ δ΄) συνιστᾷ τῷ Διογνήτῳ νὰ πιστεύσῃ καὶ αὐτὸς εἰς τὰ χριστιανικὰ δόγματα, ὅτε μόνον θὰ δυνηθῇ νὰ γίνῃ «μιμητὴς τῆς χρηστότητος τοῦ Θεοῦ» καὶ νὰ ἐννοήσῃ «τυγχάνων ἐπὶ γῆς, ὅτι Θεὸς ἐν οὐρανοῖς πολιτεύεται» (κ. 10). Εἰς τὸ τέλος τοῦ δεκάτου κεφαλαίου τελευτᾷ ἡ ἐπιστολή, τὰ δὲ κεφάλαια 11 καὶ 12, ἄγνωστον πῶς ἐν τῷ χειρογράφῳ συνδεθέντα μετὰ τῆς ἐπιστολῆς, εἶναι ὅλως ἄσχετα πρὸς αὐτὴν καὶ εἶναι προφανῶς ἀπόσπασμα ὁμιλίας τινὸς («οὐ ξένα ὁμιλῶ» 11, 1), ἀπευθυνομένης πρὸς πολλοὺς («οἷς ἐντυχόντες καὶ ἀκούσαντες» 12, 1).

---

* Ἐκ τῆς «Πατρολογίας» Δημ. Σ. Μπαλάνου, Ἀθῆναι 1930, σελ. 83 ἑξ.
Ἐκδόσεις. Ἡ ἐπιστολὴ αὕτη συνεκδίδεται μετὰ τῶν ἀποστολικῶν πατέρων. Εὑρίσκεται καὶ ἐν Migne 2, 1167-1187. Ἐν νεοελληνικῇ παραφράσει ἐξεδόθη ἡ ἐπιστολὴ ὑπὸ Δ. Ι. Κομποθέκρα, «ὁ ἀληθὴς βίος τοῦ Ἰ. Χριστοῦ ἐκ τῶν καθαρῶν πηγῶν τῆς Γραφῆς. Ἡ πρὸς Διόγνητον ἐπιστολὴ παραπεφρασμένη», Ἀθῆναι 1866. Μελέτη: H. Kihn, Der Ursprung des Briefes an Diognet, Freiburg 1882. Ἐκτενεστέραν βιογραφίαν ἴδε B. Altaner, Patrologie[8] 1951.

1. Ἁπλῆ ὑπόθεσις νεωτέρων τινῶν εἶναι ὅτι πρόκειται περὶ τοῦ διδασκάλου τοῦ αὐτοκράτορος Μάρκου Αὐρηλίου (161-180), Διογνήτου καλουμένου.

Τὸ ἀπόσπασμα τοῦτο, οὐσιωδῶς διαφέρον καὶ κατὰ τὸ γλωσσικὸν ὕφος πρὸς τὰ προηγούμενα, πραγματεύεται περὶ τῶν θείων παροχῶν πρὸς τοὺς ὀρθῶς ἀγαπῶντας.[1]

Ἡ ἐπιστολὴ αὕτη, τόσον ὡς πρὸς τὸ ὕφος ὅσον καὶ ὡς πρὸς τὰς ἐννοίας, εἶναι ἓν τῶν ἀρίστων προϊόντων τῆς ἐκκλησιαστικῆς φιλολογίας τῆς α' περιόδου καὶ δικαίως θεωρεῖται ὡς ὁ ἀδάμας τῆς ἀπολογητικῆς φιλολογίας· τὰ κεφάλαια μάλιστα 5 καὶ 6, περιέχοντα τεχνικωτάτας ἀντιθέσεις, θεωροῦνται ὑποδειγματικά.[2] Ἐν τῷ 7ῳ κεφαλαίῳ, περὶ τὸ τέλος, ὑπάρχει κενόν τι.

2. Ὁ συγγραφεύς. Καὶ ἤδη γεννᾶται τὸ ζήτημα τίς εἶναι ὁ συγγραφεὺς τῆς ἐπιστολῆς; Ὁ συγγραφεὺς δὲν ὀνομάζει ἑαυτόν, ἡ δ' ἀρχαία παράδοσις ἁπαξάπασα ἀγνοεῖ τὴν ἐπιστολήν, περὶ ἧς οὐδὲν ἄλλο μαρτύριον ἔχομεν ἢ τὸν μοναδικὸν κώδικα τοῦ ιγ' ἢ ιδ' αἰῶνος, δι' οὗ ἐγνώσθη ἡμῖν καὶ ὅστις ἐκάη κατὰ τὸν γαλλογερμανικὸν πόλεμον τοῦ 1870, ἐν τῇ βιβλιοθήκῃ τοῦ Στρασβούργου, ἔνθα εὑρίσκετο.

---

1. Δὲν εἶναι ἀπίθανον ὅτι τὸ ἀπόσπασμα τοῦτο ξένης ὁμιλίας προσεκολλήθη εἰς τὴν πρὸς Διόγνητον μόνον διὰ τὴν ἐν αὐτῷ περιεχομένην φράσιν «ἀποστόλων γενόμενος μαθητής» (11, 1), ἵνα φανῇ ὅτι ὁλόκληρος ἡ ἐπιστολὴ ἐγράφη ὑπὸ μαθητοῦ ἀποστόλων. Ὁ Bunsen κ. ἄ. ὑπεστήριξαν ὅτι πρόκειται περὶ τοῦ τέλους τοῦ συγγράμματος τοῦ Ἱππολύτου κατὰ πασῶν τῶν αἱρέσεων ἔλεγχος (Φιλοσοφούμενα). Χάριν τῆς ἱστορίας ἁπλῶς σημειοῦμεν ὅτι ὁ ἀρχιμανδρίτης Ἐμμ. Καρπάθιος—νῦν Μητροπολίτης Κῴου—(Συμπλήρωσις τοῦ χάσματος τῆς πρὸς Διόγνητον ἐπιστολῆς, Θεσσαλονίκη, 1925) δι' ἀσθενεστάτων ἐπιχειρημάτων ζητεῖ νὰ δείξῃ ὅτι μεταξὺ τῶν κεφαλαίων 10 καὶ 11 δέον νὰ παρεμβληθῶσι τὰ ὑπὸ τοῦ καρδιναλίου Μαΐ ἐν ἀραβικῇ γλώσσῃ εὑρεθέντα δύο ἀποσπάσματα ὑπὸ τὸ ὄνομα τοῦ Ἱεροθέου, ἅτινα ὁ Σεβ. Ἐμμ. Καρπάθιος θεωρεῖ γνήσια καὶ οὕτω παρίσταται ἀποδεχόμενος τὴν ὅλην ἐπιστολὴν ὡς ἔργον τοῦ Ἱεροθέου, τοῦ κατὰ τὰ συγγράμματα τοῦ ψευδο-Διονυσίου τοῦ ἀρεοπαγίτου, διατελέσαντος α' ἐπισκόπου Ἀθηνῶν. (Πρβλ. κρίσιν Κ. Δυοβουνιώτου ἐν «Θεολογίᾳ» 1925, σ. 180-182 καὶ ἀνταπάντησιν τοῦ Καρπαθίου αὐτόθι σ. 280-286). Σημειωτέον ὅτι ἀμφισβητεῖται αὐτὴ ἡ ὕπαρξις τοῦ Ἱεροθέου (πρβλ. Γ. Ι. Δέρβου, Λόγος περὶ τοῦ χρηματίσαντος πρώτου ἐπισκόπου Ἀθηνῶν, Ἀθῆναι 1913. Τοὐναντίον ὁ Σεβ. Ἐμμ. Καρπάθιος ἐν «Θεολογίᾳ» 1, 1923, σ. 222-227 οὐδόλως ἀμφιβάλλει ὅτι ὁ Ἱερόθεος ὑπῆρξεν ἐπίσκοπος Ἀθηνῶν, ἴσως ὁ πρῶτος).

2. Ἰδίως τὸ κεφ. 5: «Χριστιανοί... πατρίδας οἰκοῦσιν ἰδίας, ἀλλ' ὡς πάροικοι· μετέχουσι πάντων ὡς πολῖται καὶ πάνθ' ὑπομένουσιν ὡς ξένοι· πᾶσα ξένη πατρίς ἐστιν αὐτῶν καὶ πᾶσα πατρὶς ξένη· γαμοῦσιν ὡς πάντες, τεκνογονοῦσιν, ἀλλ' οὐ ῥίπτουσι τὰ γεννώμενα· τράπεζαν κοινὴν παρατίθενται, ἀλλ' οὐ κοινήν· ἐν σαρκὶ τυγχάνουσιν, ἀλλ' οὐ κατὰ σάρκα ζῶσιν· ἐπὶ γῆς διατρίβουσιν, ἀλλ' ἐν οὐρανῷ πολιτεύονται· πείθονται τοῖς ὡρισμένοις νόμοις, καὶ τοῖς ἰδίοις βίοις νικῶσι τοὺς νόμους· ἀγαπῶσι πάντας, καὶ ὑπὸ πάντων διώκονται· ἀγνοοῦνται, καὶ κατακρίνονται· θανατοῦνται, καὶ ζωοποιοῦνται· πτωχεύουσι, καὶ πλουτίζουσι πολλούς· πάντων ὑστεροῦνται, καὶ ἐν πᾶσι περισσεύουσιν· ἀτιμοῦνται, καὶ ἐν ταῖς ἀτιμίαις δοξάζονται· βλασφημοῦνται, καὶ δικαιοῦνται· λοιδοροῦνται, καὶ εὐλογοῦσιν· ὑβρίζονται, καὶ τιμῶσι· ἀγαθοποιοῦντες, ὡς κακοὶ κολάζονται· κολαζόμενοι, χαίρουσιν ὡς ζωοποιούμενοι· ὑπὸ Ἰουδαίων ὡς ἀλλόφυλοι πολεμοῦνται καὶ ὑπὸ Ἑλλήνων διώκονται καὶ τὴν αἰτίαν τῆς ἔχθρας εἰπεῖν οἱ μισοῦντες οὐκ ἔχουσιν».

Ἐν τῷ χειρογράφῳ τούτῳ, ὅπερ περιεῖχε κυρίως ἔργα τοῦ Ἰουστίνου, ἐχαρακτηρίζετο καὶ ἡ ἐπιστολὴ αὕτη ὡς ἔργον «τοῦ αὐτοῦ» (Ἰουστίνου) καὶ ὡς τοιοῦτο οὐ μόνον ἐξεδόθη ὑπὸ τοῦ α' ἐκδόντος ταύτην Ἑρρίκου Στεφάνου, τὸ 1592, ἀλλὰ καὶ γενικῶς ἐθεωρεῖτο μεχρι τοῦ ιζ' αἰῶνος. Ὁ Tillemont[1] πρῶτος ὑπέδειξε ὅτι συγγραφεὺς τῆς ἐπιστολῆς δὲν εἶναι δυνατὸν νὰ εἶναι ὁ Ἰουστῖνος, οὐ μόνον διότι οὐδεὶς ἀρχαῖος ἐκκλησιαστικὸς συγγραφεὺς ἀναφέρει μεταξὺ τῶν ἔργων τοῦ Ἰουστίνου ἐπιστολὴν πρὸς Διόγνητον, ἀλλὰ καὶ διότι τὸ ὕφος τῆς ἐπιστολῆς εἶναι διάφορον καὶ πολὺ ὑπέρτερον τῶν συγγραμμάτων τοῦ Ἰουστίνου· ἐνῷ προσέτι ὁ Ἰουστῖνος φέρει συχνότατα ἀποδεικτικὰ χωρία ἐκ τῆς Ἁ. Γραφῆς αὐτολεξεί, ἐν τῇ προκειμένῃ ἐπιστολῇ οὐδὲ ἓν χωρίον ἀναφέρεται αὐτολεξεὶ ἐκ τῆς Γραφῆς. Καταδειχθέντος ὅτι τὸ ἔργον δὲν ἐγράφη ὑπὸ τοῦ Ἰουστίνου, ἤρχισαν αἱ διάφοροι ὑποθέσεις καὶ ὑπεδείχθησαν ὑπὸ διαφόρων ὡς συγγραφεῖς ὁ Κλήμης Ρώμης, ὁ Ἀπολλώς, ὁ ἀπολογητὴς Ἀριστείδης, ὁ Μαρκίων, ὁ Ἀπελλῆς. Πᾶσαι ὅμως αἱ ὑποθέσεις αὗται εἶναι ὅλως ὑποκειμενικαὶ καὶ δὲν στηρίζονται ἐπὶ οὐδενὸς θετικοῦ δεδομένου.[2]

Καὶ ὁ χρόνος καθ' ὃν ἐγράφη ἡ ἐπιστολὴ εἶναι δυσεξακρίβωτος. Ὁ συγγραφεύς της παριστᾷ ὅτι γράφει κατὰ τὴν ἐποχὴν τῶν διωγμῶν·[3] ἀλλ' εἰς ποίαν ἐποχὴν τῶν διωγμῶν; ἐκ τοῦ πρώτου κεφαλαίου, ἔνθα παρίσταται ὁ Χριστιανισμὸς ὡς καινὴ Θρησκεία[4], ὡς καὶ ἐκ τῆς εἰκόνος ἣν δίδει ὁ συγγραφεὺς περὶ τῆς Χριστιανοσύνης ὡς ἀψόγου (πρβλ. ἰδίως κεφ. 5 καὶ 6), θὰ ἠδύνατό τις νὰ ὑποθέσῃ ὅτι τὸ ἔργον ἐγράφη κατὰ τὴν πρώτην ἐποχὴν τῶν διωγμῶν· ἀλλ' ἀφ' ἑτέρου ἐκ τοῦ ὅτι παρίστανται οἱ Χριστιανοὶ ἐξηπλωμένοι καθ' ὅλον τὸν κόσμον καὶ κατοικοῦντες «πόλεις ἑλληνίδας καὶ βαρβάρους[5]» θὰ ἠδύνατό τις νὰ συμπεράνῃ ὅτι πρόκειται περὶ μεταγενεστέρας ἐποχῆς τῶν διωγμῶν. Καὶ ταύτην τὴν β' γνώμην, καθ' ἣν τὸ ἔργον ἐγράφη κατὰ

---

1. *Mémoires pour servir à l'histoire ecclésiastique* τόμ. 2, Paris 1701, σ. 372.

2. Ἡ πρὸς Διόγνητον ἐπιστολὴ ἔχει ὁμοιότητά τινα ὕφους πρὸς τὴν ἀπολογίαν τοῦ Ἀριστείδου· ἐξ αὐτοῦ ὅμως νὰ ἐξαχθῇ σχέσις ἐξαρτήσεως ἢ ταὐτότης συγγραφέων εἶναι τολμηρόν. Ὡς ὀρθῶς λέγει ὁ Ehrhard «ἡ τάσις πρὸς ἀνακάλυψιν πανταχοῦ σχέσεων ἐξαρτήσεως καὶ πρὸς παράστασιν τῶν καθ' ἕκαστον συγγραφῶν ὡς προϊόντων λογοκλοπίας προγενεστέρων εἶναι μία ἐκ τῶν χειρίστων ἀπόψεων τῆς συγχρόνου φιλολογίας, δι' ἣν πᾶσα πρωτοτυπία εἶναι οἱονεὶ κάρφος εἰς τὸν ὀφθαλμόν». (*Die altk. Literatur u. i. Erforschung von 1884-1900*, Freiburg i. B., 1900, σ. 210).

3. «Χριστιανοὶ κολαζόμενοι καθ' ἡμέραν πλεονάζουσι μᾶλλον» (6, 9)· «μετέχουσι πάντων ὡς πολῖται καὶ πάνθ' ὑπομένουσιν ὡς ξένοι» (5, 5)· «οὐχ ὁρᾷς παραβαλλομένους θηρίοις, ἵνα ἀρνήσωνται τὸν Κύριον καὶ μὴ νικωμένους;» (7, 7).

4. «Καὶ τί δήποτε καινὸν τοῦτο τὸ γένος—τῶν Χριστιανῶν—ἢ ἐπιτήδευμα εἰσῆλθεν εἰς τὸν βίον νῦν καὶ οὐ πρότερον;»

5. 5, 4. 6, 1. 9 καὶ 7, 8.

τὸν γ' αἰῶνα, παραδέχονται σήμερον οἱ πλείονες, ἐν οἷς καὶ ὁ Harnack.[1]

Ἀπίθανος εἶναι ἡ γνώμη τοῦ Fr. Overbeck[2], καθ' ἣν ἡ ἐπιστολὴ ἐγράφη μετὰ τοὺς διωγμούς, κατὰ τὸν δ' αἰῶνα, ὑπ' ἀγνώστου συγγραφέως, ὅστις, θέλων νὰ προσδώσῃ τὴν ἐντύπωσιν ὅτι ἔγραφε κατὰ τὴν ἐποχὴν τῶν διωγμῶν, ἀπηύθυνε ταύτην δῆθεν πρὸς τὸν διδάσκαλον τοῦ Μάρκου Αὐρηλίου Διόγνητον. Ἡ δὲ γνώμη τοῦ ἄγγλου J. Donaldson[3], καθ' ἣν πρόκειται περὶ ῥητορικοῦ γυμνάσματος τῆς ἐποχῆς τῆς ἀναγεννήσεως, γραφέντος ὑφ' Ἕλληνός τινος καταφυγόντος εἰς Ἰταλίαν μετὰ τὴν ἅλωσιν ἢ καὶ ὑπὸ τοῦ πρώτου ἐκδόντος τὴν ἐπιστολὴν Ἑρ. Στεφάνου, εἶναι ὅλως ἀστήρικτος, ἀφοῦ τὸ χειρόγραφον ἐξ οὗ ἐγνώσθη αὕτη πάντως δὲν ἦτο μεταγενέστερον τοῦ ιδ' αἰῶνος.

---

1. *Geschichte d. altk. Literatur. Die Chronologie 1, Leipzig 1897, σ. 513-517.*

2. *Ueber den pseudojustinischen Brief an Diognet, Basel 1872.*

3. *A critical history of the Christian Literature and Doctrine from the death of the Apostles to the Nicene concil 2, London 1866, σ. 126-142.*

Β΄ ΚΕΙΜΕΝΟΝ*

[ΙΟΥΣΤΙΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ]
ΠΡΟΣ ΔΙΟΓΝΗΤΟΝ

Ι. Ἐπειδὴ ὁρῶ, κράτιστε Διόγνητε, ὑπερεσπουδακότα σε τὴν θεοσέβειαν τῶν Χριστιανῶν μαθεῖν καὶ πάνυ σαφῶς καὶ ἐπιμελῶς πυνθανόμενον περὶ αὐτῶν, τίνι τε θεῷ πεποιθότες καὶ πῶς θρησκεύοντες αὐτὸν τόν τε κόσμον ὑπερορῶσι πάντες καὶ θανάτου καταφρονοῦσι, καὶ οὔτε τοὺς νομιζομένους ὑπὸ τῶν Ἑλλήνων θεοὺς λογίζονται οὔτε τὴν Ἰουδαίων δεισιδαιμονίαν φυλάσσουσι, καὶ τίνα τὴν φιλοστοργίαν ἔχουσι πρὸς ἀλλήλους, καὶ τί δήποτε καινὸν τοῦτο γένος ἢ ἐπιτήδευμα εἰσῆλθεν εἰς τὸν βίον νῦν καὶ οὐ πρότερον· ἀποδέχομαί γε τῆς προθυμίας σε ταύτης καὶ παρὰ τοῦ θεοῦ, τοῦ καὶ τὸ λέγειν καὶ τὸ ἀκούειν ἡμῖν χορηγοῦντος, αἰτοῦμαι δοθῆναι ἐμοὶ μὲν εἰπεῖν οὕτως ὡς μάλιστα ἂν ἀκούσαντά σε βελτίω γενέσθαι, σοί τε οὕτως ἀκοῦσαι ὡς μὴ λυπηθῆναι τὸν εἰπόντα.

ΙΙ. Ἄγε δὴ καθάρας σεαυτὸν ἀπὸ πάντων τῶν προκατεχόντων σου τὴν διάνοιαν λογισμῶν, καὶ τὴν ἀπατῶσάν σε συνήθειαν ἀποσκευασάμενος, καὶ γενόμενος ὥσπερ ἐξ ἀρχῆς καινὸς ἄνθρωπος, ὡς ἂν καὶ λόγου καινοῦ, καθάπερ καὶ αὐτὸς ὡμολόγησας, ἀκροατὴς ἐσόμενος· ἴδε μὴ μόνον τοῖς ὀφθαλμοῖς ἀλλὰ καὶ τῇ φρονήσει τίνος ὑποστάσεως ἢ τίνος εἴδους τυγχάνουσιν οὓς ἐρεῖτε καὶ νομίζετε θεούς. 2. οὐχ ὁ μέν τις λίθος ἐστὶν ὅμοιος τῷ πατουμένῳ, ὁ δ᾽ ἐστὶ χαλκὸς οὐ κρείσσων τῶν εἰς τὴν χρῆσιν ἡμῖν κεχαλκευμένων σκευῶν, ὁ δὲ ξύλον ἤδη καὶ σεσηπός, ὁ δὲ ἄργυρος χρήζων ἀνθρώπου τοῦ φυλάξαντος ἵνα μὴ κλαπῇ, ὁ δὲ σίδηρος ὑπὸ ἰοῦ διεφθαρμένος, ὁ δὲ ὄστρακον, οὐδὲν τοῦ κατεσκευασμένου πρὸς τὴν ἀτιμοτάτην ὑπηρεσίαν εὐπρεπέστερον; 3. οὐ φθαρτῆς ὕλης ταῦτα πάντα; οὐχ ὑπὸ σιδήρου καὶ πυρὸς κεχαλκευμένα; οὐχ ὃ μὲν αὐτῶν λιθοξόος ὃ δὲ χαλκεὺς ὃ δὲ ἀργυροκόπος ὃ δὲ κεραμεὺς ἔπλασεν; οὐ πρὶν ἢ ταῖς τέχναις τούτων εἰς τὴν μορφὴν τούτων ἐκτυπωθῆναι ἦν ἕκαστον αὐτῶν ἑκάστῳ εἰκάζειν μεταμεμορφωμένον; οὐ τὰ νῦν ἐκ τῆς αὐτῆς ὕλης ὄντα σκεύη γένοιτ᾽ ἄν, εἰ τύχοι τῶν αὐτῶν τεχνιτῶν, ὅμοια τοιούτοις; 4. οὐ ταῦτα πάλιν τὰ νῦν ὑφ᾽ ὑμῶν προσκυνούμενα δύναιτ᾽ ἂν ὑπὸ ἀνθρώπων σκεύη ὅμοια γενέσθαι τοῖς λοιποῖς; οὐ κωφὰ πάντα, οὐ τυφλά, οὐκ ἄψυχα, οὐκ ἀναίσθητα, οὐκ ἀκίνητα; οὐ πάντα σηπόμενα, οὐ πάντα φθειρόμενα; 5. ταῦτα θεοὺς καλεῖτε, τούτοις δουλεύετε, τούτοις προσκυνεῖτε· τέλεον δ᾽ αὐτοῖς ἐξομοιοῦσθε. 6. διὰ τοῦτο μισεῖτε Χριστιανούς, ὅτι

* Ἰδὲ ὑποσημείωσιν ἐν σελ. 215.

τούτους οὐχ ἡγοῦνται θεούς. 7. ὑμεῖς γὰρ αἰνεῖν νομίζοντες καὶ οἰόμενοι, οὐ πολὺ πλέον αὐτῶν καταφρονεῖτε; οὐ πολὺ μᾶλλον αὐτοὺς χλευάζετε καὶ ὑβρίζετε, τοὺς μὲν λιθίνους καὶ ὀστρακίνους σέβοντες ἀφυλάκτους, τοὺς δὲ ἀργυρέους καὶ χρυσοῦς ἐγκλείοντες ταῖς νυξί, καὶ ταῖς ἡμέραις φύλακας παρακαθιστάντες, ἵνα μὴ κλαπῶσιν; 8. αἷς δὲ δοκεῖτε τιμαῖς προσφέρειν, εἰ μὲν αἰσθάνονται κολάζετε μᾶλλον αὐτούς, εἰ δὲ ἀναισθητοῦσιν ἐλέγχοντες αἵματι καὶ κνίσαις αὐτοὺς θρησκεύετε. 9. ταῦθ' ὑμῶν τις ὑπομεινάτω, ταῦτα ἀνασχέσθω τις ἑαυτῷ γενέσθαι. ἀλλὰ ἄνθρωπος μὲν οὐδὲ εἷς ταύτης τῆς κολάσεως ἑκὼν ἀνέξεται, αἴσθησιν γὰρ ἔχει καὶ λογισμόν· ὁ δὲ λίθος ἀνέχεται, ἀναισθητεῖ γάρ. οὐκοῦν τὴν αἴσθησιν αὐτοῦ ἐλέγχετε. 10. περὶ μὲν οὖν τοῦ μὴ δεδουλῶσθαι Χριστιανοὺς τοιούτοις θεοῖς πολλὰ μὲν ἂν καὶ ἄλλα εἰπεῖν ἔχοιμι· εἰ δέ τινι μὴ δοκοίη κἂν ταῦτα ἱκανά, περισσὸν ἡγοῦμαι καὶ τὸ πλείω λέγειν.

III. Ἑξῆς δὲ περὶ τοῦ μὴ κατὰ τὰ αὐτὰ Ἰουδαίοις θεοσεβεῖν αὐτοὺς οἶμαί σε μάλιστα ποθεῖν ἀκοῦσαι. 2. Ἰουδαῖοι τοίνυν εἰ μὲν ἀπέχονται ταύτης τῆς προειρημένης λατρείας, καλῶς θεὸν ἕνα τῶν πάντων σέβειν καὶ δεσπότην ἀξιοῦσι φρονεῖν· εἰ δὲ τοῖς προειρημένοις ὁμοιοτρόπως τὴν θρησκείαν προσάγουσιν αὐτῷ ταύτην, διαμαρτάνουσιν. 3. ἃ γὰρ τοῖς ἀναισθήτοις καὶ κωφοῖς προσφέροντες οἱ Ἕλληνες ἀφροσύνης δεῖγμα παρέχουσι, ταῦθ' οὗτοι καθάπερ προσδεομένῳ τῷ θεῷ λογιζόμενοι παρέχειν μωρίαν εἰκὸς μᾶλλον ἡγοῖντ' ἄν, οὐ θεοσέβειαν. 4. ὁ γὰρ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς καὶ πᾶσιν ἡμῖν χορηγῶν ὧν προσδεόμεθα, οὐδενὸς ἂν αὐτὸς προσδέοιτο τούτων ὧν τοῖς οἰομένοις διδόναι παρέχει αὐτός. 5. οἱ δέ γε θυσίας αὐτῷ δι' αἵματος καὶ κνίσης καὶ ὁλοκαυτωμάτων ἐπιτελεῖν οἰόμενοι καὶ ταύταις ταῖς τιμαῖς αὐτὸν γεραίρειν, οὐδέν μοι δοκοῦσι διαφέρειν τῶν εἰς τὰ κωφὰ τὴν αὐτὴν ἐνδεικνυμένων φιλοτιμίαν· τῶν μὲν μὴ δυναμένοις τῆς τιμῆς μεταλαμβάνειν, τῶν δὲ δοκούντων παρέχειν τῷ μηδενὸς προσδεομένῳ.

IV. Ἀλλὰ μὴν τό γε περὶ τὰς βρώσεις αὐτῶν ψοφοδεές, καὶ τὴν περὶ τὰ σάββατα δεισιδαιμονίαν, καὶ τὴν τῆς περιτομῆς ἀλαζονείαν, καὶ τὴν τῆς νηστείας καὶ νουμηνίας εἰρωνείαν, καταγέλαστα καὶ οὐδενὸς ἄξια λόγου οὐ νομίζω σε χρῄζειν παρ' ἐμοῦ μαθεῖν. 2. τό τε γὰρ τῶν ὑπὸ τοῦ θεοῦ κτισθέντων εἰς χρῆσιν ἀνθρώπων ἃ μὲν ὡς καλῶς κτισθέντα παραδέχεσθαι, ἃ δ' ὡς ἄχρηστα καὶ περισσὰ παραιτεῖσθαι, πῶς οὐκ ἀθέμιστον; 3. τὸ δὲ καταψεύδεσθαι θεοῦ ὡς κωλύοντος ἐν τῇ τῶν σαββάτων ἡμέρᾳ καλόν τι ποιεῖν, πῶς οὐκ ἀσεβές; 4. τὸ δὲ καὶ τὴν μείωσιν τῆς σαρκὸς μαρτύριον ἐκλογῆς ἀλαζονεύεσθαι ὡς διὰ τοῦτο ἐξαιρέτως ἠγαπημένους ὑπὸ θεοῦ, πῶς οὐ χλεύης ἄξιον; 5. τὸ δὲ παρεδρεύοντας αὐτοὺς ἄστροις καὶ σελήνῃ τὴν παρατήρησιν τῶν μηνῶν καὶ τῶν ἡμερῶν ποιεῖσθαι, καὶ τὰς οἰκονομίας θεοῦ καὶ τὰς τῶν καιρῶν ἀλλαγὰς καταδιαιρεῖν πρὸς τὰς αὐτῶν ὁρμάς, ἃς μὲν εἰς

ἑορτάς, ἃς δὲ εἰς πένθη· τίς ἂν θεοσεβείας καὶ οὐκ ἀφροσύνης πολὺ πλέον ἡγήσαιτο δεῖγμα; 6. τῆς μὲν οὖν κοινῆς εἰκαιότητος καὶ ἀπάτης καὶ τῆς Ἰουδαίων πολυπραγμοσύνης καὶ ἀλαζονείας ὡς ὀρθῶς ἀπέχονται Χριστιανοί, ἀρκούντως σε νομίζω μεμαθηκέναι· τὸ δὲ τῆς ἰδίας αὐτῶν θεοσεβείας μυστήριον μὴ προσδοκήσῃς δύνασθαι παρὰ ἀνθρώπου μαθεῖν.

V. Χριστιανοὶ γὰρ οὔτε γῇ οὔτε φωνῇ οὔτε ἔθεσι διακεκριμένοι τῶν λοιπῶν εἰσὶν ἀνθρώπων. 2. οὔτε γάρ που πόλεις ἰδίας κατοικοῦσιν οὔτε διαλέκτῳ τινὶ παρηλλαγμένῃ χρῶνται οὔτε βίον παράσημον ἀσκοῦσιν. 3. οὐ μὴν ἐπινοίᾳ τινὶ καὶ φροντίδι πολυπραγμόνων ἀνθρώπων μάθημα τοιοῦτ' αὐτοῖς ἐστὶν εὑρημένον, οὐδὲ δόγματος ἀνθρωπίνου προεστᾶσιν ὥσπερ ἔνιοι. 4. κατοικοῦντες δὲ πόλεις Ἑλληνίδας τε καὶ βαρβάρους ὡς ἕκαστος ἐκληρώθη, καὶ τοῖς ἐγχωρίοις ἔθεσιν ἀκολουθοῦντες ἔν τε ἐσθῆτι καὶ διαίτῃ καὶ τῷ λοιπῷ βίῳ, θαυμαστὴν καὶ ὁμολογουμένως παράδοξον ἐνδείκνυνται τὴν κατάστασιν τῆς ἑαυτῶν πολιτείας. 5. πατρίδας οἰκοῦσιν ἰδίας, ἀλλ' ὡς πάροικοι· μετέχουσι πάντων ὡς πολῖται, καὶ πάνθ' ὑπομένουσιν ὡς ξένοι· πᾶσα ξένη πατρίς ἐστιν αὐτῶν, καὶ πᾶσα πατρὶς ξένη. 6. γαμοῦσιν ὡς πάντες, τεκνογονοῦσιν· ἀλλ' οὐ ῥίπτουσι τὰ γεννώμενα. 7. τράπεζαν κοινὴν παρατίθενται, ἀλλ' οὐ κοινήν. 8. ἐν σαρκὶ τυγχάνουσιν, ἀλλ' οὐ κατὰ σάρκα ζῶσιν. 9. ἐπὶ γῆς διατρίβουσιν, ἀλλ' ἐν οὐρανῷ πολιτεύονται. 10. πείθονται τοῖς ὡρισμένοις νόμοις, καὶ τοῖς ἰδίοις βίοις νικῶσι τοὺς νόμους. 11. ἀγαπῶσι πάντας, καὶ ὑπὸ πάντων διώκονται. 12. ἀγνοοῦνται, καὶ κατακρίνονται· θανατοῦνται, καὶ ζωοποιοῦνται. 13. πτωχεύουσι, καὶ πλουτίζουσι πολλούς· πάντων ὑστεροῦνται, καὶ ἐν πᾶσι περισσεύουσιν. 14. ἀτιμοῦνται, καὶ ἐν ταῖς ἀτιμίαις δοξάζονται· βλασφημοῦνται, καὶ δικαιοῦνται. 15. λοιδοροῦνται, καὶ εὐλογοῦσιν· ὑβρίζονται, καὶ τιμῶσιν. 16. ἀγαθοποιοῦντες ὡς κακοὶ κολάζονται· κολαζόμενοι χαίρουσιν ὡς ζωοποιούμενοι. 17. ὑπὸ Ἰουδαίων ὡς ἀλλόφυλοι πολεμοῦνται καὶ ὑπὸ Ἑλλήνων διώκονται, καὶ τὴν αἰτίαν τῆς ἔχθρας εἰπεῖν οἱ μισοῦντες οὐκ ἔχουσιν.

VI. Ἁπλῶς δ' εἰπεῖν, ὅπερ ἐστὶν ἐν σώματι ψυχή, τοῦτ' εἰσὶν ἐν κόσμῳ Χριστιανοί. 2. ἔσπαρται κατὰ πάντων τῶν τοῦ σώματος μελῶν ἡ ψυχή, καὶ Χριστιανοὶ κατὰ τὰς τοῦ κόσμου πόλεις. 3. οἰκεῖ μὲν ἐν τῷ σώματι ψυχή, οὐκ ἔστι δὲ ἐκ τοῦ σώματος· καὶ Χριστιανοὶ ἐν κόσμῳ οἰκοῦσιν, οὐκ εἰσὶ δὲ ἐκ τοῦ κόσμου. 4. ἀόρατος ἡ ψυχὴ ἐν ὁρατῷ φρουρεῖται τῷ σώματι· καὶ Χριστιανοὶ γινώσκονται μὲν ὄντες ἐν τῷ κόσμῳ, ἀόρατος δὲ αὐτῶν ἡ θεοσέβεια μένει. 5. μισεῖ τὴν ψυχὴν ἡ σὰρξ καὶ πολεμεῖ μηδὲν ἀδικουμένη, διότι ταῖς ἡδοναῖς κωλύεται χρῆσθαι· μισεῖ καὶ Χριστιανοὺς ὁ κόσμος μηδὲν ἀδικούμενος, ὅτι ταῖς ἡδοναῖς ἀντιτάσσονται. 6. ἡ ψυχὴ τὴν μισοῦσαν ἀγαπᾷ σάρκα καὶ τὰ μέλη· καὶ Χριστιανοὶ τοὺς μισοῦντας ἀγαπῶσιν. 7. ἐγκέκλεισται μὲν ἡ ψυχὴ τῷ σώματι, συνέχει δὲ αὐτὴ τὸ σῶμα· καὶ Χριστιανοὶ κατέ-

χονται μὲν ὡς ἐν φρουρᾷ τῷ κόσμῳ, αὐτοὶ δὲ συνέχουσι τὸν κόσμον. 8. ἀθάνατος ἡ ψυχὴ ἐν θνητῷ σκηνώματι κατοικεῖ· καὶ Χριστιανοὶ παροικοῦσιν ἐν φθαρτοῖς, τὴν ἐν οὐρανοῖς ἀφθαρσίαν προσδεχόμενοι. 9. κακουργουμένη σιτίοις καὶ ποτοῖς ἡ ψυχὴ βελτιοῦται· καὶ Χριστιανοὶ κολαζόμενοι καθ' ἡμέραν πλεονάζουσι μᾶλλον. 10. Εἰς τοσαύτην αὐτοὺς τάξιν ἔθετο ὁ θεός, ἣν οὐ θεμιτὸν αὐτοῖς παραιτήσασθαι.

VII. Οὐ γὰρ ἐπίγειον, ὡς ἔφην, εὕρημα τοῦτ' αὐτοῖς παρεδόθη, οὐδὲ θνητὴν ἐπίνοιαν φυλάσσειν οὕτως ἀξιοῦσιν ἐπιμελῶς, οὐδὲ ἀνθρωπίνων οἰκονομίαν μυστηρίων πεπίστευνται. 2. ἀλλ' αὐτὸς ἀληθῶς ὁ παντοκράτωρ καὶ παντοκτίστης καὶ ἀόρατος θεός, αὐτὸς ἀπ' οὐρανῶν τὴν ἀλήθειαν καὶ τὸν λόγον τὸν ἅγιον καὶ ἀπερινόητον ἀνθρώποις ἐνίδρυσε καὶ ἐγκατεστήριξε ταῖς καρδίαις αὐτῶν, οὐ καθάπερ ἄν τις εἰκάσειεν ἄνθρωπος, ὑπηρέτην τινὰ πέμψας ἢ ἄγγελον ἢ ἄρχοντα ἤ τινα τῶν διεπόντων τὰ ἐπίγεια ἤ τινα τῶν πεπιστευμένων τὰς ἐν οὐρανοῖς διοικήσεις, ἀλλ' αὐτὸν τὸν τεχνίτην καὶ δημιουργὸν τῶν ὅλων, ᾧ τοὺς οὐρανοὺς ἔκτισεν, ᾧ τὴν θάλασσαν ἰδίοις ὅροις ἐνέκλεισεν, οὗ τὰ μυστήρια πιστῶς πάντα φυλάσσει τὰ στοιχεῖα, παρ' οὗ τὰ μέτρα τῶν τῆς ἡμέρας δρόμων ἥλιος εἴληφε φυλάσσειν, ᾧ πειθαρχεῖ σελήνη νυκτὶ φαίνειν κελεύοντι, ᾧ πειθαρχεῖ τὰ ἄστρα τῷ τῆς σελήνης ἀκολουθοῦντα δρόμῳ, ᾧ πάντα διατέτακται καὶ διώρισται καὶ ὑποτέτακται, οὐρανοὶ καὶ τὰ ἐν οὐρανοῖς, γῆ καὶ τὰ ἐν τῇ γῇ, θάλασσα καὶ τὰ ἐν τῇ θαλάσσῃ ,πῦρ, ἀήρ, ἄβυσσος, τὰ ἐν ὕψεσι, τὰ ἐν βάθεσι, τὰ ἐν τῷ μεταξύ· τοῦτον πρὸς αὐτοὺς ἀπέστειλεν. 3. ἆρά γε, ὡς ἀνθρώπων ἄν τις λογίσαιτο, ἐπὶ τυραννίδι καὶ φόβῳ καὶ καταπλήξει; 4. οὐμενοῦν· ἀλλ' ἐν ἐπιεικείᾳ καὶ πραΰτητι ὡς βασιλεὺς πέμπων υἱὸν βασιλέα ἔπεμψεν, ὡς θεὸν ἔπεμψεν, ὡς ἄνθρωπον πρὸς ἀνθρώπους ἔπεμψεν, ὡς σώζων ἔπεμψεν, ὡς πείθων, οὐ βιαζόμενος· βία γὰρ οὐ πρόσεστι τῷ θεῷ. 5. ἔπεμψεν ὡς καλῶν, οὐ διώκων· ἔπεμψεν ὡς ἀγαπῶν, οὐ κρίνων. 6. πέμψει γὰρ αὐτὸν κρίνοντα, καὶ τίς αὐτοῦ τὴν παρουσίαν ὑποστήσεται;... 7. Οὐχ ὁρᾷς παραβαλλομένους θηρίοις, ἵνα ἀρνήσωνται τὸν κύριον, καὶ μὴ νικωμένους; 8. οὐχ ὁρᾷς ὅσῳ πλείονες κολάζονται, τοσούτῳ πλεονάζοντας ἄλλους; 9. ταῦτα ἀνθρώπου οὐ δοκεῖ τὰ ἔργα, ταῦτα δύναμίς ἐστι θεοῦ· ταῦτα τῆς παρουσίας αὐτοῦ δείγματα.

VIII. Τίς γὰρ ὅλως ἀνθρώπων ἠπίστατο τί ποτ' ἐστὶ θεός, πρὶν αὐτὸν ἐλθεῖν; 2. ἢ τοὺς κενοὺς καὶ ληρώδεις ἐκείνων λόγους ἀποδέχῃ τῶν ἀξιοπίστων φιλοσόφων; ὧν οἱ μέν τινες πῦρ ἔφασαν εἶναι τὸν θεόν (οὗ μέλλουσι χωρήσειν αὐτοί, τοῦτο καλοῦσι θεόν), οἱ δὲ ὕδωρ, οἱ δ' ἄλλο τι τῶν στοιχείων τῶν ἐκτισμένων ὑπὸ θεοῦ. 3. καίτοι γε εἴ τις τούτων τῶν λόγων ἀπόδεκτός ἐστι, δύναιτ' ἂν καὶ τῶν λοιπῶν κτισμάτων ἓν ἕκαστον ὁμοίως ἀποφαίνεσθαι θεόν. 4. ἀλλὰ ταῦτα μὲν τερατεία καὶ πλάνη τῶν γοήτων ἐστίν· 5. ἀνθρώπων δὲ οὐδεὶς οὔτε εἶδεν οὔτε ἐγνώρισεν, αὐτὸς δὲ ἑαυτὸν ἐπέδειξεν. 6. ἐπέδειξε δὲ διὰ

πίστεως, ᾗ μόνῃ θεὸν ἰδεῖν συγκεχώρηται. 7. Ὁ γὰρ δεσπότης καὶ δημιουργὸς τῶν ὅλων θεός, ὁ ποιήσας τὰ πάντα καὶ κατὰ τάξιν διακρίνας, οὐ μόνον φιλάνθρωπος ἐγένετο ἀλλὰ καὶ μακρόθυμος. 8. ἀλλ' οὗτος ἦν μὲν ἀεὶ τοιοῦτος, καὶ ἔστι, καὶ ἔσται· χρηστὸς καὶ ἀγαθὸς καὶ ἀόργητος καὶ ἀληθής, καὶ μόνος ἀγαθός ἐστιν· 9. ἐννοήσας δὲ μεγάλην καὶ ἄφραστον ἔννοιαν ἀνεκοινώσατο μόνῳ τῷ παιδί. 10. Ἐν ὅσῳ μὲν οὖν κατεῖχεν ἐν μυστηρίῳ καὶ διετήρει τὴν σοφὴν αὐτοῦ βουλήν, ἀμελεῖν ἡμῶν καὶ ἀφροντιστεῖν ἐδόκει· 11. ἐπεὶ δὲ ἀπεκάλυψε διὰ τοῦ ἀγαπητοῦ παιδὸς καὶ ἐφανέρωσε τὰ ἐξ ἀρχῆς ἡτοιμασμένα, πάνθ' ἅμα παρέσχεν ἡμῖν, καὶ μετασχεῖν τῶν εὐεργεσιῶν αὐτοῦ καὶ ἰδεῖν καὶ νοῆσαι ἃ τίς ἂν πώποτε προσεδόκησεν ἡμῶν;

IX. Πάντ' οὖν ἤδη παρ' ἑαυτῷ σὺν τῷ παιδὶ οἰκονομηκώς, μέχρι μὲν τοῦ πρόσθεν χρόνου εἴασεν ἡμᾶς ὡς ἐβουλόμεθα ἀτάκτοις φοραῖς φέρεσθαι, ἡδοναῖς καὶ ἐπιθυμίαις ἀπαγομένους, οὐ πάντως ἐφηδόμενος τοῖς ἁμαρτήμασιν ἡμῶν, ἀλλ' ἀνεχόμενος, οὐδὲ τῷ τότε τῆς ἀδικίας καιρῷ συνευδοκῶν, ἀλλὰ τὸν νῦν τῆς δικαιοσύνης δημιουργῶν, ἵνα ἐν τῷ τότε χρόνῳ ἐλεγχθέντες ἐκ τῶν ἰδίων ἔργων ἀνάξιοι ζωῆς νῦν ὑπὸ τῆς τοῦ θεοῦ χρηστότητος ἀξιωθῶμεν καὶ τὸ καθ' ἑαυτοὺς φανερώσαντες ἀδύνατον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ τῇ δυνάμει τοῦ θεοῦ δυνατοὶ γενηθῶμεν. 2. ἐπεὶ δὲ πεπλήρωτο μὲν ἡ ἡμετέρα ἀδικία, καὶ τελείως πεφανέρωτο ὅτι ὁ μισθὸς αὐτῆς κόλασις καὶ θάνατος προσεδοκᾶτο, ἦλθε δὲ ὁ καιρὸς ὃν θεὸς προέθετο λοιπὸν φανερῶσαι τὴν ἑαυτοῦ χρηστότητα καὶ δύναμιν (ὢ τῆς ὑπερβαλλούσης φιλανθρωπίας καὶ ἀγάπης τοῦ θεοῦ), οὐκ ἐμίσησεν ἡμᾶς οὐδὲ ἀπώσατο οὐδὲ ἐμνησικάκησεν, ἀλλὰ ἐμακροθύμησεν, ἠνέσχετο, ἐλεῶν αὐτὸς τὰς ἡμετέρας ἁμαρτίας ἀνεδέξατο, αὐτὸς τὸν ἴδιον υἱὸν ἀπέδοτο λύτρον ὑπὲρ ἡμῶν, τὸν ἅγιον ὑπὲρ ἀνόμων, τὸν ἄκακον ὑπὲρ τῶν κακῶν, τὸν δίκαιον ὑπὲρ τῶν ἀδίκων, τὸν ἄφθαρτον ὑπὲρ τῶν φθαρτῶν, τὸν ἀθάνατον ὑπὲρ τῶν θνητῶν. 3. Τί γὰρ ἄλλο τὰς ἁμαρτίας ἡμῶν ἠδυνήθη καλύψαι ἢ ἐκείνου δικαιοσύνη; 4. ἐν τίνι δικαιωθῆναι δυνατὸν τοὺς ἀνόμους ἡμᾶς καὶ ἀσεβεῖς ἢ ἐν μόνῳ τῷ υἱῷ τοῦ θεοῦ; 5. ὢ τῆς γλυκείας ἀνταλλαγῆς, ὢ τῆς ἀνεξιχνιάστου δημιουργίας, ὢ τῶν ἀπροσδοκήτων εὐεργεσιῶν· ἵνα ἀνομία μὲν πολλῶν ἐν δικαίῳ ἑνὶ κρυβῇ, δικαιοσύνη δὲ ἑνὸς πολλοὺς ἀνόμους δικαιώσῃ. 6. ἐλέγξας οὖν ἐν μὲν τῷ πρόσθεν χρόνῳ τὸ ἀδύνατον τῆς ἡμετέρας φύσεως εἰς τὸ τυχεῖν ζωῆς, νῦν δὲ τὸν σωτῆρα δείξας δυνατὸν σώζειν καὶ τὰ ἀδύνατα, ἐξ ἀμφοτέρων ἐβουλήθη πιστεύειν ἡμᾶς τῇ χρηστότητι αὐτοῦ, αὐτὸν ἡγεῖσθαι τροφέα, πατέρα, διδάσκαλον, σύμβουλον, ἰατρόν, νοῦν, φῶς, τιμήν, δόξαν, ἰσχύν, ζωήν, περὶ ἐνδύσεως καὶ τροφῆς μὴ μεριμνᾶν.

X. Ταύτην καὶ σὺ τὴν πίστιν ἐὰν ποθῇς, κατάλαβε πρῶτον μὲν ἐπίγνωσιν πατρός. 2. ὁ γὰρ θεὸς τοὺς ἀνθρώπους ἠγάπησε, δι' οὓς ἐποίησε τὸν κόσμον, οἷς ὑπέταξε πάντα τὰ ἐν τῇ γῇ, οἷς λόγον ἔδωκεν, οἷς νοῦν, οἷς μόνοις ἄνω πρὸς αὐτὸν ὁρᾶν ἐπέτρεψεν, οὓς ἐκ τῆς

ἰδίας εἰκόνος ἔπλασε, πρὸς οὓς ἀπέστειλε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, οἷς τὴν ἐν οὐρανῷ βασιλείαν ἐπηγγείλατο καὶ δώσει τοῖς ἀγαπήσασιν αὐτόν. 3. ἐπιγνοὺς δέ, τίνος οἴει πληρωθήσεσθαι χαρᾶς; ἢ πῶς ἀγαπήσεις τὸν οὕτως προαγαπήσαντά σε; 4. ἀγαπήσας δὲ μιμητὴς ἔσῃ αὐτοῦ τῆς χρηστότητος. καὶ μὴ θαυμάσῃς εἰ δύναται μιμητὴς ἄνθρωπος γενέσθαι θεοῦ· δύναται θέλοντος αὐτοῦ. 5. οὐ γὰρ τὸ καταδυναστεύειν τῶν πλησίον οὐδὲ τὸ πλέον ἔχειν βούλεσθαι τῶν ἀσθενεστέρων οὐδὲ τὸ πλουτεῖν καὶ βιάζεσθαι τοὺς ὑποδεεστέρους εὐδαιμονεῖν ἐστίν, οὐδὲ ἐν τούτοις δύναταί τις μιμήσασθαι θεόν, ἀλλὰ ταῦτα ἐκτὸς τῆς ἐκείνου μεγαλειότητος· 6. ἀλλ' ὅστις τὸ τοῦ πλησίον ἀναδέχεται βάρος, ὃς ἐν ᾧ κρείσσων ἐστὶν ἕτερον τὸν ἐλαττούμενον εὐεργετεῖν ἐθέλει, ὃς ἃ παρὰ τοῦ θεοῦ λαβὼν ἔχει, ταῦτα τοῖς ἐπιδεομένοις χορηγῶν θεὸς γίνεται τῶν λαμβανόντων, οὗτος μιμητής ἐστι θεοῦ. 7. Τότε θεάσῃ τυγχάνων ἐπὶ γῆς ὅτι θεὸς ἐν οὐρανοῖς πολιτεύεται, τότε μυστήρια θεοῦ λαλεῖν ἄρξῃ, τότε τοὺς κολαζομένους ἐπὶ τῷ μὴ θέλειν ἀρνήσασθαι θεὸν καὶ ἀγαπήσεις καὶ θαυμάσεις, τότε τῆς ἀπάτης τοῦ κόσμου καὶ τῆς πλάνης καταγνώσῃ, ὅταν τὸ ἀληθῶς ἐν οὐρανῷ ζῆν ἐπιγνῷς, ὅταν τοῦ δοκοῦντος ἐνθάδε θανάτου καταφρονήσῃς, ὅταν τὸν ὄντως θάνατον φοβηθῇς, ὃς φυλάσσεται τοῖς κατακριθησομένοις εἰς τὸ πῦρ τὸ αἰώνιον, ὃ τοὺς παραδοθέντας αὐτῷ μέχρι τέλους κολάσει. 8. τότε τοὺς ὑπομένοντας ὑπὲρ δικαιοσύνης θαυμάσεις τὸ πῦρ τὸ πρόσκαιρον, καὶ μακαρίσεις, ὅταν ἐκεῖνο τὸ πῦρ ἐπιγνῷς...

XI. [Οὐ ξένα ὁμιλῶ οὐδὲ παραλόγως ζητῶ, ἀλλὰ ἀποστόλων γενόμενος μαθητὴς γίνομαι διδάσκαλος ἐθνῶν, τὰ παραδοθέντα ἀξίως ὑπηρετῶν γινομένοις ἀληθείας μαθηταῖς. 2. τίς γὰρ ὀρθῶς διδαχθεὶς καὶ λόγῳ προσφιλὴς γενηθεὶς οὐκ ἐπιζητεῖ σαφῶς μαθεῖν τὰ διὰ λόγου δειχθέντα φανερῶς μαθηταῖς; οἷς ἐφανέρωσεν ὁ λόγος φανείς, παρρησίᾳ λαλῶν, ὑπὸ ἀπίστων μὴ νοούμενος, μαθηταῖς δὲ διηγούμενος, οἳ πιστοὶ λογισθέντες ὑπ' αὐτοῦ ἔγνωσαν πατρὸς μυστήρια. 3. οὗ χάριν ἀπέστειλε λόγον, ἵνα κόσμῳ φανῇ, ὃς ὑπὸ λαοῦ ἀτιμασθείς, διὰ ἀποστόλων κηρυχθείς, ὑπὸ ἐθνῶν ἐπιστεύθη. 4. Οὗτος ὁ ἀπ' ἀρχῆς, ὁ καινὸς φανεὶς καὶ παλαιὸς εὑρεθεὶς καὶ πάντοτε νέος ἐν ἁγίων καρδίαις γεννώμενος. 5. οὗτος ὁ ἀεί, ὁ σήμερον υἱὸς λογισθείς, δι' οὗ πλουτίζεται ἡ ἐκκλησία καὶ χάρις ἁπλουμένη ἐν ἁγίοις πληθύνεται, παρέχουσα νοῦν, φανεροῦσα μυστήρια, διαγγέλλουσα καιρούς, χαίρουσα ἐπὶ πιστοῖς, ἐπιζητοῦσι δωρουμένη, οἷς ὅρκια πίστεως οὐ θραύεται οὐδὲ ὅρια πατέρων παρορίζεται. 6. εἶτα φόβος νόμου ᾄδεται καὶ προφητῶν χάρις γινώσκεται καὶ εὐαγγελίων πίστις ἵδρυται καὶ ἀποστόλων παράδοσις φυλάσσεται καὶ ἐκκλησίας χάρις σκιρτᾷ. 7. ἣν χάριν μὴ λυπῶν ἐπιγνώσῃ ἃ λόγος ὁμιλεῖ δι' ὧν βούλεται, ὅτε θέλει. 8. ὅσα γὰρ θελήματι τοῦ κελεύοντος λόγου ἐκινήθημεν

ἐξειπεῖν μετὰ πόνου, ἐξ ἀγάπης τῶν ἀποκαλυφθέντων ἡμῖν γινόμεθα ὑμῖν κοινωνοί.

XII. Οἷς ἐντυχόντες καὶ ἀκούσαντες μετὰ σπουδῆς εἴσεσθε ὅσα παρέχει ὁ θεὸς τοῖς ἀγαπῶσιν ὀρθῶς, οἱ γενόμενοι παράδεισος τρυφῆς, πάγκαρπον ξύλον, εὐθαλοῦν, ἀνατείλαντες ἐν ἑαυτοῖς, ποικίλοις καρποῖς κεκοσμημένοι. 2. ἐν γὰρ τούτῳ τῷ χωρίῳ ξύλον γνώσεως καὶ ξύλον ζωῆς πεφύτευται· ἀλλ' οὐ τὸ τῆς γνώσεως ἀναιρεῖ, ἀλλ' ἡ παρακοὴ ἀναιρεῖ. 3. οὐδὲ γὰρ ἄσημα τὰ γεγραμμένα, ὡς θεὸς ἀπ' ἀρχῆς ξύλον γνώσεως καὶ ξύλον ζωῆς ἐν μέσῳ παραδείσου ἐφύτευσε, διὰ γνώσεως ζωὴν ἐπιδεικνύς. ᾗ μὴ καθαρῶς χρησάμενοι οἱ ἀπ' ἀρχῆς πλάνῃ τοῦ ὄφεως γεγύμνωνται. 4. οὐδὲ γὰρ ζωὴ ἄνευ γνώσεως, οὐδὲ γνῶσις ἀσφαλὴς ἄνευ ζωῆς ἀληθοῦς· διὸ πλησίον ἑκάτερον πεφύτευται. 5. ἣν δύναμιν ἐνιδὼν ὁ ἀπόστολος τήν τε ἄνευ ἀληθείας προστάγματος εἰς ζωὴν ἀσκουμένην γνῶσιν μεμφόμενος λέγει· «Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ.[1]» 6. ὁ γὰρ νομίζων εἰδέναι τι ἄνευ γνώσεως ἀληθοῦς καὶ μαρτυρουμένης ὑπὸ τῆς ζωῆς, οὐκ ἔγνω· ὑπὸ τοῦ ὄφεως πλανᾶται, μὴ ἀγαπήσας τὸ ζῆν. ὁ δὲ μετὰ φόβου ἐπιγνοὺς καὶ ζωὴν ἐπιζητῶν ἐπ' ἐλπίδι φυτεύει, καρπὸν προσδοκῶν 7. Ἤτω σοι καρδία γνῶσις, ζωὴ δὲ λόγος ἀληθής, χωρούμενος. 8. οὗ ξύλον φέρων καὶ καρπὸν αἱρῶν τρυγήσεις ἀεὶ τὰ παρὰ θεῷ ποθούμενα, ὧν ὄφις οὐχ ἅπτεται οὐδὲ πλάνη συγχρωτίζεται· οὐθὲ Εὔα φθείρεται, ἀλλὰ παρθένος πιστεύεται· 9. καὶ σωτήριον δείκνυται, καὶ ἀπόστολοι συνετίζονται, καὶ τὸ κυρίου πάσχα προέρχεται, καὶ καιροὶ συνάγονται καὶ μετακόσμια ἁρμόζεται, καὶ διδάσκων ἁγίους ὁ λόγος εὐφραίνεται, δι' οὗ πατὴρ δοξάζεται· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

---

1. Α' Κορ. 8, 1.

ΙΓΝΑΤΙΟΣ Ο ΑΝΤΙΟΧΕΙΑΣ

ΙΓΝΑΤΙΟΣ Ο ΑΝΤΙΟΧΕΙΑΣ

Α΄ ΕΙΣΑΓΩΓΙΚΑ*

1. Βίος. Ὁ Ἰγνάτιος εἶναι ὁ δεύτερος κατὰ σειρὰν ἐπίσκοπος Ἀντιοχείας, διάδοχος τοῦ Εὐοδίου πρώτου ἐπισκόπου αὐτῆς, ἀκμάσας κατὰ τὰ τέλη τοῦ πρώτου καὶ τὰς ἀρχὰς τοῦ δευτέρου αἰῶνος.[1] Κατὰ μεταγενεστέρας πηγὰς[2] ὁ Ἰγνάτιος διετέλεσε μαθητὴς τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου. Ἐν ταῖς ἐπιστολαῖς του αὐτοκαλεῖται «Ἰγνάτιος ὁ καὶ Θεοφόρος»· καὶ κατὰ μὲν τὸ μαρτύριόν του ὀνομάζεται οὕτως ὡς «τὸν Χριστὸν ἔχων ἐν στέρνοις», ἤτοι ἀφωσιωμένος εἰς αὐτόν, κατὰ δὲ τὸν Συμεῶνα τὸν μεταφραστήν, συγγραφέα τοῦ ι΄ αἰῶνος, καὶ ἄλλους μεταγενεστέρους, ὠνομάσθη οὕτω διότι αὐτὸς ἦτο δῆθεν τὸ παιδίον, ὅπερ βαστάσας ὁ Ἰησοῦς, ἔστησε πρὸ τῶν ἀποστόλων.[3]

Ἐπὶ Τραϊανοῦ (98-117), γενομένου διωγμοῦ κατὰ τῶν Χριστιανῶν, κατὰ τὰς ἀρχὰς τοῦ β΄ αἰῶνος, μετηνέχθη, ὑπὸ στρατιω-

---

* Ἐκ τῆς «Πατρολογίας» Δημητρίου Σ. Μπαλάνου, Ἀθῆναι 1930 σελ. 43 ἑξ.

Ἐκδόσεις. Ἐκ τῶν ἐπιστολῶν τοῦ Ἰγνατίου, γνησίων καὶ νόθων, ἐξεδόθησαν τύποις τὸ πρῶτον 3 νόθοι, ἤτοι ἡ πρὸς τὸν ἀπόστολον Ἰωάννην, τὴν παρθένον Μαρίαν καὶ ἡ ἀπάντησις ταύτης (Παρίσιοι 1495). Τὸ 1498 ἐν Παρισίοις ἐξεδόθη τὸ πρῶτον ἡ νοθευθεῖσα συλλογὴ τῶν 7 γνησίων καὶ αἱ νόθοι ἐν λατινικῇ μεταφράσει, τὸ δὲ ἑλληνικὸν κείμενον αὐτῶν τὸ 1557 ὑπὸ V. Hartung, ἐν Dillingen. Ἐν Migne Ἑ. Π. 5, 643-960 εὑρίσκονται αἱ 7 γνήσιαι ἐπιστολαὶ εἰς τὸν νοθευθέντα ἐκτενέστερον τύπον καὶ αἱ 6 νόθοι. Ἡ συντομωτέρα καὶ προφανῶς ἀρχικὴ μορφὴ τῶν 7 γνησίων μετὰ τῶν 5 νόθων ἐξεδόθη τὸ πρῶτον λατινιστὶ ἐν Ὀξφόρδῃ τὸ 1644 καὶ ἑλληνιστὶ ἐκ μοναδικοῦ φλωρεντινοῦ χειρογράφου τοῦ ια΄ αἰῶνος, οὗ λείπει τὸ τέλος, ἐν Ἀμστελοδάμῳ τὸ 1646, ὑπὸ J. Voss. Ἡ ἔκδοσις τοῦ βραχέος τύπου τῶν 3 συριστὶ ἐπιστολῶν ἔγινε τὸ πρῶτον ὑπὸ τοῦ W. Cureton τὸ 1845, ἐν Λονδίνῳ. *Μονογραφίαι.* Περὶ τῶν ἐπιστολῶν τοῦ Ἰγνατίου ἐγράφησαν πλεῖσται μονογραφίαι, ἐξ ὧν ἀναφέρομεν: Th. Zahn, Ign. v. ant., Gotha 1873. A. Harnack, Die Zeit des I. v. A. Leipzig 1878. F. X. Funk, Die Echtheit der ign. Briefe... Tübingen 1883. E. Bruston, Ign. d'An., Paris 1897. Delafosse, Nouvel examen des lettres d'Ign. d'Ant., ἐν Revue d'hist. et de litt. religieuses, Paris 1922, 303-337 καὶ 477-533.

1. Πρβλ. Εὐσεβίου Ἑ. Ἱ. 3. 22 κ. ἀ.
2. Ἱερωνύμου Χρονικ. ἔ. 2116 καὶ μαρτύριον κολβερτ. 1, 1.
3. Ματθ. 18, 2 «καὶ προσκαλεσάμενος ὁ Ἰησοῦς παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν καὶ εἶπεν: ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε...».

τικὴν συνοδείαν [1], ἐξ Ἀντιοχείας εἰς Ρώμην, ὅπου ἐμαρτύρησε, ῥιφθεὶς εἰς τὰ θηρία.[2] Κατὰ τὸ μεταγενέστερον μαρτύριον, ἤτοι μαρτυρολόγιον, τοῦ Ἰγνατίου (7,1), ὁ Ἰγνάτιος ἐμαρτύρησεν ἐν ἔτει 107, τὴν 20ὴν Δεκεμβρίου, ἐξ οὗ καὶ ἡ ἡμετέρα Ἐκκλησία τὴν ἡμέραν ταύτην ἐπιτελεῖ τὴν μνήμην αὐτοῦ, ἐνῷ ἡ λατινικὴ τὴν 1ην Φεβρουαρίου.

2. Ἐπιστολαί Ἤδη ὁ Πολύκαρπος Σμύρνης, σύγχρονος τοῦ Ἰγνατίου, ἐν τῇ ἐπιστολῇ του πρὸς Φιλιππησίους, γραφείσῃ μικρὸν μετὰ τὸ μαρτύριον ἐκείνου, ὁμιλεῖ περὶ ἐπιστολῶν Ἰγνατίου.[3] ὁ δὲ Εἰρηναῖος [4], ὁ Ὠριγένης [5] καὶ ἄλλοι [6] ἀναφέρουσιν αὐτολεξεὶ χωρία ἐξ αὐτῶν.

Αἱ συνθῆκαι ὑφ' ἃς ἐγράφησαν αἱ ἐπιστολαὶ αὗται, ὡς ἐξάγεται ἐκ τῶν λεγομένων ἐν αὐταῖς καὶ ὑπὸ τοῦ Εὐσεβίου, εἶναι αἱ ἑξῆς: Συλληφθεὶς ἐν Ἀντιοχείᾳ ὁ Ἰγνάτιος, ἤχθη εἰς Σμύρνην, ὅπου συνηντήθη μετὰ τοῦ ἐπισκόπου Σμύρνης Πολυκάρπου καὶ ἀντιπροσώπων διαφόρων χριστιανικῶν κοινοτήτων, πρὸς τοῦτο ἐλθόντων ἐκεῖ, καὶ δὴ τῆς Ἐφέσου, Μαγνησίας καὶ τῶν Τράλλεων. Ἀναχωρῶν ἐκ Σμύρνης ἔδωκεν εἰς τοὺς ἀπεσταλμένους τῶν Ἐκκλησιῶν τούτων ἐπιστολὰς διὰ τὰς κοινότητας, ἃς ἀντεπροσώπευον. Ἐκ Σμύρνης ὁ Ἰγνάτιος ἤχθη εἰς Τρῳάδα, ἔνθα ἀπεσταλμένος τῆς ἀντιοχειανῆς Ἐκκλησίας ἐπληροφόρησεν αὐτὸν ὅτι ἔληξεν ὁ ἐκεῖ διωγμός· ἐκ Τρῳάδος ἔστειλε τρεῖς ἔτι ἐπιστολάς, ἤτοι πρὸς τοὺς Χριστιανοὺς τῆς Φιλαδελφείας καὶ τῆς Σμύρνης, ὡς καὶ πρὸς τὸν ἐπίσκοπον Σμύρνης Πολύκαρπον, εὐχαριστῶν καὶ νουθετῶν. Τέλος ἐκ Τρῳάδος ὡδηγήθη εἰς Νεάπολιν τῆς Μακεδονίας καὶ διελθὼν πεζῇ τὴν Μακεδονίαν καὶ Ἰλλυρίαν,

---

1. Ἰγνατίου πρὸς Ρωμ. 5, 1 «δεδεμένος δέκα λεοπάρδοις, ὅ ἐστι στρατιωτικὸν σῶμα»· τοὺς συνοδεύοντας αὐτὸν στρατιώτας καλεῖ διὰ τὴν σκληρότητά των λεοπάρδους.

2. Τοῦτο μαρτυροῦσιν ὁ Εἰρηναῖος (Ἔλεγχος 5, 28), ὁ Ὠριγένης (ὁμ. 6 εἰς Λουκᾶν) καὶ ὁ Εὐσέβιος (Ἐ. Ἰ. 3, 36). Ὅλως ἀστήρικτον εἶναι τὸ ὑπὸ τοῦ χρονογράφου Ἰωάννου Μαλάλα, κατὰ τὸν ἕκτον αἰῶνα, λεγόμενον (ἐν Χρονογρ. 11, Migne Ἑ. Π. 97, 417) ὅτι ὁ Ἰγνάτιος ἐμαρτύρησεν ἐν Ἀντιοχείᾳ.

3. Κεφ. ιγ': «τὰς ἐπιστολὰς Ἰγνατίου... ἐπέμψαμεν ὑμῖν... ἐξ ὧν μεγάλα ὠφεληθῆναι δυνήσεσθε· περιέχουσι γὰρ πίστιν καὶ ὑπομονὴν καὶ πᾶσαν οἰκοδομήν, τὴν εἰς τὸν κύριον ἡμῶν ἀνήκουσαν.»

4. Ἔλεγχος 28, 4 καὶ παρ' Εὐσεβίῳ Ἐ. Ι. 3, 36 (πρβλ. Ἰγνατίου πρὸς Ρωμ. 4, 1).

5. Περὶ προσευχῆς 20 (πρβλ. Ἰγνατίου π. Ρώμ. 3, 3). Ἑρμηνεία εἰς ᾆσμα προλεγ. (πρβλ. Ἰγνατίου π. Ρωμ. 7, 2)· ὁμιλ. 6 εἰς Λουκᾶν (πρβλ. Ἰγνατίου π. Ἐφεσ. 19, 1) κ. ἀ.

6. Ἤδη πρὸ τοῦ Ὠριγένους καὶ χωρία τινὰ παρὰ Κλήμεντι φανεροῦσι τὴν παρ' αὐτοῦ γνῶσιν τῶν ἰγνατιανῶν ἐπιστολῶν (πρβλ. λ. χ. Παιδαγ. 2, 8 πρὸς Ἰγν. Ἐφεσ. 17. 1). Ἐπίσης δὲ καὶ παρὰ Θεοδωρήτῳ Κύρου καὶ ἄλλοις μετ' αὐτὸν εὑρίσκονται σαφῶς χωρία ἐξ ἰγνατιανῶν ἐπιστολῶν· τὰ χωρία ἐν Harnack Gesch. d. altchr. Lit. 1. Leipzig 1893, σ. 79-86.

ἤχθη ἐκ Δυρραχίου πιθανώτατα, διὰ θαλάσσης, εἰς Βρινδήσιον καὶ ἐκεῖθεν πεζῇ εἰς Ρώμην, ὅπου ἐμαρτύρησεν.

Κατὰ ταῦτα ὁ Ἰγνάτιος ἔγραψεν 7 ἐπιστολάς, ἤτοι πρὸς Ἐφεσίους, Μαγνησιεῖς, Τραλλιανούς, Ρωμαίους, Φιλαδελφεῖς, Σμυρναίους καὶ Πολύκαρπον. Αἱ ἐπιστολαὶ αὗται διεσώθησαν μέχρις ἡμῶν εἰς δύο ἐκδόσεις ἑλληνιστί, ὧν μία ἐκτενεστέρα καὶ μία συντομωτέρα· ἡ κρατοῦσα σήμερον γενικῶς γνώμη εἶναι ὅτι ἡ συντομωτέρα μορφὴ εἶναι καὶ ἡ ἀρχικὴ ἢ τοὐλάχιστον ἡ ἀρχαιοτέρα.[1]

Αἱ ἓξ ἐκ τῶν 7 γνησίων ἐπιστολῶν, δηλ. πᾶσαι πλὴν τῆς πρὸς Ρωμαίους, ἔχουσι τὸν αὐτὸν σκοπὸν καὶ τὰς αὐτὰς κεντρικὰς ἰδέας, ἤτοι συνιστῶσι: α΄) τὴν ὁμόνοιαν·[2] β΄) τὴν ὑποταγὴν τῷ ἐπισκόπῳ, ὡς περὶ κέντρον, ἄνευ τῆς γνώμης οὗ οὐδὲν νὰ πράττωσι, καὶ τὸν σεβασμὸν πρὸς τοὺς πρεσβυτέρους καὶ διακόνους, γ΄) ἀποφυγὴν τῶν ἑτεροδοξιῶν καὶ δ΄) ἐμμονὴν ἐν τῇ ἀρετῇ καὶ ἐν τῇ πίστει.

Ἀφ' ἑτέρου ἡ πρὸς Ρωμαίους ἐπιστολὴ ἐγράφη ἐπὶ τῷ ἀποκλειστικῷ σκοπῷ νὰ πείσῃ τούτους νὰ μὴ ἀποπειραθῶσι κἂν νὰ προβῶσιν εἰς ἐνεργείας ὅπως διασώσωσιν αὐτὸν τοῦ μαρτυρίου, διότι ἐπεθύμει τὸ ταχύτερον διὰ τοῦ θανάτου νὰ ἐπιτύχῃ τοῦ θεοῦ. Λόγῳ τοῦ θέματος τῆς ἐπιστολῆς, τὸ ὕφος αὐτῆς εἶναι ἐν πολλοῖς διάφορον τῶν λοιπῶν ἐπιστολῶν, ὡς ἐκ τῶν εἰδικῶν συνθηκῶν ὑφ' ἃς ἐγράφη.

Ἡ σημασία τῶν ἐπιστολῶν εἶναι μεγάλη, ἰδίως διότι δι' αὐτῶν ἔχομεν τὴν πρώτην σαφῆ μαρτυρίαν περὶ τῶν τριῶν ἱερατικῶν βαθμῶν καὶ τῆς διαρρυθμίσεως τοῦ ἐκκλησιαστικοῦ πολιτεύματος, οὗ κέντρον εἶναι τὸ ἐπισκοπικὸν ἀξίωμα.

3. Τὸ μαρτύριον τοῦ Ἰγνατίου. Περὶ τοῦ μαρτυρικοῦ θανάτου τοῦ Ἰγνατίου ὑπάρχουσι πέντε μαρτύρια, ὧν ἀρχαιότερον θεωρεῖται τὸ ἐν ἔτει 1689 ὑπὸ τοῦ Th. Ruinart τὸ πρῶτον ἐκδοθὲν ἐκ χειρογράφου τοῦ ι΄ αἰῶνος τῆς κολβερτινῆς βιβλιοθήκης τῶν Παρισίων, ἐξ οὗ καὶ συνήθως λέγεται κολβερτινὸν μαρτύριον. Τοῦτο εἶναι ἀναντιρρήτως ἔργον τοῦ δ΄ ἢ ε΄ αἰῶνος, εἰ καὶ προβάλλει τὴν ἀξίωσιν ὅτι ἐγράφη ὑπὸ αὐτοπτῶν.

---

1. Τοῦτο φαίνεται ἐκ τοῦ ὅτι τὰ χωρία, ἅτινα ἀναφέρουσιν ἐκ τῶν ἰγνατιανῶν ἐπιστολῶν ὁ Εἰρηναῖος καὶ οἱ λοιποὶ ἀρχαῖοι ἐκκλησιαστικοὶ συγγραφεῖς φέρονται αὐτολεξεὶ σχεδὸν ὡς ἔχουσιν ἐν τῇ συντομωτέρᾳ ταύτῃ ἐκδόσει, ὑπὲρ ἧς ἄλλως μαρτυρεῖ καὶ διασωθεῖσα ἀρχαία ἀρμενικὴ μετάφρασις ὡς καὶ ἀποσπάσματα συριακῆς καὶ κοπτικῆς μεταφράσεως. Τοῦτο κατέδειξε πρῶτος ὁ Ussher (Epistolae genuinae Ignatii, Amsterdam, 1646)· ἄνευ λόγου μόνον ἐθεώρησε νόθον τὴν πρὸς Πολύκαρπον.

2. «Χρήσιμον οὖν ἐστιν ὑμᾶς ἐν ἀμώμῳ ἑνότητι εἶναι, ἵνα καὶ Θεοῦ πάντοτε μετέχετε» (πρὸς Ἐφεσ. 4, 1) κ.π.δ.

Β΄ ΚΕΙΜΕΝΑ*

ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΙΓΝΑΤΙΟΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ εὐλογημένῃ ἐν μεγέθει θεοῦ πατρὸς πληρώματι, τῇ προωρισμένῃ πρὸ αἰώνων εἶναι διὰ παντὸς εἰς δόξαν παράμονον, ἄτρεπτον ἡνωμένην καὶ ἐκλελεγμένην ἐν πάθει ἀληθινῷ, ἐν θελήματι τοῦ πατρὸς καὶ Ἰησοῦ Χριστοῦ, τοῦ θεοῦ ἡμῶν, τῇ ἐκκλησίᾳ τῇ ἀξιομακαρίστῳ, τῇ οὔσῃ ἐν Ἐφέσῳ τῆς Ἀσίας, πλεῖστα ἐν Ἰησοῦ Χριστῷ καὶ ἐν ἀμώμῳ χαρᾷ χαίρειν.

I. Ἀποδεξάμενος ἐν θεῷ τὸ πολυαγάπητόν σου ὄνομα, ὃ κέκτησθε φύσει δικαίᾳ κατὰ πίστιν καὶ ἀγάπην ἐν Χριστῷ Ἰησοῦ, τῷ σωτῆρι ἡμῶν· μιμηταὶ ὄντες θεοῦ, ἀναζωπυρήσαντες ἐν αἵματι θεοῦ τὸ συγγενικὸν ἔργον τελείως ἀπηρτίσατε. 2. ἀκούσαντες γὰρ δεδεμένον ἀπὸ Συρίας ὑπὲρ τοῦ κοινοῦ ὀνόματος καὶ ἐλπίδος, ἐλπίζοντα τῇ προσευχῇ ὑμῶν ἐπιτυχεῖν ἐν Ῥώμῃ θηριομαχῆσαι, ἵνα ἐπιτυχεῖν δυνηθῶ μαθητὴς εἶναι, ἰδεῖν ἐσπουδάσατε. 3. Ἐπεὶ οὖν τὴν πολυπληθίαν ὑμῶν ἐν ὀνόματι θεοῦ ἀπείληφα ἐν Ὀνησίμῳ, τῷ ἐν ἀγάπῃ ἀδιηγήτῳ, ὑμῶν δὲ ἐν σαρκὶ ἐπισκόπῳ· ὃν εὔχομαι κατὰ Ἰησοῦν Χριστὸν ὑμᾶς ἀγαπᾶν καὶ πάντας ὑμᾶς αὐτῷ ἐν ὁμοιότητι εἶναι. εὐλογητὸς γὰρ ὁ χαρισάμενος ὑμῖν ἀξίοις οὖσι τοιοῦτον ἐπίσκοπον κεκτῆσθαι.

II. Περὶ δὲ τοῦ συνδούλου μου Βούρρου, τοῦ κατὰ θεὸν διακόνου ὑμῶν ἐν πᾶσιν εὐλογημένου, εὔχομαι παραμεῖναι αὐτὸν εἰς τιμὴν ὑμῶν καὶ τοῦ ἐπισκόπου. καὶ Κρόκος δέ, ὁ θεοῦ ἄξιος καὶ ὑμῶν, ὃν ἐξεμπλάριον τῆς ἀφ᾽ ὑμῶν ἀγάπης ἀπέλαβον, κατὰ πάντα με ἀνέπαυσεν, ὡς καὶ αὐτὸν ὁ πατὴρ Ἰησοῦ Χριστοῦ ἀναψύξαι, ἅμα Ὀνησίμῳ καὶ Βούρρῳ καὶ Εὔπλῳ καὶ Φρόντωνι, δι᾽ ὧν πάντας ὑμᾶς κατὰ ἀγάπην εἶδον. 2. Ὀναίμην ὑμῶν διὰ παντός, ἐάνπερ ἄξιος ὦ. πρέπον οὖν ἐστὶν κατὰ πάντα τρόπον δοξάζειν Ἰησοῦν Χριστὸν τὸν δοξάσαντα ὑμᾶς, ἵνα ἐν μιᾷ ὑποταγῇ κατηρτισμένοι, ὑποτασσόμενοι τῷ ἐπισκόπῳ καὶ τῷ πρεσβυτερίῳ, κατὰ πάντα ἦτε ἡγιασμένοι.

III. Οὐ διατάσσομαι ὑμῖν ὡς ὤν τις. εἰ γὰρ καὶ δέδεμαι ἐν τῷ ὀνόματι, οὔπω ἀπήρτισμαι ἐν Ἰησοῦ Χριστῷ. νῦν γὰρ ἀρχὴν ἔχω τοῦ μαθητεύεσθαι, καὶ προσλαλῶ ὑμῖν ὡς συνδιδασκαλίταις μου. ἐμὲ γὰρ ἔδει ὑφ᾽ ὑμῶν ὑπαλειφθῆναι πίστει, νουθεσίᾳ, ὑπομονῇ, μακροθυμίᾳ. 2. Ἀλλ᾽ ἐπεὶ ἡ ἀγάπη οὐκ ἐᾷ με σιωπᾶν περὶ ὑμῶν, διὰ τοῦτο προέλαβον παρακαλεῖν ὑμᾶς, ὅπως συντρέχητε τῇ γνώμῃ τοῦ θεοῦ. καὶ γὰρ Ἰησοῦς Χριστός, τὸ ἀδιάκριτον ἡμῶν ζῆν, τοῦ

* Ἰδὲ ὑποσημείωσιν ἐν σελ. 215.

πατρὸς ἡ γνώμη, ὡς καὶ οἱ ἐπίσκοποι, οἱ κατὰ τὰ πέρατα ὁρισθέντες, ἐν Ἰησοῦ Χριστοῦ γνώμῃ εἰσίν.

IV. Ὅθεν πρέπει ὑμῖν συντρέχειν τῇ τοῦ ἐπισκόπου γνώμῃ, ὅπερ καὶ ποιεῖτε. τὸ γὰρ ἀξιονόμαστον ὑμῶν πρεσβυτέριον, τοῦ θεοῦ ἄξιον, οὕτως συνήρμοσται τῷ ἐπισκόπῳ, ὡς χορδαὶ κιθάρᾳ. διὰ τοῦτο ἐν τῇ ὁμονοίᾳ ὑμῶν καὶ συμφώνῳ ἀγάπῃ Ἰησοῦς Χριστὸς ᾄδεται. 2. καὶ οἱ κατ' ἄνδρα δὲ χορὸς γίνεσθε, ἵνα σύμφωνοι ὄντες ἐν ὁμονοίᾳ, χρῶμα θεοῦ λαβόντες ἐν ἑνότητι ᾄδετε ἐν φωνῇ μιᾷ διὰ Ἰησοῦ Χριστοῦ τῷ πατρί, ἵνα ὑμῶν καὶ ἀκούσῃ καὶ ἐπιγινώσκῃ, δι' ὧν εὖ πράσσετε, μέλη ὄντας τοῦ υἱοῦ αὐτοῦ. χρήσιμον οὖν ἐστίν, ὑμᾶς ἐν ἀμώμῳ ἑνότητι εἶναι, ἵνα καὶ θεοῦ πάντοτε μετέχετε.

V. Εἰ γὰρ ἐγὼ ἐν μικρῷ χρόνῳ τοιαύτην συνήθειαν ἔσχον πρὸς τὸν ἐπίσκοπον ὑμῶν, οὐκ ἀνθρωπίνην οὖσαν, ἀλλὰ πνευματικήν, πόσῳ μᾶλλον ὑμᾶς μακαρίζω, τοὺς ἐνκεκραμένους αὐτῷ ὡς ἡ ἐκκλησία Ἰησοῦ Χριστῷ, καὶ ὡς Ἰησοῦς Χριστὸς τῷ πατρί, ἵνα πάντα ἐν ἑνότητι σύμφωνα ᾖ. 2. Μηδεὶς πλανάσθω· ἐὰν μή τις ᾖ ἐντὸς τοῦ θυσιαστηρίου, ὑστερεῖται τοῦ ἄρτου τοῦ θεοῦ. εἰ γὰρ ἑνὸς καὶ δευτέρου προσευχὴ τοσαύτην ἰσχὺν ἔχει [1], πόσῳ μᾶλλον ἥ τε τοῦ ἐπισκόπου καὶ πάσης τῆς ἐκκλησίας. 3. Ὁ οὖν μὴ ἐρχόμενος ἐπὶ τὸ αὐτό, οὗτος ἤδη ὑπερηφανεῖ καὶ ἑαυτὸν διέκρινεν. γέγραπται γάρ· «ὑπερηφάνοις ὁ θεὸς ἀντιτάσσεται.[2]» σπουδάσωμεν οὖν μὴ ἀντιτάσσεσθαι τῷ ἐπισκόπῳ, ἵνα ὦμεν θεῷ ὑποτασσόμενοι.

VI. Καὶ ὅσον βλέπει τις σιγῶντα ἐπίσκοπον, πλειόνως αὐτὸν φοβείσθω· πάντα γὰρ ὃν πέμπει ὁ οἰκοδεσπότης εἰς ἰδίαν οἰκονομίαν, οὕτως δεῖ ἡμᾶς αὐτὸν δέχεσθαι, ὡς αὐτὸν τὸν πέμψαντα. τὸν οὖν ἐπίσκοπον δῆλον ὅτι ὡς αὐτὸν τὸν κύριον δεῖ προσβλέπειν. 2. Αὐτὸς μὲν οὖν Ὀνήσιμος ὑπερεπαινεῖ ὑμῶν τὴν ἐν θεῷ εὐταξίαν, ὅτι πάντες κατὰ ἀλήθειαν ζῆτε, καὶ ὅτι ἐν ὑμῖν οὐδεμία αἵρεσις κατοικεῖ. ἀλλ' οὐδὲ ἀκούετέ τινος πλέον, εἴπερ Ἰησοῦ Χριστοῦ λαλοῦντος ἐν ἀληθείᾳ.

VII. Εἰώθασι γάρ τινες δόλῳ πονηρῷ τὸ ὄνομα περιφέρειν, ἄλλα τινὰ πράσσοντες ἀνάξια θεοῦ· οὓς δεῖ ὑμᾶς ὡς θηρία ἐκκλίνειν. εἰσὶν γὰρ κύνες λυσσῶντες, λαθροδῆκται· οὓς δεῖ ὑμᾶς φυλάσσεσθαι, ὄντας δυσθεραπεύτους. 2. Εἷς ἰατρός ἐστιν σαρκικός τε καὶ πνευματικός, γεννητὸς καὶ ἀγέννητος, ἐν σαρκὶ γενόμενος θεός, ἐν θανάτῳ ζωὴ ἀληθινή, καὶ ἐκ Μαρίας καὶ ἐκ θεοῦ, πρῶτον παθητὸς καὶ τότε ἀπαθής, Ἰησοῦς Χριστὸς ὁ κύριος ἡμῶν.

VIII. Μὴ οὖν τις ὑμᾶς ἐξαπατάτω, ὥσπερ οὐδὲ ἐξαπατᾶσθε, ὅλοι ὄντες θεοῦ. ὅταν γὰρ μηδεμία ἔρις ἐνήρεισται ἐν ὑμῖν, ἡ δυναμένη ὑμᾶς βασανίσαι, ἄρα κατὰ θεὸν ζῆτε. περίψημα ὑμῶν, καὶ ἁγνίζομαι ὑπὲρ Ἐφεσίων, ἐκκλησίας τῆς διαβοήτου τοῖς αἰῶσιν. 2. Οἱ σαρκικοὶ τὰ πνευματικὰ πράσσειν οὐ δύνανται, οὐδὲ οἱ πνευμα-

1. Πρβλ. Ματθ. 18, 20. 2. Παρμ. 3, 34. Α' Πέτρ. 5. 5.

τικοὶ τὰ σαρκικά· ὥσπερ οὐδὲ ἡ πίστις τὰ τῆς ἀπιστίας, οὐδὲ ἡ ἀπιστία τὰ τῆς πίστεως. ἃ δὲ καὶ κατὰ σάρκα πράσσετε, ταῦτα πνευματικά ἐστιν· ἐν Ἰησοῦ γὰρ Χριστῷ πάντα πράσσετε.

IX. Ἔγνων δὲ παροδεύσαντάς τινας ἐκεῖθεν, ἔχοντας κακὴν διδαχήν· οὓς οὐκ εἰάσατε σπεῖραι εἰς ὑμᾶς, βύσαντες τὰ ὦτα, εἰς τὸ μὴ παραδέξασθαι τὰ σπειρόμενα ὑπ' αὐτῶν, ὡς ὄντες λίθοι ναοῦ πατρός, ἡτοιμασμένοι εἰς οἰκοδομὴν θεοῦ πατρός, ἀναφερόμενοι εἰς τὰ ὕψη διὰ τῆς μηχανῆς Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν σταυρός, σχοινίῳ χρώμενοι τῷ πνεύματι τῷ ἁγίῳ. ἡ δὲ πίστις ὑμῶν ἀναγωγεὺς ὑμῶν, ἡ δὲ ἀγάπη ὁδὸς ἡ ἀναφέρουσα εἰς θεόν. 2. Ἐστὲ οὖν καὶ σύνοδοι πάντες, θεοφόροι καὶ ναοφόροι, χριστοφόροι, ἁγιοφόροι, κατὰ πάντα κεκοσμημένοι ἐν ταῖς ἐντολαῖς Ἰησοῦ Χριστοῦ· οἷς καὶ ἀγαλλιῶμαι, ὅτι ἠξιώθην, δι' ὧν γράφω, προσομιλῆσαι ὑμῖν καὶ συγχαρῆναι, ὅτι καθ' ὅλον βίον οὐδὲν ἀγαπᾶτε εἰ μὴ μόνον τὸν θεόν.

X. Καὶ ὑπὲρ τῶν ἄλλων δὲ ἀνθρώπων ἀδιαλείπτως προσεύχεσθε. ἔστιν γὰρ ἐν αὐτοῖς ἐλπὶς μετανοίας, ἵνα θεοῦ τύχωσιν. ἐπιτρέψατε οὖν αὐτοῖς κἂν ἐκ τῶν ἔργων ὑμῖν μαθητευθῆναι. 2. πρὸς τὰς ὀργὰς αὐτῶν ὑμεῖς πραεῖς, πρὸς τὰς μεγαλορρημοσύνας αὐτῶν ὑμεῖς ταπεινόφρονες, πρὸς τὰς βλασφημίας αὐτῶν ὑμεῖς τὰς προσευχάς, πρὸς τὴν πλάνην αὐτῶν ὑμεῖς ἑδραῖοι τῇ πίστει, πρὸς τὸ ἄγριον αὐτῶν ὑμεῖς ἥμεροι, μὴ σπουδάζοντες ἀντιμιμήσασθαι αὐτούς. 3. Ἀδελφοὶ αὐτῶν εὑρεθῶμεν τῇ ἐπιεικείᾳ· μιμηταὶ δὲ τοῦ κυρίου σπουδάζωμεν εἶναι—τίς πλέον ἀδικηθείς, τίς ἀποστερηθείς, τίς ἀθετηθείς—, ἵνα μὴ τοῦ διαβόλου βοτάνη τις εὑρεθῇ ἐν ὑμῖν· ἀλλ' ἐν πάσῃ ἁγνείᾳ καὶ σωφροσύνῃ μένετε ἐν Ἰησοῦ Χριστῷ σαρκικῶς καὶ πνευματικῶς.

XI. Ἔσχατοι καιροί· λοιπὸν αἰσχυνθῶμεν, φοβηθῶμεν τὴν μακροθυμίαν τοῦ θεοῦ, ἵνα μὴ ἡμῖν εἰς κρῖμα γένηται. ἢ γὰρ τὴν μέλλουσαν ὀργὴν φοβηθῶμεν, ἢ τὴν ἐνεστῶσαν χάριν ἀγαπήσωμεν· ἓν τῶν δύο· μόνον ἐν Χριστῷ Ἰησοῦ εὑρεθῆναι εἰς τὸ ἀληθινὸν ζῆν. 2. Χωρὶς τούτου μηδὲν ὑμῖν πρεπέτω, ἐν ᾧ τὰ δεσμὰ περιφέρω, τοὺς πνευματικοὺς μαργαρίτας, ἐν οἷς γένοιτό μοι ἀναστῆναι τῇ προσευχῇ ὑμῶν, ἧς γένοιτό μοι ἀεὶ μέτοχον εἶναι, ἵνα ἐνὶ κλήρῳ Ἐφεσίων εὑρεθῶ τῶν Χριστιανῶν, οἳ καὶ τοῖς ἀποστόλοις πάντοτε συνῆσαν ἐν δυνάμει Ἰησοῦ Χριστοῦ.

XII. Οἶδα τίς εἰμι καὶ τίσιν γράφω. ἐγὼ κατάκριτος, ὑμεῖς ἠλεημένοι· ἐγὼ ὑπὸ κίνδυνον, ὑμεῖς ἐστηριγμένοι. 2. πάροδός ἐστε τῶν εἰς θεὸν ἀναιρουμένων, Παύλου συμμύσται, τοῦ ἡγιασμένου, τοῦ μεμαρτυρημένου, ἀξιομακαρίστου, οὗ γένοιτό μοι ὑπὸ τὰ ἴχνη εὑρεθῆναι, ὅταν θεοῦ ἐπιτύχω, ὃς ἐν πάσῃ ἐπιστολῇ μνημονεύει ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

XIII. Σπουδάζετε οὖν πυκνότερον συνέρχεσθαι εἰς εὐχαριστίαν θεοῦ καὶ εἰς δόξαν. ὅταν γὰρ πυκνῶς ἐπὶ τὸ αὐτὸ γίνεσθε, καθαιροῦνται αἱ δυνάμεις τοῦ σατανᾶ, καὶ λύεται ὁ ὄλεθρος αὐτοῦ ἐν τῇ

ὁμονοίᾳ ὑμῶν τῆς πίστεως. 2. Οὐδέν ἐστιν ἄμεινον εἰρήνης, ἐν ᾗ πᾶς πόλεμος καταργεῖται ἐπουρανίων καὶ ἐπιγείων.

XIV. Ὧν οὐδὲν λανθάνει ὑμᾶς, ἐὰν τελείως εἰς Ἰησοῦν Χριστὸν ἔχητε τὴν πίστιν καὶ τὴν ἀγάπην, ἥτις ἐστὶν ἀρχὴ ζωῆς καὶ τέλος· ἀρχὴ μὲν πίστις, τέλος δὲ ἀγάπη. τὰ δὲ δύο, ἐν ἑνότητι γενόμενα, θεός ἐστιν· τὰ δὲ ἄλλα πάντα εἰς καλοκἀγαθίαν ἀκόλουθά ἐστιν. 2. Οὐδεὶς πίστιν ἐπαγγελλόμενος ἁμαρτάνει, οὐδὲ ἀγάπην κεκτημένος μισεῖ. «Φανερὸν τὸ δένδρον ἀπὸ τοῦ καρποῦ αὐτοῦ·[1]» οὕτως οἱ ἐπαγγελλόμενοι Χριστοῦ εἶναι, δι' ὧν πράσσουσιν ὀφθήσονται. οὐ γὰρ νῦν ἐπαγγελίας τὸ ἔργον, ἀλλ' ἐν δυνάμει πίστεως ἐάν τις εὑρεθῇ καὶ εἰς τέλος.

XV. Ἄμεινόν ἐστιν σιωπᾶν καὶ εἶναι, ἢ λαλοῦντα μὴ εἶναι. καλὸν τὸ διδάσκειν, ἐὰν ὁ λέγων ποιῇ. εἷς οὖν διδάσκαλος, ὃς «εἶπεν, καὶ ἐγένετο·[2]» καὶ ἃ σιγῶν δὲ πεποίηκεν, ἄξια τοῦ πατρός ἐστιν. 2. Ὁ λόγον Ἰησοῦ κεκτημένος ἀληθῶς, δύναται καὶ τῆς ἡσυχίας αὐτοῦ ἀκούειν, ἵνα τέλειος ᾖ, ἵνα δι' ὧν λαλεῖ πράσσῃ, καὶ δι' ὧν σιγᾷ γινώσκηται. 3. Οὐδὲν λανθάνει τὸν κύριον, ἀλλὰ καὶ τὰ κρυπτὰ ἡμῶν ἐγγὺς αὐτῷ ἐστίν. πάντα οὖν ποιῶμεν, ὡς αὐτοῦ ἐν ἡμῖν κατοικοῦντος, ἵνα ὦμεν αὐτοῦ ναοί, καὶ αὐτὸς ᾖ ἐν ἡμῖν θεὸς ἡμῶν·[3] ὅπερ καὶ ἔστιν καὶ φανήσεται πρὸ προσώπου ἡμῶν, ἐξ ὧν δικαίως ἀγαπῶμεν αὐτόν.

XVI. Μὴ πλανᾶσθε, ἀδελφοί μου. οἱ οἰκοφθόροι «βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν.[4]» 2. εἰ οὖν οἱ κατὰ σάρκα ταῦτα πράσσοντες ἀπέθανον, πόσῳ μᾶλλον, ἐάν τις πίστιν θεοῦ ἐν κακῇ διδασκαλίᾳ φθείρῃ, ὑπὲρ ἧς Ἰησοῦς Χριστὸς ἐσταυρώθη; ὁ τοιοῦτος, ῥυπαρὸς γενόμενος, εἰς τὸ πῦρ τὸ ἄσβεστον χωρήσει, ὁμοίως καὶ ὁ ἀκούων αὐτοῦ.

XVII. Διὰ τοῦτο μύρον ἔλαβεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ὁ κύριος[5], ἵνα πνέῃ τῇ ἐκκλησίᾳ ἀφθαρσίαν. μὴ ἀλείφεσθε δυσωδίαν τῆς διδασκαλίας τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, μὴ αἰχμαλωτίσῃ ὑμᾶς ἐκ τοῦ προκειμένου ζῆν. 2. Διὰ τί δὲ οὐ πάντες φρόνιμοι γινόμεθα, λαβόντες θεοῦ γνῶσιν, ὅ ἐστιν Ἰησοῦς Χριστός; τί μωρῶς ἀπολλύμεθα, ἀγνοοῦντες τὸ χάρισμα, ὃ πέπομφεν ἀληθῶς ὁ κύριος;

XVIII. Περίψημα τὸ ἐμὸν πνεῦμα τοῦ σταυροῦ, ὅ ἐστιν σκάνδαλον τοῖς ἀπιστοῦσιν, ἡμῖν δὲ σωτηρία καὶ ζωὴ αἰώνιος. «ποῦ σοφός; ποῦ συζητητής;[6]» ποῦ καύχησις τῶν λεγομένων συνετῶν; 2. Ὁ γὰρ θεὸς ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐκυοφορήθη ὑπὸ Μαρίας κατ' οἰκονομίαν θεοῦ ἐκ σπέρματος μὲν Δαβίδ, πνεύματος δὲ ἁγίου· ὃς ἐγεννήθη καὶ ἐβαπτίσθη, ἵνα τῷ πάθει τὸ ὕδωρ καθαρίσῃ.

XIX. Καὶ ἔλαθεν τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου ἡ παρθενία Μαρίας καὶ ὁ τοκετὸς αὐτῆς, ὁμοίως καὶ ὁ θάνατος τοῦ κυρίου· τρία

1. Ματθ. 12, 33. 2. Ψαλμ. 32, 9. 3. Πρβλ. Α' Κορ. 3, 16. Ἀποκ. 21, 3. 4. Α' Κορ. 6. 10. 5. Ματθ. 26, 7 ἑξ. 6. Α' Κορ. 1, 20.

μυστήρια κραυγῆς, ἅτινα ἐν ἡσυχίᾳ θεοῦ ἐπράχθη. 2. Πῶς οὖν ἐφανερώθη τοῖς αἰῶσιν; ἀστὴρ ἐν οὐρανῷ ἔλαμψεν ὑπὲρ πάντας τοὺς ἀστέρας, καὶ τὸ φῶς αὐτοῦ ἀνεκλάλητον ἦν, καὶ ξενισμὸν παρεῖχεν ἡ καινότης αὐτοῦ. τὰ δὲ λοιπὰ πάντα ἄστρα ἅμα ἡλίῳ καὶ σελήνῃ χορὸς ἐγένετο τῷ ἀστέρι· αὐτὸς δὲ ἦν ὑπερβάλλων τὸ φῶς αὐτοῦ ὑπὲρ πάντα· ταραχή τε ἦν, πόθεν ἡ καινότης ἡ ἀνόμοιος αὐτοῖς. 3. ὅθεν ἐλύετο πᾶσα μαγεία, καὶ πᾶς δεσμὸς ἠφανίζετο κακίας. ἄγνοια καθῃρεῖτο, παλαιὰ βασιλεία διεφθείρετο θεοῦ ἀνθρωπίνως φανερουμένου εἰς καινότητα ἀϊδίου ζωῆς· ἀρχὴν δὲ ἐλάμβανεν τὸ παρὰ θεῷ ἀπηρτισμένον. ἔνθεν τὰ πάντα συνεκινεῖτο, διὰ τὸ μελετᾶσθαι θανάτου κατάλυσιν.

XX. Ἐάν με καταξιώσῃ Ἰησοῦς Χριστὸς ἐν τῇ προσευχῇ ὑμῶν, καὶ θέλημα ᾖ, ἐν τῷ δευτέρῳ βιβλιδίῳ, ὃ μέλλω γράφειν ὑμῖν, προσδηλώσω ὑμῖν, ἧς ἠρξάμην οἰκονομίας εἰς τὸν καινὸν ἄνθρωπον Ἰησοῦν Χριστόν, ἐν τῇ αὐτοῦ πίστει καὶ ἐν τῇ αὐτοῦ ἀγάπῃ, ἐν πάθει αὐτοῦ καὶ ἀναστάσει· μάλιστα ἐὰν ὁ κύριός μοι ἀποκαλύψῃ τι. 2. Οἱ κατ' ἄνδρα κοινῇ πάντες ἐν χάριτι ἐξ ὀνόματος συνέρχεσθε ἐν μιᾷ πίστει καὶ ἐν Ἰησοῦ Χριστῷ, τῷ κατὰ σάρκα ἐκ γένους Δαβίδ, τῷ υἱῷ ἀνθρώπου καὶ υἱῷ θεοῦ, εἰς τὸ ὑπακούειν ὑμᾶς τῷ ἐπισκόπῳ καὶ τῷ πρεσβυτερίῳ ἀπερισπάστῳ διανοίᾳ, ἕνα ἄρτον κλῶντες, ὅς ἐστιν φάρμακον ἀθανασίας, ἀντίδοτος τοῦ μὴ ἀποθανεῖν, ἀλλὰ ζῆν ἐν Ἰησοῦ Χριστῷ διὰ παντός.

XXI. Ἀντίψυχον ὑμῶν ἐγώ, καὶ ὧν ἐπέμψατε εἰς θεοῦ τιμὴν εἰς Σμύρναν, ὅθεν καὶ γράφω ὑμῖν, εὐχαριστῶν τῷ κυρίῳ, ἀγαπῶν Πολύκαρπον ὡς καὶ ὑμᾶς. μνημονεύετέ μου, ὡς καὶ ὑμῶν Ἰησοῦς Χριστός. 2. Προσεύχεσθε ὑπὲρ τῆς ἐκκλησίας τῆς ἐν Συρίᾳ, ὅθεν δεδεμένος εἰς Ῥώμην ἀπάγομαι, ἔσχατος ὢν τῶν ἐκεῖ πιστῶν, ὥσπερ ἠξιώθην εἰς τιμὴν θεοῦ εὑρεθῆναι. ἔρρωσθε ἐν θεῷ πατρὶ καὶ ἐν Ἰησοῦ Χριστῷ, τῇ κοινῇ ἐλπίδι ἡμῶν.

ΜΑΓΝΗΣΙΕΥΣΙΝ ΙΓΝΑΤΙΟΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ εὐλογημένῃ ἐν χάριτι θεοῦ πατρὸς ἐν Χριστῷ Ἰησοῦ τῷ σωτῆρι ἡμῶν, ἐν ᾧ ἀσπάζομαι τὴν ἐκκλησίαν τὴν οὖσαν ἐν Μαγνησίᾳ τῇ πρὸς Μαιάνδρῳ καὶ εὔχομαι ἐν θεῷ πατρὶ καὶ ἐν Ἰησοῦ Χριστῷ πλεῖστα χαίρειν.

I. Γνοὺς ὑμῶν τὸ πολυεύτακτον τῆς κατὰ θεὸν ἀγάπης, ἀγαλλιώμενος προειλόμην ἐν πίστει Ἰησοῦ Χριστοῦ προσλαλῆσαι ὑμῖν. 2. καταξιωθεὶς γὰρ ὀνόματος θεοπρεπεστάτου, ἐν οἷς περιφέρω δεσμοῖς ᾄδω τὰς ἐκκλησίας, ἐν αἷς ἕνωσιν εὔχομαι σαρκὸς καὶ πνεύματος Ἰησοῦ Χριστοῦ, τοῦ διὰ παντὸς ἡμᾶς ζῆν, πίστεώς τε καὶ

ἀγάπης, ἧς οὐδὲν προκέκριται, τὸ δὲ κυριώτερον Ἰησοῦ καὶ πατρός· 3. ἐν ᾧ ὑπομένοντες τὴν πᾶσαν ἐπήρειαν τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου καὶ διαφυγόντες, θεοῦ τευξόμεθα.

II. Ἐπεὶ οὖν ἠξιώθην ἰδεῖν ὑμᾶς διὰ Δαμᾶ τοῦ ἀξιοθέου ὑμῶν ἐπισκόπου καὶ πρεσβυτέρων ἀξίων Βάσσου καὶ Ἀπολλωνίου καὶ τοῦ συνδούλου μου διακόνου Ζωτίωνος, οὗ ἐγὼ ὀναίμην, ὅτι ὑποτάσσεται τῷ ἐπισκόπῳ ὡς χάριτι θεοῦ, καὶ τῷ πρεσβυτερίῳ ὡς νόμῳ Ἰησοῦ Χριστοῦ.

III. Καὶ ὑμῖν δὲ πρέπει μὴ συγχρᾶσθαι τῇ ἡλικίᾳ τοῦ ἐπισκόπου, ἀλλὰ κατὰ δύναμιν θεοῦ πατρὸς πᾶσαν ἐντροπὴν αὐτῷ ἀπονέμειν, καθὼς ἔγνων καὶ τοὺς ἁγίους πρεσβυτέρους οὐ προσειληφότας τὴν φαινομένην νεωτερικὴν τάξιν, ἀλλ' ὡς φρονίμους ἐν θεῷ συγχωροῦντας αὐτῷ, οὐκ αὐτῷ δέ, ἀλλὰ τῷ πατρὶ Ἰησοῦ Χριστοῦ, τῷ πάντων ἐπισκόπῳ. 2. Εἰς τιμὴν οὖν ἐκείνου τοῦ θελήσαντος ἡμᾶς, πρέπον ἐστὶν ἐπακούειν κατὰ μηδεμίαν ὑπόκρισιν· ἐπεὶ οὐχὶ τὸν ἐπίσκοπον τοῦτον τὸν βλεπόμενον πλανᾷ τις, ἀλλὰ τὸν ἀόρατον παραλογίζεται. τὸ δὲ τοιοῦτον οὐ πρὸς σάρκα ὁ λόγος, ἀλλὰ πρὸς θεόν, τὸν τὰ κρύφια εἰδότα.

IV. Πρέπον οὖν ἐστίν, μὴ μόνον καλεῖσθαι Χριστιανούς, ἀλλὰ καὶ εἶναι· ὥσπερ καί τινες ἐπίσκοπον μὲν καλοῦσιν, χωρὶς δὲ αὐτοῦ πάντα πράσσουσιν. οἱ τοιοῦτοι δὲ οὐκ εὐσυνείδητοί μοι εἶναι φαίνονται, διὰ τὸ μὴ βεβαίως κατ' ἐντολὴν συναθροίζεσθαι.

V. Ἐπεὶ οὖν τέλος τὰ πράγματα ἔχει, καὶ πρόκειται τὰ δύο ὁμοῦ, ὅ τε θάνατος καὶ ἡ ζωή, καὶ ἕκαστος «εἰς τὸν ἴδιον τόπον[1]» μέλλει χωρεῖν· 2. ὥσπερ γάρ ἐστιν νομίσματα δύο, ὃ μὲν θεοῦ, ὃ δὲ κόσμου, καὶ ἕκαστον αὐτῶν ἴδιον χαρακτῆρα ἐπικείμενον ἔχει, οἱ ἄπιστοι τοῦ κόσμου τούτου, οἱ δὲ πιστοὶ ἐν ἀγάπῃ χαρακτῆρα θεοῦ πατρὸς διὰ Ἰησοῦ Χριστοῦ· δι' οὗ ἐὰν μὴ αὐθαιρέτως ἔχωμεν τὸ ἀποθανεῖν εἰς τὸ αὐτοῦ πάθος, τὸ ζῆν αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

VI. Ἐπεὶ οὖν ἐν τοῖς προγεγραμμένοις προσώποις τὸ πᾶν πλῆθος ἐθεώρησα ἐν πίστει καὶ ἠγάπησα, παραινῶ, ἐν ὁμονοίᾳ θεοῦ σπουδάζετε πάντα πράσσειν, προκαθημένου τοῦ ἐπισκόπου εἰς τύπον θεοῦ καὶ τῶν πρεσβυτέρων εἰς τύπον συνεδρίου τῶν ἀποστόλων καὶ τῶν διακόνων, τῶν ἐμοὶ γλυκυτάτων, πεπιστευμένων διακονίαν Ἰησοῦ Χριστοῦ, ὃς πρὸ αἰώνων παρὰ πατρὶ ἦν καὶ ἐν τέλει ἐφάνη. 2. Πάντες οὖν, ὁμοήθειαν θεοῦ λαβόντες, ἐντρέπεσθε ἀλλήλους, καὶ μηδεὶς κατὰ σάρκα βλεπέτω τὸν πλησίον, ἀλλ' ἐν Ἰησοῦ Χριστῷ ἀλλήλους διὰ παντὸς ἀγαπᾶτε. μηδὲν ἔστω ἐν ὑμῖν, ὃ δυνήσεται ὑμᾶς μερίσαι, ἀλλ' ἑνώθητε τῷ ἐπισκόπῳ καὶ τοῖς προκαθημένοις εἰς τύπον καὶ διδαχὴν ἀφθαρσίας.[2]

VII. Ὥσπερ οὖν ὁ κύριος ἄνευ τοῦ πατρὸς οὐδὲν ἐποίησεν, ἡνω-

1. Πράξ. 1, 25. 2. Πρβλ. Τίτ. 2, 7.

μένος ὤν, οὔτε δι' ἑαυτοῦ, οὔτε διὰ τῶν ἀποστόλων· οὕτως μηδὲ ὑμεῖς ἄνευ τοῦ ἐπισκόπου καὶ τῶν πρεσβυτέρων μηδὲν πράσσετε· μηδὲ πειράσητε εὔλογόν τι φαίνεσθαι ἰδίᾳ ὑμῖν, ἀλλ' ἐπὶ τὸ αὐτό. μία προσευχή, μία δέησις, εἷς νοῦς, μία ἐλπὶς ἐν ἀγάπῃ, ἐν τῇ χαρᾷ τῇ ἀμώμῳ, ὅ ἐστιν Ἰησοῦς Χριστός, οὗ ἄμεινον οὐδέν ἐστιν. 2. πάντες ὡς εἰς ἕνα ναὸν συντρέχετε θεοῦ, ὡς ἐπὶ ἓν θυσιαστήριον, ἐπὶ ἕνα Ἰησοῦν Χριστόν, τὸν ἀφ' ἑνὸς πατρὸς προελθόντα καὶ εἰς ἕνα ὄντα καὶ χωρήσαντα.

VIII. Μὴ πλανᾶσθε ταῖς ἑτεροδοξίαις μηδὲ μυθεύμασιν τοῖς παλαιοῖς, ἀνωφελέσιν οὖσιν. εἰ γὰρ μέχρι νῦν κατὰ νόμον Ἰουδαϊσμὸν ζῶμεν, ὁμολογοῦμεν χάριν μὴ εἰληφέναι.[1] 2. Οἱ γὰρ θειότατοι προφῆται κατὰ Χριστὸν Ἰησοῦν ἔζησαν. διὰ τοῦτο καὶ ἐδιώχθησαν, ἐνπνεόμενοι ὑπὸ τῆς χάριτος αὐτοῦ, εἰς τὸ πληροφορηθῆναι τοὺς ἀπειθοῦντας, ὅτι εἷς θεός ἐστιν,ὁ φανερώσας ἑαυτὸν διὰ Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ, ὅς ἐστιν αὐτοῦ λόγος, ἀπὸ σιγῆς προελθών, ὃς κατὰ πάντα εὐηρέστησεν τῷ πέμψαντι αὐτόν.[2]

IX. Εἰ οὖν οἱ ἐν παλαιοῖς πράγμασιν ἀναστραφέντες εἰς καινότητα ἐλπίδος ἦλθον, μηκέτι σαββατίζοντες, ἀλλὰ κατὰ κυριακὴν ζῶντες, ἐν ᾗ καὶ ἡ ζωὴ ἡμῶν ἀνέτειλεν δι' αὐτοῦ καὶ τοῦ θανάτου αὐτοῦ—2. ὅ τινες ἀρνοῦνται· δι' οὗ μυστηρίου ἐλάβομεν τὸ πιστεύειν· καὶ διὰ τοῦτο ὑπομένομεν, ἵνα εὑρεθῶμεν μαθηταὶ Ἰησοῦ Χριστοῦ τοῦ μόνου διδασκάλου ἡμῶν—, πῶς ἡμεῖς δυνησόμεθα ζῆσαι χωρὶς αὐτοῦ· 3. οὗ καὶ οἱ προφῆται μαθηταὶ ὄντες τῷ πνεύματι, ὡς διδάσκαλον αὐτὸν προσεδόκων· καὶ διὰ τοῦτο, ὃν δικαίως ἀνέμενον, παρὼν ἤγειρεν αὐτοὺς ἐκ νεκρῶν.[3]

X. Μὴ οὖν ἀναισθητῶμεν τῆς χρηστότητος αὐτοῦ. ἂν γὰρ ἡμᾶς μιμήσεται, καθὰ πράσσομεν, οὐκέτι ἐσμέν. διὰ τοῦτο, μαθηταὶ αὐτοῦ γενόμενοι, μάθωμεν κατὰ Χριστιανισμὸν ζῆν. ὃς γὰρ ἄλλῳ ὀνόματι καλεῖται πλέον τούτου, οὐκ ἔστιν τοῦ θεοῦ. 2. ὑπέρθεσθε οὖν τὴν κακὴν ζύμην, τὴν παλαιωθεῖσαν καὶ ἐνοξίσασαν, καὶ μεταβάλεσθε εἰς νέαν ζύμην, ὅ ἐστιν Ἰησοῦς Χριστός. ἁλίσθητε ἐν αὐτῷ, ἵνα μὴ διαφθαρῇ τις ἐν ὑμῖν, ἐπεὶ ἀπὸ τῆς ὀσμῆς ἐλεγχθήσεσθε. 3. ἄτοπόν ἐστιν, Χριστὸν Ἰησοῦν λαλεῖν καὶ ἰουδαΐζειν. ὁ γὰρ Χριστιανισμὸς οὐκ εἰς Ἰουδαϊσμὸν ἐπίστευσεν, ἀλλ' Ἰουδαϊσμὸς εἰς Χριστιανισμόν, εἰς ὃν πᾶσα γλῶσσα πιστεύσασα εἰς θεὸν συνήχθη.

XI. Ταῦτα δέ, ἀγαπητοί μου, οὐκ ἐπεὶ ἔγνων τινὰς ἐξ ὑμῶν οὕτως ἔχοντας, ἀλλ' ὡς μικρότερος ὑμῶν θέλω προφυλάσσεσθαι ὑμᾶς, μὴ ἐμπεσεῖν εἰς τὰ ἄγκιστρα τῆς κενοδοξίας, ἀλλὰ πεπληροφορῆσθαι ἐν τῇ γεννήσει καὶ τῷ πάθει καὶ τῇ ἀναστάσει τῇ γενομένῃ ἐν καιρῷ τῆς ἡγεμονίας Ποντίου Πιλάτου· πραχθέντα ἀληθῶς καὶ βεβαίως

1. Πρβλ. Α' Τιμ. 1, 4. Τίτ. 1, 14. 3, 9. 2. Πρβλ. Ἰω. 8, 29. 3. Ματθ. 27, 52.

ὑπὸ Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, ἧς ἐκτραπῆναι μηδενὶ ὑμῶν γένοιτο.

XII. Ὀναίμην ὑμῶν κατὰ πάντα, ἐάνπερ ἄξιος ὦ. εἰ γὰρ καὶ δέδεμαι, πρὸς ἕνα τῶν λελυμένων ὑμῶν οὐκ εἰμι. οἶδα ὅτι οὐ φυσιοῦσθε· Ἰησοῦν γὰρ Χριστὸν ἔχετε ἐν ἑαυτοῖς· καὶ μᾶλλον, ὅταν ἐπαινῶ ὑμᾶς, οἶδα ὅτι ἐντρέπεσθε, ὡς γέγραπται, ὅτι «ὁ δίκαιος ἑαυτοῦ κατήγορος.[1]»

XIII. Σπουδάζετε οὖν βεβαιωθῆναι ἐν τοῖς δόγμασιν τοῦ κυρίου καὶ τῶν ἀποστόλων, ἵνα «πάντα, ὅσα ποιῆτε, κατευοδωθῇ[2]» σαρκὶ καὶ πνεύματι, πίστει καὶ ἀγάπῃ, ἐν υἱῷ καὶ πατρὶ καὶ ἐν πνεύματι, ἐν ἀρχῇ καὶ ἐν τέλει, μετὰ τοῦ ἀξιοπρεπεστάτου ἐπισκόπου ὑμῶν καὶ ἀξιοπλόκου πνευματικοῦ στεφάνου τοῦ πρεσβυτερίου ὑμῶν καὶ τῶν κατὰ θεὸν διακόνων. 2. Ὑποτάγητε τῷ ἐπισκόπῳ καὶ ἀλλήλοις, ὡς ὁ Χριστὸς τῷ πατρὶ κατὰ σάρκα, καὶ οἱ ἀπόστολοι τῷ Χριστῷ καὶ τῷ πατρὶ καὶ τῷ πνεύματι· ἵνα ἕνωσις ᾖ σαρκική τε καὶ πνευματική.

XIV. Εἰδὼς ὅτι θεοῦ γέμετε, συντόμως παρεκέλευσα ὑμᾶς. μνημονεύετέ μου ἐν ταῖς προσευχαῖς ὑμῶν, ἵνα θεοῦ ἐπιτύχω, καὶ τῆς ἐν Συρίᾳ ἐκκλησίας—ὅθεν οὐκ ἄξιός εἰμι καλεῖσθαι· ἐπιδέομαι γὰρ τῆς ἡνωμένης ὑμῶν ἐν θεῷ προσευχῆς καὶ ἀγάπης—εἰς τὸ ἀξιωθῆναι τὴν ἐν Συρίᾳ ἐκκλησίαν διὰ τῆς ἐκκλησίας ὑμῶν δροσισθῆναι.

XV. Ἀσπάζονται ὑμᾶς Ἐφέσιοι ἀπὸ Σμύρνης, ὅθεν καὶ γράφω ὑμῖν, παρόντες εἰς δόξαν θεοῦ, ὥσπερ καὶ ὑμεῖς, οἳ κατὰ πάντα με ἀνέπαυσαν ἅμα Πολυκάρπῳ, ἐπισκόπῳ Σμυρναίων. καὶ αἱ λοιπαὶ δὲ ἐκκλησίαι ἐν τιμῇ Ἰησοῦ Χριστοῦ ἀσπάζονται ὑμᾶς. ἔρρωσθε ἐν ὁμονοίᾳ θεοῦ, κεκτημένοι ἀδιάκριτον πνεῦμα, ὅς ἐστιν Ἰησοῦς Χριστός.

ΤΡΑΛΛΙΑΝΟΙΣ ΙΓΝΑΤΙΟΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, ἠγαπημένῃ θεῷ, πατρὶ Ἰησοῦ Χριστοῦ, ἐκκλησίᾳ ἁγίᾳ, τῇ οὔσῃ ἐν Τράλλεσιν τῆς Ἀσίας, ἐκλεκτῇ καὶ ἀξιοθέῳ, εἰρηνευούσῃ ἐν σαρκὶ καὶ πνεύματι τῷ πάθει Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν ἐν τῇ εἰς αὐτὸν ἀναστάσει· ἣν καὶ ἀσπάζομαι ἐν τῷ πληρώματι, ἐν ἀποστολικῷ χαρακτῆρι καὶ εὔχομαι πλεῖστα χαίρειν.

I. Ἄμωμον διάνοιαν καὶ ἀδιάκριτον ἐν ὑπομονῇ ἔγνων ὑμᾶς ἔχοντας, οὐ κατὰ χρῆσιν, ἀλλὰ κατὰ φύσιν, καθὼς ἐδήλωσέν μοι Πολύβιος, ὁ ἐπίσκοπος ὑμῶν, ὃς παρεγένετο θελήματι θεοῦ καὶ Ἰησοῦ Χριστοῦ ἐν Σμύρνῃ, καὶ οὕτως μοι συνεχάρη δεδεμένῳ ἐν Ἰησοῦ Χριστῷ, ὥστε με τὸ πᾶν πλῆθος ὑμῶν ἐν αὐτῷ θεωρεῖσθαι.

---

1. Παρμ. 18, 17. 2. Πρβλ. Ψαλμ. 1, 3.

2. ἀποδεξάμενος οὖν τὴν κατὰ θεὸν εὔνοιαν δι' αὐτοῦ, ἐδόξασα, εὑρὼν ὑμᾶς ὡς ἔγνων μιμητὰς ὄντας θεοῦ.

II. Ὅταν γὰρ τῷ ἐπισκόπῳ ὑποτάσσησθε ὡς Ἰησοῦ Χριστῷ, φαίνεσθέ μοι οὐ κατὰ ἀνθρώπους ζῶντες, ἀλλὰ κατὰ Ἰησοῦν Χριστόν, τὸν δι' ἡμᾶς ἀποθανόντα, ἵνα πιστεύσαντες εἰς τὸν θάνατον αὐτοῦ τὸ ἀποθανεῖν ἐκφύγητε. 2. Ἀναγκαῖον οὖν ἐστίν, ὥσπερ ποιεῖτε, ἄνευ τοῦ ἐπισκόπου μηδὲν πράσσειν ὑμᾶς· ἀλλ' ὑποτάσσεσθε καὶ τῷ πρεσβυτερίῳ, ὡς τοῖς ἀποστόλοις Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, ἐν ᾧ διάγοντες εὑρεθησόμεθα. 3. Δεῖ δὲ καὶ τοὺς διακόνους ὄντας μυστηρίων Ἰησοῦ Χριστοῦ κατὰ πάντα τρόπον πᾶσιν ἀρέσκειν. οὐ γὰρ βρωμάτων καὶ ποτῶν εἰσὶν διάκονοι, ἀλλ' ἐκκλησίας θεοῦ ὑπηρέται. δέον οὖν αὐτοὺς φυλάσσεσθαι τὰ ἐγκλήματα ὡς πῦρ.

III. Ὁμοίως πάντες ἐντρεπέσθωσαν τοὺς διακόνους ὡς Ἰησοῦν Χριστόν, ὡς καὶ τὸν ἐπίσκοπον, ὄντα τύπον τοῦ πατρός, τοὺς δὲ πρεσβυτέρους ὡς συνέδριον θεοῦ καὶ ὡς σύνδεσμον ἀποστόλων. χωρὶς τούτων ἐκκλησία οὐ καλεῖται. 2. περὶ ὧν πέπεισμαι ὑμᾶς οὕτως ἔχειν. τὸ γὰρ ἐξεμπλάριον τῆς ἀγάπης ὑμῶν ἔλαβον καὶ ἔχω μεθ' ἑαυτοῦ ἐν τῷ ἐπισκόπῳ ὑμῶν, οὗ αὐτὸ τὸ κατάστημα μεγάλη μαθητεία, ἡ δὲ πραότης αὐτοῦ δύναμις· ὃν λογίζομαι καὶ τοὺς ἀθέους ἐντρέπεσθαι. 3. Ἀγαπῶν ὑμᾶς φείδομαι, συντονώτερον δυνάμενος γράφειν ὑπὲρ τούτου· οὐκ εἰς τοῦτο ᾠήθην, ἵνα ὢν κατάκριτος ὡς ἀπόστολος ὑμῖν διατάσσωμαι.

IV. Πολλὰ φρονῶ ἐν θεῷ· ἀλλ' ἐμαυτὸν μετρῶ, ἵνα μὴ ἐν καυχήσει ἀπόλωμαι. νῦν γάρ με δεῖ πλέον φοβεῖσθαι καὶ μὴ προσέχειν τοῖς φυσιοῦσίν με. οἱ γὰρ λέγοντές μοι μαστιγοῦσίν με. 2. ἀγαπῶ μὲν γὰρ τὸ παθεῖν· ἀλλ' οὐκ οἶδα, εἰ ἄξιός εἰμι. τὸ γὰρ ζῆλος πολλοῖς μὲν οὐ φαίνεται, ἐμὲ δὲ πλέον πολεμεῖ. χρῄζω οὖν πραότητος, ἐν ᾗ καταλύεται ὁ ἄρχων τοῦ αἰῶνος τούτου.

V. Μὴ οὐ δύναμαι τὰ ἐπουράνια γράψαι; ἀλλὰ φοβοῦμαι, μὴ νηπίοις οὖσιν ὑμῖν βλάβην παραθῶ. καὶ συγγνωμονεῖτέ μοι, μήποτε οὐ δυνηθέντες χωρῆσαι στραγγαλωθῆτε. 2. καὶ γὰρ ἐγώ, οὐ καθότι δέδεμαι καὶ δύναμαι νοεῖν τὰ ἐπουράνια καὶ τὰς τοποθεσίας τὰς ἀγγελικὰς καὶ τὰς συστάσεις τὰς ἀρχοντικάς, ὁρατά τε καὶ ἀόρατα, παρὰ τοῦτο ἤδη καὶ μαθητής εἰμι. πολλὰ γὰρ ἡμῖν λείπει, ἵνα θεοῦ μὴ λειπώμεθα.

VI. Παρακαλῶ οὖν ὑμᾶς, οὐκ ἐγώ, ἀλλ' ἡ ἀγάπη Ἰησοῦ Χριστοῦ, μόνῃ τῇ χριστιανῇ τροφῇ χρῆσθαι, ἀλλοτρίας δὲ βοτάνης ἀπέχεσθαι, ἥτις ἐστὶν αἵρεσις. 2. οἳ ἑαυτοῖς παρεμπλέκουσιν Ἰησοῦν Χριστὸν καταξιοπιστευόμενοι, ὥσπερ θανάσιμον φάρμακον διδόντες μετὰ οἰνομέλιτος, ὅπερ ὁ ἀγνοῶν ἡδέως λαμβάνει ἐν ἡδονῇ κακῇ τὸ ἀποθανεῖν.

VII. Φυλάττεσθε οὖν τοὺς τοιούτους. τοῦτο δὲ ἔσται ὑμῖν μὴ φυσιουμένοις, καὶ οὖσιν ἀχωρίστοις θεοῦ Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἐπισκό-

που καὶ τῶν διαταγμάτων τῶν ἀποστόλων. 2. ὁ ἐντὸς θυσιαστηρίου ὢν καθαρός ἐστιν, τοῦτέστιν ὁ χωρὶς ἐπισκόπου καὶ πρεσβυτερίου καὶ διακόνου πράσσων τι, οὗτος οὐ καθαρός ἐστιν τῇ συνειδήσει.

VIII. Οὐκ ἐπεὶ ἔγνων τοιοῦτόν τι ἐν ὑμῖν, ἀλλὰ προφυλάσσω ὑμᾶς ὄντας μου ἀγαπητούς, προορῶν τὰς ἐνέδρας τοῦ διαβόλου. ὑμεῖς οὖν τὴν πραϋπάθειαν ἀναλαβόντες ἀνακτίσασθε ἑαυτοὺς ἐν πίστει, ὅ ἐστιν σὰρξ τοῦ κυρίου, καὶ ἐν ἀγάπῃ, ὅ ἐστιν αἷμα Ἰησοῦ Χριστοῦ. 2. μηδεὶς ὑμῶν κατὰ τοῦ πλησίον ἐχέτω. μὴ ἀφορμὰς δίδοτε τοῖς ἔθνεσιν, ἵνα μὴ δι' ὀλίγους ἄφρονας τὸ ἐν θεῷ πλῆθος βλασφημεῖται. «Οὐαὶ γάρ, δι' οὗ ἐπὶ ματαιότητι τὸ ὄνομά μου ἐπί τινων βλασφημεῖται.[1]»

IX. Κωφώθητε οὖν, ὅταν ὑμῖν χωρὶς Ἰησοῦ Χριστοῦ λαλῇ τις, τοῦ ἐκ γένους Δαβίδ, τοῦ ἐκ Μαρίας, ὃς ἀληθῶς ἐγεννήθη, ἔφαγέν τε καὶ ἔπιεν, ἀληθῶς ἐδιώχθη ἐπὶ Ποντίου Πιλάτου, ἀληθῶς ἐσταυρώθη καὶ ἀπέθανεν, βλεπόντων τῶν ἐπουρανίων καὶ ἐπιγείων καὶ ὑποχθονίων· 2. ὃς καὶ ἀληθῶς ἠγέρθη ἀπὸ νεκρῶν, ἐγείραντος αὐτὸν τοῦ πατρὸς αὐτοῦ· οὗ καὶ κατὰ τὸ ὁμοίωμα ἡμᾶς, τοὺς πιστεύοντας αὐτῷ, οὕτως ἐγερεῖ ὁ πατὴρ αὐτοῦ ἐν Χριστῷ Ἰησοῦ, οὗ χωρὶς τὸ ἀληθινὸν ζῆν οὐκ ἔχομεν.

X. Εἰ δέ, ὥσπερ τινὲς ἄθεοι ὄντες, τοὐτέστιν ἄπιστοι, λέγουσιν, τὸ δοκεῖν πεπονθέναι αὐτόν, αὐτοὶ ὄντες τὸ δοκεῖν, ἐγὼ τί δέδεμαι, τί δὲ καὶ εὔχομαι θηριομαχῆσαι; δωρεὰν οὖν ἀποθνήσκω· ἄρα οὖν καταψεύδομαι τοῦ κυρίου.

XI. Φεύγετε οὖν τὰς κακὰς παραφυάδας, τὰς γεννώσας καρπὸν θανατηφόρον, οὗ ἐὰν γεύσηταί τις, παρ' αὐτὰ ἀποθνήσκει. οὗτοι γὰρ «οὐκ εἰσιν φυτεία πατρός.[2]» 2. εἰ γὰρ ἦσαν, ἐφαίνοντο ἂν κλάδοι τοῦ σταυροῦ, καὶ ἦν ἂν ὁ καρπὸς αὐτῶν ἄφθαρτος· δι' οὗ ἐν τῷ πάθει αὐτοῦ προσκαλεῖται ὑμᾶς, ὄντας μέλη αὐτοῦ. οὐ δύναται οὖν κεφαλὴ χωρὶς γεννηθῆναι ἄνευ μελῶν, τοῦ θεοῦ ἕνωσιν ἐπαγγελλομένου, ὅς ἐστιν αὐτός.

XII. Ἀσπάζομαι ὑμᾶς ἀπὸ Σμύρνης, ἅμα ταῖς συμπαρούσαις μοι ἐκκλησίαις τοῦ θεοῦ, οἳ κατὰ πάντα με ἀνέπαυσαν σαρκί τε καὶ πνεύματι. 2. παρακαλεῖ ὑμᾶς τὰ δεσμά μου, ἃ ἕνεκεν Ἰησοῦ Χριστοῦ περιφέρω, αἰτούμενος θεοῦ ἐπιτυχεῖν· διαμένετε ἐν τῇ ὁμονοίᾳ ὑμῶν καὶ τῇ μετ' ἀλλήλων προσευχῇ. πρέπει γὰρ ὑμῖν τοῖς καθ' ἕνα, ἐξαιρέτως καὶ τοῖς πρεσβυτέροις, ἀναψύχειν τὸν ἐπίσκοπον εἰς τιμὴν πατρὸς Ἰησοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων. 3. εὔχομαι ὑμᾶς ἐν ἀγάπῃ ἀκοῦσαί μου, ἵνα μὴ εἰς μαρτύριον ὦ ἐν ὑμῖν γράψας. καὶ περὶ ἐμοῦ δὲ προσεύχεσθε, τῆς ἀφ' ὑμῶν ἀγάπης χρῄζοντος ἐν τῷ ἐλέει τοῦ θεοῦ, εἰς τὸ καταξιωθῆναί με τοῦ κλήρου, οὗ περίκειμαι ἐπιτυχεῖν, «ἵνα μὴ ἀδόκιμος εὑρεθῶ.[3]»

---

1. Ἡσ. 52, 5. 2. Ματθ. 15, 13. 3. Α' Κορ. 9, 27.

XIII. Ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη Σμυρναίων καὶ Ἐφεσίων. μνημονεύετε ἐν ταῖς προσευχαῖς ὑμῶν τῆς ἐν Συρίᾳ ἐκκλησίας· ὅθεν καὶ οὐκ ἄξιός εἰμι λέγεσθαι, ὢν ἔσχατος ἐκείνων. 2. ἔρρωσθε ἐν Ἰησοῦ Χριστῷ, ὑποτασσόμενοι τῷ ἐπισκόπῳ ὡς τῇ ἐντολῇ, ὁμοίως καὶ τῷ πρεσβυτερίῳ· καὶ οἱ κατ' ἄνδρα ἀλλήλους ἀγαπᾶτε ἐν ἀμερίστῳ καρδίᾳ. 3. ἁγνίζεται ὑπὲρ ὑμῶν τὸ ἐμὸν πνεῦμα, οὐ μόνον νῦν, ἀλλὰ καὶ ὅταν θεοῦ ἐπιτύχω. ἔτι γὰρ ὑπὸ κίνδυνόν εἰμι· ἀλλὰ πιστὸς ὁ πατὴρ ἐν Ἰησοῦ Χριστῷ, πληρῶσαί μου τὴν αἴτησιν καὶ ὑμῶν· ἐν ᾧ εὑρεθείητε ἄμωμοι.

ΡΩΜΑΙΟΙΣ ΙΓΝΑΤΙΟΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ ἠλεημένῃ ἐν μεγαλειότητι πατρὸς ὑψίστου καὶ Ἰησοῦ Χριστοῦ, τοῦ μόνου υἱοῦ αὐτοῦ, ἐκκλησίᾳ ἠγαπημένῃ καὶ πεφωτισμένῃ ἐν θελήματι τοῦ θελήσαντος τὰ πάντα ἅ ἐστιν κατὰ ἀγάπην Ἰησοῦ Χριστοῦ, τοῦ θεοῦ ἡμῶν· ἥτις καὶ προκάθηται ἐν τύπῳ χωρίου Ῥωμαίων, ἀξιόθεος, ἀξιοπρεπής, ἀξιομακάριστος, ἀξιέπαινος, ἀξιοεπίτευκτος, ἀξιόαγνος καὶ προκαθημένη τῆς ἀγάπης, χριστόνομος, πατρώνυμος, ἣν καὶ ἀσπάζομαι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, υἱοῦ πατρός· κατὰ σάρκα καὶ πνεῦμα ἡνωμένοις πάσῃ ἐντολῇ αὐτοῦ, πεπληρωμένοις χάριτος θεοῦ ἀδιακρίτως καὶ ἀποδιϋλισμένοις ἀπὸ παντὸς ἀλλοτρίου χρώματος πλεῖστα ἐν Ἰησοῦ Χριστῷ, τῷ θεῷ ἡμῶν, ἀμώμως χαίρειν.

I. Ἐπεὶ εὐξάμενος θεῷ ἐπέτυχον ἰδεῖν ὑμῶν τὰ ἀξιόθεα πρόσωπα, ὡς καὶ πλέον ᾐτούμην λαβεῖν· δεδεμένος γὰρ ἐν Χριστῷ Ἰησοῦ ἐλπίζω ὑμᾶς ἀσπάσασθαι, ἐάνπερ θέλημα ᾖ τοῦ ἀξιωθῆναί με εἰς τέλος εἶναι. 2. ἡ μὲν γὰρ ἀρχὴ εὐοικονόμητός ἐστιν, ἐάνπερ χάριτος ἐπιτύχω, εἰς τὸ τὸν κλῆρον μου ἀνεμποδίστως ἀπολαβεῖν. φοβοῦμαι γὰρ τὴν ὑμῶν ἀγάπην, μὴ αὐτή με ἀδικήσῃ. ὑμῖν γὰρ εὐχερές ἐστιν, ὃ θέλετε ποιῆσαι· ἐμοὶ δὲ δύσκολόν ἐστιν τοῦ θεοῦ ἐπιτυχεῖν, ἐάνπερ ὑμεῖς μὴ φείσησθέ μου.

II. Οὐ γὰρ θέλω ὑμᾶς ἀνθρωπαρεσκῆσαι, ἀλλὰ θεῷ ἀρέσαι, ὥσπερ καὶ ἀρέσκετε. οὐ γὰρ ἐγώ ποτε ἕξω καιρὸν τοιοῦτον θεοῦ ἐπιτυχεῖν· οὔτε ὑμεῖς, ἐὰν σιωπήσητε, κρείττονι ἔργῳ ἔχετε ἐπιγραφῆναι. ἐὰν γὰρ σιωπήσητε ἀπ' ἐμοῦ, λόγος γενήσομαι θεοῦ· ἐὰν δὲ ἐρασθῆτε τῆς σαρκός μου, πάλιν ἔσομαι ἠχώ. 2. πλέον μοι μὴ παράσχησθε τοῦ σπονδισθῆναι θεῷ, ὡς ἔτι θυσιαστήριον ἕτοιμόν ἐστιν, ἵνα ἐν ἀγάπῃ χορὸς γενόμενοι ᾄσητε τῷ πατρὶ ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὸν ἐπίσκοπον Συρίας ὁ θεὸς κατηξίωσεν εὑρεθῆναι εἰς δύσιν, ἀπὸ ἀνατολῆς μεταπεμψάμενος. καλὸν τὸ δῦναι ἀπὸ κόσμου πρὸς θεόν, ἵνα εἰς αὐτὸν ἀνατείλω.

III. Οὐδέποτε ἐβασκάνατε οὐδένα· ἄλλους ἐδιδάξατε. ἐγὼ δὲ θέλω, ἵνα κἀκεῖνα βέβαια ᾖ, ἃ μαθητεύοντες ἐντέλλεσθε. 2. μόνον μοι δύναμιν αἰτεῖσθε ἔσωθέν τε καὶ ἔξωθεν, ἵνα μὴ μόνον λέγω, ἀλλὰ καὶ θέλω, ἵνα μὴ μόνον λέγωμαι Χριστιανός, ἀλλὰ καὶ εὑρεθῶ. ἐὰν γὰρ εὑρεθῶ, καὶ λέγεσθαι δύναμαι, καὶ τότε πιστὸς εἶναι, ὅταν κόσμῳ μὴ φαίνωμαι. 3. οὐδὲν φαινόμενον ἀγαθόν. ὁ γὰρ θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς ἐν πατρὶ ὢν μᾶλλον φαίνεται. οὐ πεισμονῆς τὸ ἔργον, ἀλλὰ μεγέθους ἐστὶν ὁ Χριστιανισμός, ὅταν μισῆται ὑπὸ κόσμου.

IV. Ἐγὼ γράφω πάσαις ταῖς ἐκκλησίαις καὶ ἐντέλλομαι πᾶσιν, ὅτι ἐγὼ ἑκὼν ὑπὲρ θεοῦ ἀποθνήσκω, ἐάνπερ ὑμεῖς μὴ κωλύσητε. παρακαλῶ ὑμᾶς, μὴ εὔνοια ἄκαιρος γένησθέ μοι. ἄφετέ με θηρίων εἶναι βοράν, δι' ὧν ἔστιν θεοῦ ἐπιτυχεῖν. σῖτός εἰμι θεοῦ, καὶ δι' ὀδόντων θηρίων ἀλήθομαι, ἵνα καθαρὸς ἄρτος εὑρεθῶ τοῦ Χριστοῦ. 2. μᾶλλον κολακεύσατε τὰ θηρία, ἵνα μοι τάφος γένωνται καὶ μηδὲν καταλίπωσι τῶν τοῦ σώματός μου, ἵνα μὴ κοιμηθεὶς βαρύς τινι γένωμαι. τότε ἔσομαι μαθητὴς ἀληθὴς τοῦ Χριστοῦ, ὅτε οὐδὲ τὸ σῶμά μου ὁ κόσμος ὄψεται. λιτανεύσατε τὸν Χριστὸν ὑπὲρ ἐμοῦ, ἵνα διὰ τῶν ὀργάνων τούτων θεῷ θυσία εὑρεθῶ. 3. Οὐχ ὡς Πέτρος καὶ Παῦλος διατάσσομαι ὑμῖν. ἐκεῖνοι ἀπόστολοι, ἐγὼ κατάκριτος· ἐκεῖνοι ἐλεύθεροι, ἐγὼ δὲ μέχρι νῦν δοῦλος. ἀλλ' ἐὰν πάθω, ἀπελεύθερος Ἰησοῦ Χριστοῦ, καὶ ἀναστήσομαι ἐν αὐτῷ ἐλεύθερος. νῦν μανθάνω δεδεμένος μηδὲν ἐπιθυμεῖν.

V. Ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ διὰ γῆς καὶ θαλάσσης, νυκτὸς καὶ ἡμέρας δεδεμένος δέκα λεοπάρδοις, ὅ ἐστι στρατιωτικὸν τάγμα· οἳ καὶ εὐεργετούμενοι χείρους γίνονται. ἐν δὲ τοῖς ἀδικήμασιν αὐτῶν μᾶλλον μαθητεύομαι, «ἀλλ' οὐ παρὰ τοῦτο δεδικαίωμαι.[1]» 2. ὀναίμην τῶν θηρίων τῶν ἐμοὶ ἡτοιμασμένων, καὶ εὔχομαι σύντομά μοι εὑρεθῆναι· ἃ καὶ κολακεύσω, συντόμως με καταφαγεῖν, οὐχ ὥσπερ τινῶν δειλαινόμενα οὐχ ἥψαντο. κἂν αὐτὰ δὲ ἑκόντα μὴ θελήσῃ, ἐγὼ προσβιάσομαι. 3. συγγνώμην μοι ἔχετε· τί μοι συμφέρει, ἐγὼ γινώσκω. νῦν ἄρχομαι μαθητὴς εἶναι. μηδέν με ζηλώσαι τῶν ὁρατῶν καὶ ἀοράτων, ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. πῦρ καὶ σταυρὸς θηρίων τε συστάσεις, ἀνατομαί, διαιρέσεις, σκορπισμοὶ ὀστέων, συγκοπὴ μελῶν, ἀλεσμοὶ ὅλου τοῦ σώματος, κακαὶ κολάσεις τοῦ διαβόλου ἐπ' ἐμὲ ἐρχέσθωσαν, μόνον ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω.

VI. «Οὐδέν μοι ὠφελήσει τὰ τερπνὰ τοῦ κόσμου[2]», οὐδὲ αἱ βασιλεῖαι τοῦ αἰῶνος τούτου. καλόν μοι ἀποθανεῖν εἰς Χριστὸν Ἰησοῦν, ἢ βασιλεύειν τῶν περάτων τῆς γῆς. ἐκεῖνον ζητῶ, τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα· ἐκεῖνον θέλω, τὸν δι' ἡμᾶς ἀναστάντα. ὁ δὲ τοκετός μοι ἐπίκειται. 2. σύγγνωτέ μοι, ἀδελφοί· μὴ ἐμποδίσητέ μοι

1. Α' Κορ. 4, 4. 2. Ματθ. 16, 26.

ζῆσαι, μὴ θελήσητέ με ἀποθανεῖν· τὸν τοῦ θεοῦ θέλοντα εἶναι κόσμῳ μὴ χαρίσησθε μηδὲ ὕλῃ ἐξαπατήσητε· ἄφετέ με καθαρὸν φῶς λαβεῖν· ἐκεῖ παραγενόμενος ἄνθρωπος ἔσομαι. 3. ἐπιτρέψατέ μοι μιμητὴν εἶναι τοῦ πάθους τοῦ θεοῦ μου. εἴ τις αὐτὸν ἐν ἑαυτῷ ἔχει, νοησάτω ὃ θέλω, καὶ συμπαθείτω μοι, εἰδὼς τὰ συνέχοντά με.

VII. Ὁ ἄρχων τοῦ αἰῶνος τούτου διαρπάσαι με βούλεται καὶ τὴν εἰς θεόν μου γνώμην διαφθεῖραι. μηδεὶς οὖν τῶν παρόντων ὑμῶν βοηθείτω αὐτῷ· μᾶλλον ἐμοῦ γίνεσθε, τουτέστιν τοῦ θεοῦ. μὴ λαλεῖτε Ἰησοῦν Χριστόν, κόσμον δὲ ἐπιθυμεῖτε. 2. βασκανία ἐν ὑμῖν μὴ κατοικείτω. μηδ' ἂν ἐγὼ παρὼν παρακαλῶ ὑμᾶς, πείσθητέ μοι· τούτοις δὲ μᾶλλον πείσθητε, οἷς γράφω ὑμῖν. ζῶν γὰρ γράφω ὑμῖν, ἐρῶν τοῦ ἀποθανεῖν. ὁ ἐμὸς ἔρως ἐσταύρωται, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλόϋλον· «ὕδωρ δὲ ζῶν¹» καὶ λαλοῦν ἐν ἐμοί, ἔσωθέν μοι λέγον· δεῦρο πρὸς τὸν πατέρα. 3. οὐχ ἥδομαι τροφῇ φθορᾶς, οὐδὲ ἡδοναῖς τοῦ βίου τούτου. ἄρτον θεοῦ θέλω, ὅ ἐστιν σὰρξ Ἰησοῦ Χριστοῦ, τοῦ ἐκ σπέρματος Δαβίδ, καὶ πόμα θέλω τὸ αἷμα αὐτοῦ, ὅ ἐστιν ἀγάπη ἄφθαρτος.

VIII. Οὐκέτι θέλω κατὰ ἀνθρώπους ζῆν. τοῦτο δὲ ἔσται, ἐὰν ὑμεῖς θελήσητε. θελήσατε, ἵνα καὶ ὑμεῖς θεληθῆτε. 2. δι' ὀλίγων γραμμάτων αἰτοῦμαι ὑμᾶς· πιστεύσατέ μοι. Ἰησοῦς δὲ Χριστὸς ὑμῖν ταῦτα φανερώσει, ὅτι ἀληθῶς λέγω, τὸ ἀψευδὲς στόμα, ἐν ᾧ ὁ πατὴρ ἐλάλησεν ἀληθῶς. 3. αἰτήσασθε περὶ ἐμοῦ, ἵνα ἐπιτύχω. οὐ κατὰ σάρκα ὑμῖν ἔγραψα, ἀλλὰ κατὰ γνώμην θεοῦ. ἐὰν πάθω, ἠθελήσατε· ἐὰν ἀποδοκιμασθῶ, ἐμισήσατε.

IX. Μνημονεύετε ἐν τῇ προσευχῇ ὑμῶν τῆς ἐν Συρίᾳ ἐκκλησίας, ἥτις ἀντὶ ἐμοῦ ποιμένι τῷ θεῷ χρῆται. μόνος αὐτὴν Ἰησοῦς Χριστὸς ἐπισκοπήσει, καὶ ἡ ὑμῶν ἀγάπη. 2. ἐγὼ δὲ αἰσχύνομαι ἐξ αὐτῶν λέγεσθαι· οὐδὲ γὰρ ἄξιός εἰμι, «ὢν ἔσχατος αὐτῶν καὶ ἔκτρωμα.²» ἀλλ' ἠλέημαί τις εἶναι, ἐὰν θεοῦ ἐπιτύχω. 3. Ἀσπάζεται ὑμᾶς τὸ ἐμὸν πνεῦμα καὶ ἡ ἀγάπη τῶν ἐκκλησιῶν τῶν δεξαμένων με εἰς ὄνομα Ἰησοῦ Χριστοῦ, οὐχ ὡς παροδεύοντα. καὶ γὰρ αἱ μὴ προσήκουσαί μοι τῇ ὁδῷ, τῇ κατὰ σάρκα, κατὰ πόλιν με προῆγον.

X. Γράφω δὲ ὑμῖν ταῦτα ἀπὸ Σμύρνης δι' Ἐφεσίων τῶν ἀξιομακαρίστων. ἔστιν δὲ καὶ ἅμα ἐμοὶ σὺν ἄλλοις πολλοῖς καὶ Κρόκος, τὸ ποθητόν μοι ὄνομα. 2. περὶ τῶν προελθόντων με ἀπὸ Συρίας εἰς Ῥώμην εἰς δόξαν τοῦ θεοῦ, πιστεύω ὑμᾶς ἐπεγνωκέναι, οἷς καὶ δηλώσατε ἐγγύς με ὄντα. πάντες γάρ εἰσιν ἄξιοι τοῦ θεοῦ καὶ ὑμῶν· οὓς πρέπον ὑμῖν ἐστὶν κατὰ πάντα ἀναπαῦσαι. 3. ἔγραψα δὲ ὑμῖν ταῦτα τῇ πρὸ ἐννέα καλανδῶν Σεπτεμβρίων. ἔρρωσθε εἰς τέλος ἐν ὑπομονῇ Ἰησοῦ Χριστοῦ.

---

1. Ἰω. 4, 10. 2. Α' Κορ. 15, 8.

ΦΙΛΑΔΕΛΦΕΥΣΙΝ ΙΓΝΑΤΙΟΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ, τῇ οὔσῃ ἐν Φιλαδελφίᾳ τῆς Ἀσίας, ἠλεημένῃ καὶ ἡδρασμένῃ ἐν ὁμονοίᾳ θεοῦ καὶ ἀγαλλιωμένῃ ἐν τῷ πάθει τοῦ κυρίου ἡμῶν ἀδιακρίτως, καὶ ἐν τῇ ἀναστάσει αὐτοῦ πεπληροφορημένῃ ἐν παντὶ ἐλέει· ἣν ἀσπάζομαι ἐν αἵματι Ἰησοῦ Χριστοῦ· ἥτις ἐστὶν χαρὰ αἰώνιος καὶ παράμονος, μάλιστα ἐὰν ἐν ἑνὶ ὦσιν σὺν τῷ ἐπισκόπῳ καὶ τοῖς σὺν αὐτῷ πρεσβυτέροις καὶ διακόνοις, ἀποδεδειγμένοις ἐν γνώμῃ Ἰησοῦ Χριστοῦ, οὓς κατὰ τὸ ἴδιον θέλημα ἐστήριξεν ἐν βεβαιωσύνῃ τῷ ἁγίῳ αὐτοῦ πνεύματι.

I. Ὃν ἐπίσκοπον ἔγνων οὐκ ἀφ᾽ ἑαυτοῦ «οὐδὲ δι᾽ ἀνθρώπων κεκτῆσθαι τὴν διακονίαν[1]» τὴν εἰς τὸ κοινὸν ἀνήκουσαν οὐδὲ κατὰ κενοδοξίαν, ἀλλ᾽ ἐν ἀγάπῃ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ· οὗ καταπέπληγμαι τὴν ἐπιείκειαν, ὃς σιγῶν πλείονα δύναται τῶν μάταια λαλούντων. 2. συνευρύθμισται γὰρ ταῖς ἐντολαῖς, ὡς χορδαῖς κιθάρα. διὸ μακαρίζει μου ἡ ψυχὴ τὴν εἰς θεὸν αὐτοῦ γνώμην, ἐπιγνοὺς ἐνάρετον καὶ τέλειον οὖσαν, τὸ ἀκίνητον αὐτοῦ καὶ τὸ ἀόργητον αὐτοῦ, ἐν πάσῃ ἐπιεικείᾳ θεοῦ ζῶντος.

II. Τέκνα οὖν φωτὸς ἀληθείας, φεύγετε τὸν μερισμὸν καὶ τὰς κακοδιδασκαλίας· ὅπου δὲ ὁ ποιμήν ἐστιν, ἐκεῖ ὡς πρόβατα ἀκολουθεῖτε. 2. πολλοὶ γὰρ λύκοι ἀξιόπιστοι ἡδονῇ κακῇ αἰχμαλωτίζουσιν τοὺς θεοδρόμους· ἀλλ᾽ ἐν τῇ ἑνότητι ὑμῶν οὐχ ἕξουσι τόπον.

III. Ἀπέχεσθε τῶν κακῶν βοτανῶν, ἅστινας οὐ γεωργεῖ Ἰησοῦς Χριστός, διὰ τὸ μὴ εἶναι αὐτοὺς φυτείαν πατρός·[2] οὐχ ὅτι παρ᾽ ὑμῖν μερισμὸν εὗρον, ἀλλ᾽ ἀποδιϋλισμόν. 2. ὅσοι γὰρ θεοῦ εἰσὶν καὶ Ἰησοῦ Χριστοῦ, οὗτοι μετὰ τοῦ ἐπισκόπου εἰσίν· καὶ ὅσοι ἂν μετανοήσαντες ἔλθωσιν ἐπὶ τὴν ἑνότητα τῆς ἐκκλησίας, καὶ οὗτοι θεοῦ ἔσονται, ἵνα ὦσιν κατὰ Ἰησοῦν Χριστὸν ζῶντες. 3. μὴ πλανᾶσθε, ἀδελφοί μου· εἴ τις σχίζοντι ἀκολουθεῖ, «βασιλείαν θεοῦ οὐ κληρονομεῖ·[3]» εἴ τις ἐν ἀλλοτρίᾳ γνώμῃ περιπατεῖ, οὗτος τῷ πάθει οὐ συγκατατίθεται.

IV. Σπουδάσατε οὖν μιᾷ εὐχαριστίᾳ χρῆσθαι· μία γὰρ σὰρξ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἓν ποτήριον εἰς ἕνωσιν τοῦ αἵματος αὐτοῦ· ἓν θυσιαστήριον, ὡς εἷς ἐπίσκοπος ἅμα τῷ πρεσβυτερίῳ καὶ διακόνοις, τοῖς συνδούλοις μου· ἵνα, ὃ ἐὰν πράσσητε, κατὰ θεὸν πράσσητε.

V. Ἀδελφοί μου, λίαν ἐκκέχυμαι ἀγαπῶν ὑμᾶς, καὶ ὑπεραγαλλόμενος ἀσφαλίζομαι ὑμᾶς· οὐκ ἐγὼ δέ, ἀλλ᾽ Ἰησοῦς Χριστός, ἐν ᾧ δεδεμένος φοβοῦμαι μᾶλλον, ὡς ἔτι ὢν ἀναπάρτιστος· ἀλλ᾽ ἡ προσευχὴ ὑμῶν εἰς θεόν με ἀπαρτίσει, ἵνα ἐν ᾧ κλήρῳ ἠλεήθην ἐπιτύχω,

1. Γαλ. 1, 1. 2. Ματθ. 15, 13. 3. Α᾽ Κορ. 6, 9, 10.

προσφυγὼν τῷ εὐαγγελίῳ ὡς σαρκὶ Ἰησοῦ, καὶ τοῖς ἀποστόλοις ὡς πρεσβυτερίῳ ἐκκλησίας. 2. Καὶ τοὺς προφήτας δὲ ἀγαπῶμεν διὰ τὸ καὶ αὐτοὺς εἰς τὸ εὐαγγέλιον κατηγγελκέναι καὶ εἰς αὐτὸν ἐλπίζειν καὶ αὐτὸν ἀναμένειν· ἐν ᾧ καὶ πιστεύσαντες ἐσώθησαν, ἐν ἑνότητι Ἰησοῦ Χριστοῦ ὄντες, ἀξιαγάπητοι καὶ ἀξιοθαύμαστοι ἅγιοι, ὑπὸ Ἰησοῦ Χριστοῦ μεμαρτυρημένοι καὶ συνηριθμημένοι ἐν τῷ εὐαγγελίῳ τῆς κοινῆς ἐλπίδος.

VI. Ἐὰν δέ τις Ἰουδαϊσμὸν ἑρμηνεύῃ ὑμῖν, μὴ ἀκούετε αὐτοῦ. ἄμεινον γάρ ἐστιν παρὰ ἀνδρὸς περιτομὴν ἔχοντος Χριστιανισμὸν ἀκούειν, ἢ παρὰ ἀκροβύστου Ἰουδαϊσμόν. ἐὰν δὲ ἀμφότεροι περὶ Ἰησοῦ Χριστοῦ μὴ λαλῶσιν, οὗτοι ἐμοὶ στῆλαί εἰσιν καὶ τάφοι νεκρῶν, ἐφ' οἷς γέγραπται μόνον ὀνόματα ἀνθρώπων. 2. φεύγετε οὖν τὰς κακοτεχνίας καὶ ἐνέδρας τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, μήποτε θλιβέντες τῇ γνώμῃ αὐτοῦ ἐξασθενήσετε ἐν τῇ ἀγάπῃ. ἀλλὰ πάντες ἐπὶ τὸ αὐτὸ γίνεσθε ἐν ἀμερίστῳ καρδίᾳ. 3. Εὐχαριστῶ δὲ τῷ θεῷ μου, ὅτι εὐσυνείδητός εἰμι ἐν ὑμῖν, καὶ οὐκ ἔχει τις καυχήσασθαι οὔτε λάθρα, οὔτε φανερῶς, ὅτι ἐβάρησά τινα ἐν μικρῷ ἢ ἐν μεγάλῳ. καὶ πᾶσι δέ, ἐν οἷς ἐλάλησα, εὔχομαι, ἵνα μὴ εἰς μαρτύριον αὐτὸ κτήσωνται.

VII. Εἰ γὰρ καὶ κατὰ σάρκα μέ τινες ἠθέλησαν πλανῆσαι, ἀλλὰ τὸ πνεῦμα οὐ πλανᾶται, ἀπὸ θεοῦ ὄν. «οἶδεν γάρ, πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει[1]», καὶ τὰ κρυπτὰ ἐλέγχει. ἐκραύγασα, μεταξὺ ὢν ἐλάλουν, μεγάλῃ φωνῇ, θεοῦ φωνῇ· τῷ ἐπισκόπῳ προσέχετε καὶ τῷ πρεσβυτερίῳ καὶ διακόνοις. 2. εἰ δὲ ὑπώπτευσάν τινές με ὥσπερ εἰδότα τὸν μερισμόν τινων λέγειν ταῦτα, μάρτυς δέ μοι, ἐν ᾧ δέδεμαι, ὅτι ἀπὸ σαρκὸς ἀνθρωπίνης οὐκ ἔγνων. τὸ δὲ πνεῦμα ἐκήρυσσεν, λέγων τάδε· χωρὶς τοῦ ἐπισκόπου μηδὲν ποιεῖτε· τὴν σάρκα ὑμῶν ὡς ναὸν θεοῦ τηρεῖτε· τὴν ἕνωσιν ἀγαπᾶτε, τοὺς μερισμοὺς φεύγετε· μιμηταὶ γίνεσθε Ἰησοῦ Χριστοῦ, ὡς καὶ αὐτὸς τοῦ πατρὸς αὐτοῦ.

VIII. Ἐγὼ μὲν οὖν τὸ ἴδιον ἐποίουν, ὡς ἄνθρωπος εἰς ἕνωσιν κατηρτισμένος. οὗ δὲ μερισμός ἐστιν καὶ ὀργή, θεὸς οὐ κατοικεῖ. πᾶσιν οὖν μετανοοῦσιν ἀφίει ὁ κύριος, ἐὰν μετανοήσωσιν εἰς ἑνότητα θεοῦ καὶ συνέδριον τοῦ ἐπισκόπου. πιστεύω τῇ χάριτι Ἰησοῦ Χριστοῦ, ὃς λύσει ἀφ' ὑμῶν πάντα δεσμόν. 2. Παρακαλῶ δὲ ὑμᾶς, μηδὲν κατ' ἐρίθειαν πράσσειν, ἀλλὰ κατὰ χριστομαθίαν· ἐπεὶ ἤκουσά τινων λεγόντων, ὅτι «ἐὰν μὴ ἐν τοῖς ἀρχείοις εὕρω, ἐν τῷ εὐαγγελίῳ, οὐ πιστεύω·» καὶ λέγοντός μου αὐτοῖς, ὅτι «γέγραπται», ἀπεκρίθησάν μοι, ὅτι «πρόκειται.» ἐμοὶ δὲ ἀρχεῖά ἐστιν Ἰησοῦς Χριστός, τὰ ἄθικτα ἀρχεῖα ὁ σταυρὸς αὐτοῦ καὶ ὁ θάνατος καὶ ἡ ἀνάστασις αὐτοῦ καὶ ἡ πίστις ἡ δι' αὐτοῦ· ἐν οἷς θέλω ἐν τῇ προσευχῇ ὑμῶν δικαιωθῆναι.

---

1. Ἰω. 3, 8.

IX. Καλοὶ καὶ οἱ ἱερεῖς, κρείσσων δὲ ὁ ἀρχιερεὺς ὁ πεπιστευμένος τὰ ἅγια τῶν ἁγίων, ὃς μόνος πεπίστευται τὰ κρυπτὰ τοῦ θεοῦ· αὐτὸς ὢν θύρα τοῦ πατρός, δι᾽ ἧς εἰσέρχονται Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ οἱ προφῆται καὶ οἱ ἀπόστολοι καὶ ἡ ἐκκλησία. πάντα ταῦτα εἰς ἑνότητα θεοῦ. 2. ἐξαίρετον δέ τι ἔχει τὸ εὐαγγέλιον, τὴν παρουσίαν τοῦ σωτῆρος, κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ πάθος αὐτοῦ καὶ τὴν ἀνάστασιν. οἱ γὰρ ἀγαπητοὶ προφῆται κατήγγειλαν εἰς αὐτόν· τὸ δὲ εὐαγγέλιον ἀπάρτισμά ἐστιν ἀφθαρσίας. πάντα ὁμοῦ καλά ἐστιν, ἐὰν ἐν ἀγάπῃ πιστεύητε.

X. Ἐπειδὴ κατὰ τὴν προσευχὴν ὑμῶν καὶ κατὰ τὰ σπλάγχνα, ἃ ἔχετε ἐν Χριστῷ Ἰησοῦ, ἀπηγγέλη μοι, εἰρηνεύειν τὴν ἐκκλησίαν τὴν ἐν Ἀντιοχείᾳ τῆς Συρίας, πρέπον ἐστὶν ὑμῖν ὡς ἐκκλησίᾳ θεοῦ, χειροτονῆσαι διάκονον εἰς τὸ πρεσβεῦσαι ἐκεῖ θεοῦ πρεσβείαν, εἰς τὸ συγχαρῆναι αὐτοῖς ἐπὶ τὸ αὐτὸ γενομένοις καὶ δοξάσαι τὸ ὄνομα. 2. μακάριος ἐν Ἰησοῦ Χριστῷ, ὃς καταξιωθήσεται τῆς τοιαύτης διακονίας· καὶ ὑμεῖς δοξασθήσεσθε. θέλουσιν δὲ ὑμῖν οὐκ ἔστιν ἀδύνατον ὑπὲρ ὀνόματος θεοῦ· ὡς καὶ αἱ ἔγγιστα ἐκκλησίαι ἔπεμψαν ἐπισκόπους, αἱ δὲ πρεσβυτέρους καὶ διακόνους.

XI. Περὶ δὲ Φίλωνος τοῦ διακόνου ἀπὸ Κιλικίας, ἀνδρὸς μεμαρτυρημένου, ὃς καὶ νῦν ἐν λόγῳ θεοῦ ὑπηρετεῖ μοι ἅμα Ῥέῳ Ἀγαθόποδι, ἀνδρὶ ἐκλεκτῷ, ὃς ἀπὸ Συρίας μοι ἀκολουθεῖ, ἀποταξάμενος τῷ βίῳ, οἳ καὶ μαρτυροῦσιν ὑμῖν, κἀγὼ τῷ θεῷ εὐχαριστῶ ὑπὲρ ὑμῶν, ὅτι ἐδέξασθε αὐτούς, ὡς καὶ ὑμᾶς ὁ κύριος. οἱ δὲ ἀτιμάσαντες αὐτοὺς λυτρωθείησαν ἐν τῇ χάριτι τοῦ Ἰησοῦ Χριστοῦ. 2. ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη τῶν ἀδελφῶν τῶν ἐν Τρωάδι· ὅθεν καὶ γράφω ὑμῖν διὰ Βούρρου, πεμφθέντος ἅμα ἐμοὶ ἀπὸ Ἐφεσίων καὶ Σμυρναίων εἰς λόγον τιμῆς. τιμήσει αὐτοὺς ὁ κύριος Ἰησοῦς Χριστός, εἰς ὃν ἐλπίζουσιν σαρκί, ψυχῇ, πίστει, ἀγάπῃ, ὁμονοίᾳ. ἔρρωσθε ἐν Χριστῷ Ἰησοῦ, τῇ κοινῇ ἐλπίδι ἡμῶν.

ΣΜΥΡΝΑΙΟΙΣ ΙΓΝΑΤΙΟΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, ἐκκλησίᾳ θεοῦ πατρὸς καὶ τοῦ ἠγαπημένου Ἰησοῦ Χριστοῦ, ἠλεημένῃ ἐν παντὶ χαρίσματι, πεπληρωμένῃ ἐν πίστει καὶ ἀγάπῃ, ἀνυστερήτῳ οὔσῃ παντὸς χαρίσματος, θεοπρεπεστάτῃ καὶ ἁγιοφόρῳ, τῇ οὔσῃ ἐν Σμύρνῃ τῆς Ἀσίας, ἐν ἀμώμῳ πνεύματι καὶ λόγῳ θεοῦ πλεῖστα χαίρειν.

I. Δοξάζων Ἰησοῦν Χριστὸν τὸν θεόν, τὸν οὕτως ὑμᾶς σοφίσαντα· ἐνόησα γὰρ ὑμᾶς κατηρτισμένους ἐν ἀκινήτῳ πίστει, ὥσπερ καθηλωμένους ἐν τῷ σταυρῷ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ σαρκί τε καὶ πνεύματι καὶ ἡδρασμένους ἐν ἀγάπῃ ἐν τῷ αἵματι Χριστοῦ,

πεπληροφορημένους εἰς τὸν κύριον ἡμῶν, ἀληθῶς ὄντα «ἐκ γένους Δαβὶδ κατὰ σάρκα[1]», υἱὸν θεοῦ κατὰ θέλημα καὶ δύναμιν θεοῦ γεγενημένον ἀληθῶς ἐκ παρθένου, βεβαπτισμένον ὑπὸ Ἰωάννου, «ἵνα πληρωθῇ πᾶσα δικαιοσύνη ὑπ' αὐτοῦ·[2]» 2. ἀληθῶς ἐπὶ Ποντίου Πιλάτου καὶ Ἡρώδου τετράρχου καθηλωμένον ὑπὲρ ἡμῶν ἐν σαρκί— ἀφ' οὗ καρποῦ ἡμεῖς, ἀπὸ τοῦ θεομακαρίτου αὐτοῦ πάθους—, «ἵνα ἄρῃ σύσσημον[3]» εἰς τοὺς αἰῶνας διὰ τῆς ἀναστάσεως εἰς τοὺς ἁγίους καὶ πιστοὺς αὐτοῦ εἴτε ἐν Ἰουδαίοις, εἴτε ἐν ἔθνεσιν ἐν ἑνὶ σώματι τῆς ἐκκλησίας αὐτοῦ.

II. Ταῦτα γὰρ πάντα ἔπαθεν δι' ἡμᾶς, ἵνα σωθῶμεν· καὶ ἀληθῶς ἔπαθεν, ὡς καὶ ἀληθῶς ἀνέστησεν ἑαυτόν, οὐχ ὥσπερ ἄπιστοί τινες λέγουσιν, τὸ δοκεῖν αὐτὸν πεπονθέναι, αὐτοὶ τὸ δοκεῖν ὄντες· καὶ καθὼς φρονοῦσιν καὶ συμβήσεται αὐτοῖς, οὖσιν ἀσωμάτοις καὶ δαιμονικοῖς.

III. Ἐγὼ γὰρ καὶ μετὰ τὴν ἀνάστασιν ἐν σαρκὶ αὐτὸν οἶδα καὶ πιστεύω ὄντα. 2. Καὶ ὅτε πρὸς τοὺς περὶ Πέτρον ἦλθεν, ἔφη αὐτοῖς· λάβετε, «ψηλαφήσατέ με καὶ ἴδετε, ὅτι οὐκ εἰμὶ δαιμόνιον ἀσώματον.[4]» καὶ εὐθὺς αὐτοῦ ἥψαντο καὶ ἐπίστευσαν, κραθέντες τῇ σαρκὶ αὐτοῦ καὶ τῷ πνεύματι. διὰ τοῦτο καὶ θανάτου κατεφρόνησαν, ηὑρέθησαν δὲ ὑπὲρ θάνατον. 3. «μετὰ δὲ τὴν ἀνάστασιν συνέφαγεν αὐτοῖς καὶ συνέπιεν[5]» ὡς σαρκικός, καίπερ πνευματικῶς ἡνωμένος τῷ πατρί.

IV. Ταῦτα δὲ παραινῶ ὑμῖν, ἀγαπητοί, εἰδὼς ὅτι καὶ ὑμεῖς οὕτως ἔχετε. προφυλάσσω δὲ ὑμᾶς ἀπὸ τῶν θηρίων τῶν ἀνθρωπομόρφων, οὓς οὐ μόνον δεῖ ὑμᾶς μὴ παραδέχεσθαι, ἀλλ' εἰ δυνατὸν μηδὲ συναντᾶν, ὅπερ δύσκολον. τούτου δὲ ἔχει ἐξουσίαν Ἰησοῦς Χριστός, τὸ ἀληθινὸν ἡμῶν ζῆν. 2. εἰ γὰρ τὸ δοκεῖν ταῦτα ἐπράχθη ὑπὸ τοῦ κυρίου ἡμῶν, κἀγὼ τὸ δοκεῖν δέδεμαι. τί δὲ καὶ ἑαυτὸν ἔκδοτον δέδωκα τῷ θανάτῳ, πρὸς πῦρ, πρὸς μάχαιραν, πρὸς θηρία; ἀλλ' ἐγγὺς μαχαίρας ἐγγὺς θεοῦ, μεταξὺ θηρίων μεταξὺ θεοῦ· μόνον ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ. εἰς τὸ συμπαθεῖν αὐτῷ πάντα ὑπομενῶ, αὐτοῦ με ἐνδυναμοῦντος τοῦ τελείου ἀνθρώπου γενομένου.

V. Ὅν τινες ἀγνοοῦντες ἀρνοῦνται, μᾶλλον δὲ ἠρνήθησαν ὑπ' αὐτοῦ, ὄντες συνήγοροι τοῦ θανάτου μᾶλλον ἢ τῆς ἀληθείας· οὓς οὐκ ἔπεισαν αἱ προφητεῖαι οὐδὲ ὁ νόμος Μωσέως, ἀλλ' οὐδὲ μέχρι νῦν τὸ εὐαγγέλιον οὐδὲ τὰ ἡμέτερα τῶν κατ' ἄνδρα παθήματα. 2. καὶ γὰρ περὶ ἡμῶν τὸ αὐτὸ φρονοῦσιν. τί γάρ με ὠφελεῖ τις, εἰ ἐμὲ ἐπαινεῖ, τὸν δὲ κύριόν μου βλασφημεῖ, μὴ ὁμολογῶν αὐτὸν σαρκοφόρον; ὁ δὲ τοῦτο μὴ λέγων τελείως αὐτὸν ἀπήρνηται, ὢν νεκροφόρος. 3. τὰ δὲ ὀνόματα αὐτῶν, ὄντα ἄπιστα, οὐκ ἔδοξέν μοι ἐγγράψαι. ἀλλὰ μηδὲ γένοιτό μοι αὐτῶν μνημονεύειν, μέχρις οὗ μετανοήσωσιν εἰς τὸ πάθος, ὅ ἐστιν ἡμῶν ἀνάστασις.

---

1. Ῥωμ. 1, 4. 2. Ματθ. 3, 15. 3. Ἡσ. 5, 26. 4. Γραφικόν; 5. Πράξ. 10, 41.

VI. Μηδεὶς πλανάσθω· καὶ τὰ ἐπουράνια καὶ ἡ δόξα τῶν ἀγγέλων καὶ οἱ ἄρχοντες ὁρατοί τε καὶ ἀόρατοι, ἐὰν μὴ πιστεύσωσιν εἰς τὸ αἷμα Χριστοῦ, κἀκείνοις κρίσις ἐστίν. «ὁ χωρῶν χωρείτω.[1]» τόπος μηδένα φυσιούτω· τὸ γὰρ ὅλον ἐστὶν πίστις καὶ ἀγάπη, ὧν οὐδὲν προκέκριται. 2. Καταμάθετε δὲ τοὺς ἑτεροδοξοῦντας εἰς τὴν χάριν Ἰησοῦ Χριστοῦ τὴν εἰς ἡμᾶς ἐλθοῦσαν, πῶς ἐναντίοι εἰσὶν τῇ γνώμῃ τοῦ θεοῦ. περὶ ἀγάπης οὐ μέλει αὐτοῖς, οὐ περὶ χήρας, οὐ περὶ ὀρφανοῦ, οὐ περὶ θλιβομένου, οὐ περὶ δεδεμένου ἢ λελυμένου, οὐ περὶ πεινῶντος ἢ διψῶντος.

VII. Εὐχαριστίας καὶ προσευχῆς ἀπέχοντα διὰ τὸ μὴ ὁμολογεῖν, τὴν εὐχαριστίαν σάρκα εἶναι τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν παθοῦσαν, ἣν τῇ χρηστότητι ὁ πατὴρ ἤγειρεν. οἱ οὖν ἀντιλέγοντες τῇ δωρεᾷ τοῦ θεοῦ συζητοῦντες ἀποθνήσκουσιν. συνέφερε δὲ αὐτοῖς ἀγαπᾶν, ἵνα καὶ ἀναστῶσιν. 2. πρέπον οὖν ἐστὶν ἀπέχεσθαι τῶν τοιούτων καὶ μήτε κατ' ἰδίαν περὶ αὐτῶν λαλεῖν μήτε κοινῇ, προσέχειν δὲ τοῖς προφήταις, ἐξαιρέτως δὲ τῷ εὐαγγελίῳ, ἐν ᾧ τὸ πάθος ἡμῖν δεδήλωται, καὶ ἡ ἀνάστασις τετελείωται. τοὺς δὲ μερισμοὺς φεύγετε ὡς ἀρχὴν κακῶν.

VIII. Πάντες τῷ ἐπισκόπῳ ἀκολουθεῖτε, ὡς Ἰησοῦς Χριστὸς τῷ πατρί, καὶ τῷ πρεσβυτερίῳ ὡς τοῖς ἀποστόλοις· τοὺς δὲ διακόνους ἐντρέπεσθε, ὡς θεοῦ ἐντολήν. μηδεὶς χωρὶς τοῦ ἐπισκόπου τι πρασσέτω τῶν ἀνηκόντων εἰς τὴν ἐκκλησίαν. ἐκείνη βεβαία εὐχαριστία ἡγείσθω, ἡ ὑπὸ τὸν ἐπίσκοπον οὖσα, ἢ ᾧ ἂν αὐτὸς ἐπιτρέψῃ. 2. ὅπου ἂν φανῇ ὁ ἐπίσκοπος, ἐκεῖ τὸ πλῆθος ἔστω· ὥσπερ ὅπου ἂν ᾖ Χριστὸς Ἰησοῦς, ἐκεῖ ἡ καθολικὴ ἐκκλησία. οὐκ ἐξόν ἐστιν χωρὶς τοῦ ἐπισκόπου οὔτε βαπτίζειν οὔτε ἀγάπην ποιεῖν· ἀλλ' ὃ ἂν ἐκεῖνος δοκιμάσῃ, τοῦτο καὶ τῷ θεῷ εὐάρεστον, ἵνα ἀσφαλὲς ᾖ καὶ βέβαιον πᾶν ὃ πράσσεται.

IX. Εὔλογόν ἐστιν λοιπὸν ἀνανῆψαι καί, ὡς ἔτι καιρὸν ἔχομεν, εἰς θεὸν μετανοεῖν. καλῶς ἔχει, θεὸν καὶ ἐπίσκοπον εἰδέναι. ὁ τιμῶν ἐπίσκοπον ὑπὸ θεοῦ τετίμηται· ὁ λάθρα ἐπισκόπου τι πράσσων τῷ διαβόλῳ λατρεύει 2. Πάντα οὖν ὑμῖν ἐν χάριτι περισσευέτω· ἄξιοι γάρ ἐστε. κατὰ πάντα με ἀνεπαύσατε, καὶ ὑμᾶς Ἰησοῦς Χριστός. ἀπόντα με καὶ παρόντα ἠγαπήσατε· ἀμείβοι ὑμῖν θεός, δι' ὃν πάντα ὑπομένοντες αὐτοῦ τεύξεσθε.

X. Φίλωνα καὶ Ῥέον Ἀγαθόπουν, οἳ ἐπηκολούθησάν μοι εἰς λόγον θεοῦ, καλῶς ἐποιήσατε ὑποδεξάμενοι ὡς διακόνους Χριστοῦ θεοῦ· οἳ καὶ εὐχαριστοῦσιν τῷ κυρίῳ ὑπὲρ ὑμῶν, ὅτι αὐτοὺς ἀνεπαύσατε κατὰ πάντα τρόπον. οὐδὲν ὑμῖν οὐ μὴ ἀπολεῖται. 2. ἀντίψυχον ὑμῶν τὸ πνεῦμά μου καὶ τὰ δεσμά μου ,ἃ οὐχ ὑπερηφανήσατε οὐδὲ ἐπῃσχύνθητε. οὐδὲ ὑμᾶς ἐπαισχυνθήσεται ἡ τελεία πίστις, Ἰησοῦς Χριστός.

XI. Ἡ προσευχὴ ὑμῶν ἀπῆλθεν ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἀντιο-

1. Ματθ. 19, 12.

χείᾳ τῆς Συρίας· ὅθεν δεδεμένος θεοπρεπεστάτοις δεσμοῖς, πάντας ἀσπάζομαι, οὐκ ὢν ἄξιος ἐκεῖθεν εἶναι, ἔσχατος αὐτῶν ὤν· κατὰ θέλημα δὲ κατηξιώθην, οὐκ ἐκ συνειδότος, ἀλλ' ἐκ χάριτος θεοῦ, ἣν εὔχομαι τελείαν μοι δοθῆναι, ἵνα ἐν τῇ προσευχῇ ὑμῶν θεοῦ ἐπιτύχω. 2. ἵνα οὖν τέλειον ὑμῶν γένηται τὸ ἔργον καὶ ἐπὶ γῆς καὶ ἐν οὐρανῷ, πρέπει εἰς τιμὴν θεοῦ χειροτονῆσαι τὴν ἐκκλησίαν ὑμῶν θεοπρεσβευτήν, εἰς τὸ γενόμενον ἕως Συρίας συγχαρῆναι αὐτοῖς, ὅτι εἰρηνεύουσιν καὶ ἀπέλαβον τὸ ἴδιον μέγεθος, καὶ ἀπεκατεστάθη αὐτοῖς τὸ ἴδιον σωμάτιον. 3. ἐφάνη μοι οὖν ἄξιον πρᾶγμα, πέμψαι τινὰ τῶν ὑμετέρων μετ' ἐπιστολῆς, ἵνα συνδοξάσῃ τὴν κατὰ θεὸν αὐτοῖς γενομένην εὐδίαν, καὶ ὅτι λιμένος ἤδη ἐτύγχανεν τῇ προσευχῇ ὑμῶν. τέλειοι ὄντες, τέλεια καὶ φρονεῖτε. θέλουσιν γὰρ ὑμῖν εὖ πράσσειν θεὸς ἕτοιμος εἰς τὸ παρασχεῖν.

XII. Ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη τῶν ἀδελφῶν τῶν ἐν Τρωάδι· ὅθεν καὶ γράφω ὑμῖν διὰ Βούρρου, ὃν ἀπεστείλατε μετ' ἐμοῦ ἅμα Ἐφεσίοις, τοῖς ἀδελφοῖς ὑμῶν, ὃς κατὰ πάντα με ἀνέπαυσεν. καὶ ὄφελον πάντες αὐτὸν ἐμιμοῦντο, ὄντα ἐξεμπλάριον θεοῦ διακονίας. ἀμείψεται αὐτὸν ἡ χάρις κατὰ πάντα. 2. Ἀσπάζομαι τὸν ἀξιόθεον ἐπίσκοπον καὶ θεοπρεπὲς πρεσβυτέριον, τοὺς συνδούλους μου διακόνους καὶ τοὺς κατ' ἄνδρα καὶ κοινῇ πάντας ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ καὶ τῇ σαρκὶ αὐτοῦ καὶ τῷ αἵματι, πάθει τε καὶ ἀναστάσει, σαρκικῇ τε καὶ πνευματικῇ ἑνότητι θεοῦ καὶ ὑμῶν. χάρις ὑμῖν, ἔλεος, εἰρήνη, ὑπομονὴ διὰ παντός.

XIII. Ἀσπάζομαι τοὺς οἴκους τῶν ἀδελφῶν μου σὺν γυναιξὶ καὶ τέκνοις καὶ τὰς παρθένους, τὰς λεγομένας χήρας. ἔρρωσθέ μοι ἐν δυνάμει πνεύματος. ἀσπάζεται ὑμᾶς Φίλων, σὺν ἐμοὶ ὤν. 2. ἀσπάζομαι τὸν οἶκον Ταουΐας, ἣν εὔχομαι ἑδρᾶσθαι πίστει καὶ ἀγάπῃ σαρκικῇ τε καὶ πνευματικῇ. ἀσπάζομαι Ἄλκην, τὸ ποθητόν μοι ὄνομα, καὶ Δάφνον, τὸν ἀσύγκριτον καὶ εὔτεκνον, καὶ πάντας κατ' ὄνομα. ἔρρωσθε ἐν χάριτι θεοῦ.

Σμυρναίοις ἀπὸ Τρωάδος.

ΠΡΟΣ ΠΟΛΥΚΑΡΠΟΝ ΙΓΝΑΤΙΟΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, Πολυκάρπῳ ἐπισκόπῳ ἐκκλησίας Σμυρναίων, μᾶλλον ἐπισκοπημένῳ ὑπὸ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ, πλεῖστα χαίρειν.

I. Ἀποδεχόμενός σου τὴν ἐν θεῷ γνώμην, ἡδρασμένην ὡς ἐπὶ πέτραν ἀκίνητον, ὑπερδοξάζω, καταξιωθεὶς τοῦ προσώπου σου τοῦ ἀμώμου, οὗ ὀναίμην ἐν θεῷ. 2. Παρακαλῶ σε ἐν χάριτι, ᾗ ἐνδέδυσαι, προσθεῖναι τῷ δρόμῳ σου καὶ πάντας παρακαλεῖν, ἵνα σώζωνται.

ἐκδίκει σου τὸν τόπον ἐν πάσῃ ἐπιμελείᾳ σαρκικῇ τε καὶ πνευματικῇ. τῆς ἑνώσεως φρόντιζε, ἧς οὐδὲν ἄμεινον. πάντας βάσταζε, ὡς καὶ σὲ ὁ κύριος. πάντων ἀνέχου ἐν ἀγάπῃ, ὥσπερ καὶ ποιεῖς. 3. προσευχαῖς σχόλαζε ἀδιαλείπτοις. αἰτοῦ σύνεσιν πλείονα ἧς ἔχεις. γρηγόρει, ἀκοίμητον πνεῦμα κεκτημένος. τοῖς κατ' ἄνδρα κατὰ ὁμοήθειαν θεοῦ λάλει. πάντων «τὰς νόσους βάσταζε[1]» ὡς τέλειος ἀθλητής. ὅπου πλείων κόπος, πολὺ κέρδος.

II. Καλοὺς μαθητὰς ἐὰν φιλῇς, χάρις σοι οὐκ ἔστιν· μᾶλλον τοὺς λοιμοτέρους ἐν πραότητι ὑπότασσε. οὐ πᾶν τραῦμα τῇ αὐτῇ ἐμπλάστρῳ θεραπεύεται. τοὺς παροξυσμοὺς ἐμβροχαῖς παῦε. 2. «Φρόνιμος γίνου ὡς ὄφις ἐν ἅπασιν, καὶ ἀκέραιος εἰς ἀεὶ ὡς ἡ περιστερά.[2]» διὰ ταῦτα σαρκικὸς εἶ καὶ πνευματικός, ἵνα τὰ φαινόμενά σου εἰς πρόσωπον κολακεύῃς· τὰ δὲ ἀόρατα αἴτει, ἵνα σοι φανερωθῇ, ὅπως μηδενὸς λείπῃ καὶ παντὸς χαρίσματος περισσεύῃς. 3. Ὁ καιρὸς ἀπαιτεῖ σε, ὡς κυβερνῆται ἀνέμους καὶ ὡς χειμαζόμενος λιμένα, εἰς τὸ θεοῦ ἐπιτυχεῖν. νῆφε ὡς θεοῦ ἀθλητής· τὸ θέμα ἀφθαρσίας ζωὴ αἰώνιος, περὶ ἧς καὶ σὺ πέπεισαι. κατὰ πάντα σου ἀντίψυχον ἐγὼ καὶ τὰ δεσμά μου, ἃ ἠγάπησας.

III. Οἱ δοκοῦντες ἀξιόπιστοι εἶναι καὶ ἑτεροδιδασκαλοῦντες μή σε καταπλησσέτωσαν. στῆθι ἑδραῖος ὡς ἄκμων τυπτόμενος. μεγάλου ἐστὶν ἀθλητοῦ τὸ δέρεσθαι καὶ νικᾶν. μάλιστα δὲ ἕνεκεν θεοῦ πάντα ὑπομένειν ἡμᾶς δεῖ, ἵνα καὶ αὐτὸς ἡμᾶς ὑπομείνῃ. 2. πλέον σπουδαῖος γίνου οὗ εἶ. τοὺς καιροὺς καταμάνθανε. τὸν ὑπὲρ καιρὸν προσδόκα, τὸν ἄχρονον, τὸν ἀόρατον, τὸν δι' ἡμᾶς ὁρατόν· τὸν ἀψηλάφητον, τὸν ἀπαθῆ, τὸν δι' ἡμᾶς παθητόν, τὸν κατὰ πάντα τρόπον δι' ἡμᾶς ὑπομείναντα.

IV. Χῆραι μὴ ἀμελείσθωσαν. μετὰ τὸν κύριον σὺ αὐτῶν φροντιστὴς ἔσο. μηδὲν ἄνευ γνώμης σου γινέσθω, μηδὲ σὺ ἄνευ θεοῦ τι πρᾶσσε· ὅπερ οὐδὲ πράσσεις. εὐστάθει. 2. πυκνότερον συναγωγαὶ γινέσθωσαν· ἐξ ὀνόματος πάντας ζήτει. 3. Δούλους καὶ δούλας μὴ ὑπερηφάνει· ἀλλὰ μηδὲ αὐτοὶ φυσιούσθωσαν, ἀλλ' εἰς δόξαν θεοῦ πλέον δουλευέτωσαν, ἵνα κρείττονος ἐλευθερίας ἀπὸ θεοῦ τύχωσιν. μὴ ἐράτωσαν ἀπὸ τοῦ κοινοῦ ἐλευθεροῦσθαι, ἵνα μὴ δοῦλοι εὑρεθῶσιν ἐπιθυμίας.

V. Τὰς κακοτεχνίας φεῦγε· μᾶλλον δὲ περὶ τούτων ὁμιλίαν ποιοῦ. ταῖς ἀδελφαῖς μου προσλάλει, ἀγαπᾶν τὸν κύριον, καὶ τοῖς συμβίοις ἀρκεῖσθαι σαρκὶ καὶ πνεύματι. ὁμοίως καὶ τοῖς ἀδελφοῖς μου παράγγελλε ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, ἀγαπᾶν τὰς συμβίους ὡς ὁ κύριος τὴν ἐκκλησίαν.[3] 2. Εἴ τις δύναται ἐν ἁγνείᾳ μένειν, εἰς τιμὴν τῆς σαρκὸς τοῦ κυρίου ἐν ἀκαυχησίᾳ μενέτω. ἐὰν καυχήσηται, ἀπώλετο· καὶ ἐὰν γνωσθῇ πλέον τοῦ ἐπισκόπου, ἔφθαρται. πρέπει δὲ τοῖς γαμοῦσι καὶ ταῖς γαμουμέναις, μετὰ γνώμης τοῦ ἐπισκόπου τὴν ἕνωσιν ποιεῖ-

---

1. Ματθ. 8, 17. 2. Ματθ. 10, 16. 3. Ἐφεσ. 5, 25.

σθαι, ἵνα ὁ γάμος ᾖ κατὰ κύριον, καὶ μὴ κατ' ἐπιθυμίαν. πάντα εἰς τιμὴν θεοῦ γινέσθω.

VI. Τῷ ἐπισκόπῳ προσέχετε, ἵνα καὶ ὁ θεὸς ὑμῖν. ἀντίψυχον ἐγὼ τῶν ὑποτασσομένων τῷ ἐπισκόπῳ, πρεσβυτέροις, διακόνοις· καὶ μετ' αὐτῶν μοι τὸ μέρος γένοιτο σχεῖν ἐν θεῷ. συγκοπιᾶτε ἀλλήλοις, συναθλεῖτε, συντρέχετε, συμπάσχετε, συγκοιμᾶσθε, συνεγείρεσθε ὡς θεοῦ οἰκονόμοι καὶ πάρεδροι καὶ ὑπηρέται. 2. ἀρέσκετε ᾧ στρατεύεσθε, ἀφ' οὗ καὶ τὰ ὀψώνια κομίζεσθε. μή τις ὑμῶν δεσέρτωρ εὑρεθῇ. τὸ βάπτισμα ὑμῶν μενέτω ὡς ὅπλα, ἡ πίστις ὡς περικεφαλαία, ἡ ἀγάπη ὡς δόρυ, ἡ ὑπομονὴ ὡς πανοπλία.[1] τὰ δεπόσιτα ὑμῶν τὰ ἔργα ὑμῶν, ἵνα τὰ ἄκκεπτα ὑμῶν ἄξια κομίσησθε. μακροθυμήσατε οὖν μετ' ἀλλήλων ἐν πραότητι, ὡς ὁ θεὸς μεθ' ὑμῶν. ὀναίμην ὑμῶν διὰ παντός.

VII. Ἐπειδὴ ἡ ἐκκλησία ἡ ἐν Ἀντιοχείᾳ τῆς Συρίας εἰρηνεύει, ὡς ἐδηλώθη μοι, διὰ τὴν προσευχὴν ὑμῶν, κἀγὼ εὐθυμότερος ἐγενόμην ἐν ἀμεριμνίᾳ θεοῦ, ἐάνπερ διὰ τοῦ παθεῖν θεοῦ ἐπιτύχω, εἰς τὸ εὑρεθῆναί με ἐν τῇ ἀναστάσει ὑμῶν μαθητήν. 2. Πρέπει, Πολύκαρπε θεομακαριστότατε, συμβούλιον ἀγαγεῖν θεοπρεπέστατον καὶ χειροτονῆσαί τινα, ὃν ἀγαπητὸν λίαν ἔχετε καὶ ἄοκνον, ὃς δυνήσεται θεοδρόμος καλεῖσθαι· τοῦτον καταξιοῦσθαι, ἵνα πορευθεὶς εἰς Συρίαν δοξάσῃ ὑμῶν τὴν ἄοκνον ἀγάπην εἰς δόξαν θεοῦ. 3. Χριστιανὸς ἑαυτοῦ ἐξουσίαν οὐκ ἔχει, ἀλλὰ θεῷ σχολάζει. τοῦτο τὸ ἔργον θεοῦ ἐστὶν καὶ ὑμῶν, ὅταν αὐτὸ ἀπαρτίσητε. πιστεύω γὰρ τῇ χάριτι, ὅτι ἕτοιμοί ἐστε εἰς εὐποιΐαν θεῷ ἀνήκουσαν. εἰδὼς ὑμῶν τὸ σύντονον τῆς ἀληθείας, δι' ὀλίγων ὑμᾶς γραμμάτων παρεκάλεσα.

VIII. Ἐπεὶ οὖν πάσαις ταῖς ἐκκλησίαις οὐκ ἠδυνήθην γράψαι διὰ τὸ ἐξαίφνης πλεῖν με ἀπὸ Τρωάδος εἰς Νεάπολιν, ὡς τὸ θέλημα προστάσσει, γράψεις ταῖς ἔμπροσθεν ἐκκλησίαις, ὡς θεοῦ γνώμην κεκτημένος, εἰς τὸ καὶ αὐτοὺς τὸ αὐτὸ ποιῆσαι, οἱ μὲν δυνάμενοι πεζοὺς πέμψαι, οἱ δὲ ἐπιστολὰς διὰ τῶν ὑπό σου πεμπομένων, ἵνα δοξασθῆτε αἰωνίῳ ἔργῳ, ὡς ἄξιος ὤν. 2. Ἀσπάζομαι πάντας ἐξ ὀνόματος, καὶ τὴν τοῦ Ἐπιτρόπου σὺν ὅλῳ τῷ οἴκῳ αὐτῆς καὶ τῶν τέκνων. ἀσπάζομαι Ἄτταλον τὸν ἀγαπητόν μου. ἀσπάζομαι τὸν μέλλοντα καταξιοῦσθαι τοῦ εἰς Συρίαν πορεύεσθαι. ἔσται ἡ χάρις μετ' αὐτοῦ διὰ παντὸς καὶ τοῦ πέμποντος αὐτὸν Πολυκάρπου. 3. ἐρρῶσθαι ὑμᾶς διὰ παντὸς ἐν θεῷ ἡμῶν Ἰησοῦ Χριστῷ εὔχομαι, ἐν ᾧ διαμείνητε ἐν ἑνότητι θεοῦ καὶ ἐπισκοπῇ. ἀσπάζομαι Ἄλκην, τὸ ποθητόν μοι ὄνομα. ἔρρωσθε ἐν κυρίῳ.

---

1. Ἐφεσ. 6, 11 ἑξ.

ΤΩΝ ΑΥΤΩΝ ΕΠΙΣΤΟΛΩΝ ΤΟΥ ΙΓΝΑΤΙΟΥ ΕΚΤΕΝΕΣΤΕΡΑ ΜΟΡΦΗ *

ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ εὐλογημένῃ ἐν μεγέθει Θεοῦ Πατρὸς καὶ πληρώματι, τῇ καὶ προωρισμένῃ πρὸ αἰώνων εἶναι διὰ παντὸς εἰς δόξαν παράμονον, ἄτρεπτον, ἡνωμένην, καὶ ἐκλελεγμένην, ἐν πάθει ἀληθινῷ, ἐν θελήματι Θεοῦ Πατρός, καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν· τῇ Ἐκκλησίᾳ τῇ ἀξιομακαρίστῳ, τῇ οὔσῃ ἐν Ἐφέσῳ τῆς Ἀσίας, πλεῖστα ἐν Ἰησοῦ Χριστῷ, καὶ ἐν ἀμώμῳ χαρᾷ χαίρειν.

1. Ἀπεδεξάμην ὑμῶν ἐν Θεῷ τὸ πολυπόθητον ὄνομα ὃ κέκτησθε φύσει δικαίᾳ, κατὰ πίστιν καὶ ἀγάπην ἐν Χριστῷ Ἰησοῦ, τῷ Σωτῆρι ἡμῶν· μιμηταὶ ὄντες Θεοῦ φιλανθρωπίας, ἀναζωπυρήσαντες ἐν αἵματι Χριστοῦ, τὸ συγγενικὸν ἔργον τελείως ἀπηρτίσατε, ἀκούσαντες γάρ με δεδεμένον ἀπὸ Συρίας ὑπὲρ Χριστοῦ, τῆς κοινῆς ἐλπίδος, πεποιθότα τῇ προσευχῇ ὑμῶν ἐπιτυχεῖν ἐν Ῥώμῃ θηριομαχῆσαι, ἵνα διὰ τοῦ μαρτυρίου δυνηθῶ μαθητὴς εἶναι τοῦ ὑπὲρ ἡμῶν ἑαυτὸν «ἀνενεγκόντος Θεῷ προσφορὰν καὶ θυσίαν·[1]» ἐγὼ μὲν οὖν τὴν πολυπλήθειαν ὑμῶν ἐν ὀνόματι Θεοῦ ἀπείληφα ἐν Ὀνησίμῳ τῷ ἐπ' ἀγάπῃ ἀδιηγήτῳ, ὑμῶν δὲ ἐπισκόπῳ, ὃν εὔχομαι κατὰ Χριστὸν Ἰησοῦν ὑμᾶς ἀγαπᾶν, καὶ πάντας ὑμᾶς ἐν ὁμοιώματι αὐτοῦ εἶναι. Εὐλογητὸς γὰρ ὁ Θεός, ὁ χαρισάμενος ὑμῖν τοιούτοις οὖσι, τοιοῦτον ἐπίσκοπον κεκτῆσθαι ἐν Χριστῷ.

ΙΙ. Περὶ δὲ τοῦ συνδούλου ἡμῶν Βίρρου, τοῦ κατὰ Θεὸν διακόνου ὑμῶν, καὶ ἐν πᾶσιν εὐλογημένου, εὔχομαι παραμεῖναι αὐτὸν ἄμωμον, εἰς τιμὴν τῆς Ἐκκλησίας, καὶ τοῦ ἐπισκόπου ὑμῶν τοῦ μακαριωτάτου. Κρόκος δέ, ὁ Θεοῦ ἄξιος καὶ ὑμῶν, ὃν ὡς ἐξεμπλάριον τῆς ἀφ' ὑμῶν ἀγάπης ἀπελάβομεν, «κατὰ πάντα με ἀνέπαυσε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη[2]», ὡς καὶ αὐτὸν ὁ πατὴρ Ἰησοῦ Χριστοῦ ἀναψύξει ἅμα Ὀνησίμῳ, καὶ Βίρρῳ, καὶ Εὔπλοι, καὶ Φρόντωνι, δι' ὧν πάντας ὑμᾶς κατὰ ἀγάπην εἶδον. Ὀναίμην ὑμῶν διὰ παντός, ἐάνπερ ἄξιος ὦ. Πρέπον οὖν ὑμᾶς ἐστι κατὰ πάντα τρόπον δοξάζειν Ἰησοῦν Χριστὸν τὸν δοξάσαντα ὑμᾶς, ἵνα ἐν μιᾷ ὑποταγῇ «ἦτε κατηρτισμένοι τῷ αὐτῷ

---

* Περὶ τούτων ἰδὲ σελ. 263.

1. Ἐφ. 5, 2. 2. Β' Τιμ. 1, 16.

νοῖ καὶ τῇ αὐτῇ γνώμῃ ¹», καὶ τὸ αὐτὸ λέγητε πάντες περὶ τοῦ αὐτοῦ, ἵνα ὑποτασσόμενοι τῷ ἐπισκόπῳ καὶ τῷ πρεσβυτερίῳ, κατὰ πάντα ἦτε ἡγιασμένοι.

III. Οὐ διατάσσομαι ὑμῖν, ὡς ὤν τι· εἰ γὰρ καὶ δέδεμαι διὰ τὸ ὄνομα αὐτοῦ οὔπω ἀπήρτισμαι ἐν Ἰησοῦ Χριστῷ· νῦν γὰρ ἀρχὴν ἔχω τοῦ μαθητεύεσθαι, καὶ προσλαλῶ ὑμῖν ὡς ὁμοδούλοις· ἐμὲ γὰρ ἔδει παρ' ὑμῶν ὑπομνησθῆναι πίστει, νουθεσίᾳ, ὑπομονῇ, μακροθυμίᾳ· ἀλλ' ἐπειδὴ ἡ ἀγάπη οὐκ ἐᾷ με σιωπᾶν περὶ ὑμῶν, διὰ τοῦτο προέλαβον παρακαλεῖν ὑμᾶς, ὅπως συντρέχητε τῇ γνώμῃ τοῦ Θεοῦ. Καὶ γὰρ Ἰησοῦς Χριστός, πάντα κατὰ γνώμην πράττει τοῦ Πατρός, ὡς αὐτός που λέγει· «Ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε.[2]» Οὐκοῦν καὶ ἡμᾶς χρὴ ζῆν κατὰ γνώμην Θεοῦ ἐν Χριστῷ, καὶ ζηλοῦν ὡς Παῦλος· «Μιμηταί γάρ μου, φησί, φαίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.[3]»

IV. Ὅθεν καὶ ὑμῖν πρέπει συντρέχειν τῇ τοῦ ἐπισκόπου γνώμῃ, τοῦ κατὰ Θεὸν ποιμαίνοντος ὑμᾶς· ὅπερ καὶ ποιεῖτε αὐτοί, σοφισθέντες ὑπὸ τοῦ Πνεύματος· τὸ γὰρ ἀξιονόμαστον πρεσβυτέριον, ἄξιον ὂν τοῦ Θεοῦ, οὕτως συνήρμοσται τῷ ἐπισκόπῳ, ὡς χορδαὶ κιθάρᾳ· συνδεδεμένοι οὕτω τῇ ὁμονοίᾳ καὶ συμφώνῳ ἀγάπῃ, ἧς ἐστιν ἀρχηγὸς καὶ φύλαξ Ἰησοῦς ὁ Χριστός. Καὶ οἱ κατ' ἄνδρα δὲ χορὸς γένεσθε εἷς, ἵνα σύμφωνοι ὄντες ἐν ὁμονοίῃ, συνάφειαν Θεοῦ λαβόντες ἐν ἑνότητι ἓν γένησθε τῇ συμφωνίᾳ, τῷ Θεῷ Πατρὶ καὶ τῷ ἠγαπημένῳ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ τῷ Κυρίῳ ἡμῶν· «Δὸς γὰρ αὐτοῖς, φησί, Πάτερ ἅγιε, ἵνα ὡς ἐγὼ καὶ σὺ ἕν ἐσμεν, καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι·[4]» χρήσιμον οὖν ἐστιν ὑμᾶς, ἐν ἀμώμῳ ἑνότητι συνημμένους Θεῷ, μιμητὰς εἶναι Χριστοῦ, οὗ καὶ μέλη ὑπάρχετε.

V. Εἰ γὰρ ἐγὼ ἐν μικρῷ χρόνῳ τοιαύτην συνήθειαν ἔσχον πρὸς τὸν ἐπίσκοπον ὑμῶν, οὐκ ἀνθρωπίνην οὖσαν, ἀλλὰ πνευματικήν, πόσῳ μᾶλλον ὑμᾶς μακαρίζω τοὺς ἀνακεκραμένους αὐτῷ, ὡς ἡ Ἐκκλησία τῷ Κυρίῳ Ἰησοῦ, καὶ ὁ Κύριος τῷ Θεῷ καὶ Πατρὶ αὐτοῦ, ἵνα πάντα ἐν ἑνότητι σύμφωνα ᾖ; Μηδεὶς πλανάσθω· ἐὰν μή τις ἐντὸς ᾖ τοῦ θυσιαστηρίου, ὑστερεῖται τοῦ ἄρτου τοῦ Θεοῦ· εἰ γὰρ ἑνὸς καὶ δευτέρου προσευχὴ τοσαύτην ἰσχὺν ἔχει, ὥστε τὸν Χριστὸν ἐν αὐτοῖς ἑστάναι[5], πόσῳ μᾶλλον ἥ τε τοῦ ἐπισκόπου καὶ πάσης τῆς Ἐκκλησίας προσευχή, σύμφωνος ἀνιοῦσα πρὸς Θεόν, πείσει παρασχεθῆναι αὐτοῖς πάντα τὰ ἐν Χριστῷ αἰτήματα; ὁ οὖν τῶν τοιούτων χωριζόμενος, καὶ μὴ συνερχόμενος ἐν βουλῇ θυσιῶν «καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανῷ[6]», λύκος ἐστὶν ἐν προβάτου δορᾷ, ἥμερον ἐπιδεικνὺς μορφήν· σπουδάσατε, ἀγαπητοί, ὑποταγῆναι τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις· ὁ γὰρ τούτοις ὑποτασσόμενος, ὑπακούει Χριστῷ τῷ προχειρισαμένῳ αὐτούς· ὁ δὲ ἀπειθῶν

---

1. Α' Κορ. 1, 10. 2. Ἰω. 8, 29. 3. Α' Κορ. 11, 1. 4. Ἰω. 17, 11-12. 5. Πρβλ. Ματθ. 18, 20. 6. Ἑβρ. 12, 23.

αὐτοῖς, ἀπειθεῖ Χριστῷ Ἰησοῦ. «Ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ, οὐκ ὄψεται τὴν ζωήν[1]», ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν. Αὐθάδης γάρ ἐστι καὶ δύσερις, ὑπερήφανος, ὁ μὴ πειθαρχῶν τοῖς κρείττοσιν. «Ὑπερηφάνοις δέ, φησίν, ὁ Θεὸς ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.[2]» Καί· «Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα.[3]» Λέγει δὲ καὶ ὁ Κύριος πρὸς τοὺς ἱερεῖς· «Ὁ ὑμῶν ἀκούων, ἐμοῦ ἀκούει· καὶ ὁ ἐμοῦ ἀκούων, ἀκούει τοῦ πέμψαντός με Πατρός· ὁ ὑμᾶς ἀθετῶν, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν πέμψαντά με.[4]»

VI. Ὅσῳ οὖν βλέπετε σιωπῶντα τὸν ἐπίσκοπον, πλεῖον αὐτὸν φοβεῖσθε· πάντα γὰρ ὃν πέμπει ὁ οἰκοδεσπότης εἰς ἰδίαν οἰκονομίαν, οὕτως αὐτὸν δεῖ ἡμᾶς δέχεσθαι, ὡς αὐτὸν τὸν πέμψαντα· τὸν οὖν ἐπίσκοπον, δῆλον ὅτι ὡς αὐτὸν τὸν Κύριον δεῖ προσβλέπειν, τῷ Κυρίῳ παρεστῶτα. «Ὁρατικὸν δὲ ἄνδρα καὶ ὀξὺν τοῖς ἔργοις, βασιλεῦσι δεῖ παρεστάναι, καὶ μὴ παρεστάναι ἀνθρώποις νωθροῖς.[5]» Αὐτὸς μέντοι Ὀνήσιμος ὑπερεπαινεῖ ὑμῶν τὴν ἐν Θεῷ εὐταξίαν, ὅτι πάντες κατὰ ἀλήθειαν ζῆτε, καὶ ὅτι ἐν ὑμῖν οὐδεμία αἵρεσις κατοικεῖ· ἀλλ' οὐδὲ ἀκούετέ τινος, ἢ μόνου Ἰησοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ ποιμένος καὶ διδασκάλου, καὶ ἐστε, ὡς Παῦλος ὑμῖν ἔγραφεν, «ἓν σῶμα, καὶ ἓν πνεῦμα, διὰ τὸ καὶ ἐν μιᾷ ἐλπίδι κεκλῆσθαι τῆς πίστεως. Ἐπείπερ καὶ εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς καὶ Πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν.[6]» Ὑμεῖς μὲν οὖν ἐστε τοιοῦτοι, ὑπὸ τοιῶνδε παιδευτῶν στοιχειωθέντες, Παύλου τοῦ Χριστοφόρου καὶ Τιμοθέου τοῦ πιστοτάτου.

VII. Τινὲς δὲ φαυλότατοι εἰώθασι δόλῳ πονηρῷ τὸ ὄνομα περιφέρειν, ἀλλά τινα πράσσοντες ἀνάξια Θεοῦ, καὶ φρονοῦντες ἐναντία τῆς τοῦ Χριστοῦ διδασκαλίας, ἐπ' ὀλέθρῳ ἑαυτῶν καὶ τῶν πειθομένων αὐτοῖς· οὓς δεῖ ὑμᾶς, ὡς θηρία ἐκκλίνειν. «Δίκαιος γὰρ ἐκκλίνας, σώζεται εἰς τὸν αἰῶνα· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια.[7]» Εἰσὶ γὰρ κύνες ἐνεοί, οὐ δυνάμενοι ὑλακτεῖν[8], λυσσῶντες, λαθρόδηκτοι, οὓς φυλάσσεσθαι χρή· ἀνίατα γὰρ νοσοῦσιν. Ἰατρὸς δὲ ἡμῶν ἐστιν ὁ μόνος ἀληθινὸς Θεός, ὁ ἀγέννητος καὶ ἀπρόσιτος, ὁ τῶν ὅλων Κύριος, τοῦ δὲ Μονογενοῦς Πατὴρ καὶ γεννήτωρ. Ἔχομεν ἰατρὸν καὶ τὸν Κύριον ἡμῶν Θεὸν Ἰησοῦν τὸν Χριστόν, τὸν πρὸ αἰώνων Υἱὸν μονογενῆ καὶ Λόγον, ὕστερον δὲ καὶ ἄνθρωπον ἐκ Μαρίας τῆς Παρθένου. «Ὁ Λόγος γὰρ σὰρξ ἐγένετο·[9]» ὁ ἀσώματος ἐν σώματι, ὁ ἀπαθὴς ἐν παθητῷ σώματι, ὁ ἀθάνατος ἐν θνητῷ σώματι, ἡ ζωὴ ἐν φθορᾷ, ὅπως θανάτου καὶ φθορᾶς ἐλευθερώσῃ καὶ ἰατρεύσῃ τὰς ψυχὰς ἡμῶν, καὶ ἰάσηται αὐτὰς νοσηλευθείσας ἐν ἀσεβείᾳ καὶ πονηραῖς ἐπιθυμίαις.

---

1. Ἰω. 3, 36. 2. Παρμ. 3, 34. 3. Ψαλμ. 118, 51. 4. Λουκ. 10, 16. 5. Παρμ. 22, 29. 6. Ἐφ. 4, 4-6. 7. Παρμ. 10, 25. 11, 3. 8. Ἡσ. 56, 10. 9. Ἰω. 1, 14.

VIII. Μὴ οὖν τις ὑμᾶς ἐξαπατάτω, ὥσπερ οὐδὲ ἐξαπατᾶσθε· ὅλοι γάρ ἐστε Θεοῦ. Ὅταν γὰρ μηδεμία ἐπιθυμία ἐν ὑμῖν ὑπάρχῃ, δυναμένη ὑμᾶς ῥυπᾶναι, καὶ βάσανον ἐπαγαγεῖν, ἄρα κατὰ Θεὸν ζῆτε, καί ἐστε Χριστοῦ. Περίψημα δὲ ὑμῶν, καὶ τῆς ἁγνοτάτης Ἐφεσίων Ἐκκλησίας τῆς διαβοήτου καὶ πολυϋμνήτου τοῖς αἰῶσιν, ἐκβάλλετε. Οἱ σαρκικοὶ τὰ πνευματικὰ πράττειν οὐ δύνανται, οὐδὲ οἱ πνευματικοὶ τὰ σαρκικά· ὥστε οὐδὲ ἡ πίστις τὰ τῆς ἀπιστίας, οὐδὲ ἡ ἀπιστία τὰ τῆς πίστεως. Ὑμεῖς δὲ πλήρεις ὄντες τοῦ ἁγίου Πνεύματος, οὐδὲν σαρκικόν, ἀλλὰ πνευματικὰ πάντα πράσσετε. Ἐν Χριστῷ Ἰησοῦ τελειοῦσθε, «ὅς ἐστι Σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.[1]»

IX. Ἔγνων δέ τινας παροδεύσαντας δι' ὑμῶν, ἔχοντας κακὴν διδαχὴν ἀλλοκότου καὶ πονηροῦ πνεύματος· οἷς οὐκ ἐδώκατε πάροδον σπεῖραι τὰ ζιζάνια, βύσαντες τὰ ὦτα, εἰς τὸ μὴ παραδέξασθαι τὴν ὑπ' αὐτῶν καταγγελλομένην πλάνην, πεπεισμένοι τὸ λαοπλάνον πνεῦμα, οὐ τὰ Χριστοῦ, ἀλλὰ τὰ ἴδια λαλεῖν· ψευδολόγον γάρ ἐστι. Τὸ δὲ ἅγιον Πνεῦμα, οὐ τὰ ἴδια, ἀλλὰ τὰ τοῦ Χριστοῦ, καὶ οὐκ ἀφ' ἑαυτοῦ, ἀλλὰ ἀπὸ τοῦ Κυρίου, ὡς καὶ ὁ Κύριος τὰ παρὰ τοῦ Πατρὸς ἡμῖν κατήγγελλεν. «Ὁ λόγος, γάρ, φησίν, ὃν ἀκούετε, οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός με Πατρός.[2]» Καὶ περὶ Πνεύματος τοῦ ἁγίου· «Οὐ λαλήσει, φησίν, ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ παρ' ἐμοῦ.[3]» Καὶ περὶ ἑαυτοῦ φησι πρὸς τὸν Πατέρα· «Ἐγώ σε, φησίν, ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ὃ ἔδωκάς μοι, ἐτελείωσα· ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις.[4]» Καὶ περὶ τοῦ ἁγίου Πνεύματος· «Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει.[5]»

Τὸ δὲ πλάνον πνεῦμα, ἑαυτὸ κηρύττει, τὰ ἴδια λαλεῖ, αὐτάρεσκον γάρ ἐστιν· ἑαυτὸ δοξάζει, τύφου γάρ ἐστι μεστόν· ψευδολόγον ὑπάρχει, ἀπατηλόν, θωπευτικόν, κολακευτικόν, ὕπουλον, ῥαψῳδόν, φλύαρον, ἀσύμφωνον, ἀμετροεπές, γλισχρόν, ψοφοδεές· οὗ τῆς ἐνεργείας ῥύσεται ὑμᾶς Ἰησοῦς Χριστός, ὁ θεμελιώσας ὑμᾶς ἐπὶ τὴν πέτραν ὡς λίθους ἐκλεκτούς, εὐαρμολογουμένους εἰς οἰκοδομὴν θείαν Πατρός, ἀναφερομένους εἰς τὰ ὕψη διὰ Χριστοῦ τοῦ ὑπὲρ ἡμῶν σταυρωθέντος, σχοίνῳ χρωμένους τῷ ἁγίῳ Πνεύματι, πίστει δὲ ἀναγομένους, καὶ ἀγάπῃ κουφιζομένους ἐκ γῆς πρὸς οὐρανόν, συνοδοιποροῦντας ἅμα ἀμώμοις. «Μακάριοι γάρ, φησίν, οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.[6]» Ὁδὸς δέ ἐστιν ἀπλανής, Ἰησοῦς ὁ Χριστός· «Ἐγὼ γάρ, φησίν, εἰμὶ ἡ ὁδὸς καὶ ἡ ζωή. Ὁδηγεῖ δὲ ἡ ὁδὸς πρὸς τὸν Πατέρα. Οὐδεὶς γάρ, φησίν, ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ.[7]» Μακάριοι οὖν ἐστε ὑμεῖς οἱ θεοφόροι, πνευματοφόροι, ναοφόροι, ἁγιοφόροι κατὰ πάντα κεκοσμημένοι ἐν ταῖς ἐντολαῖς Ἰησοῦ Χριστοῦ, «βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν[8]», δι' οὓς ἀγαλ-

1. Α' Τιμ. 4, 10. 2. Ἰω. 14, 24. 3. Ἰω. 16, 13. 4. Ἰω. 17, 4, 6. 5. Ἰω. 16, 14. 6. Ψαλμ. 118, 1. 7. Ἰω. 14, 6. 8. Α' Πέτρ. 2, 9.

λιώμενος ἠξιώθην, δι' ὧν γράφω προσομιλῆσαι τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ, «τοῖς πιστοῖς ἐν Χριστῷ Ἰησοῦ.[1]» Χαίρω οὖν ἐφ' ὑμῖν, ὅτι μὴ τῇ ματαιότητι προσέχετε· οὐδὲν [γὰρ ἀγαπᾶτε εἰ μόνον τὸν θεόν.]

X. Καὶ ὑπὲρ τῶν ἄλλων δὲ ἀνθρώπων ἀδιαλείπτως προσεύχεσθε· ἔστι γὰρ αὐτοῖς ἐλπὶς μετανοίας, ἵνα Θεοῦ τύχωσι. «Μὴ ὁ πίπτων γάρ, οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει;[2]» Ἐπιτρέψατε οὖν αὐτοὺς μαθητευθῆναι ὑμῖν· γίνεσθε οὖν διάκονοι Θεοῦ, καὶ στόμα Χριστοῦ. Λέγει γὰρ ὁ Κύριος· «Ἐὰν ἐξαγάγητε ἐξ ἀναξίου τίμιον, ὡς στόμα μου ἔσεσθε.[3]» Γίνεσθε πρὸς τὰς ὀργὰς αὐτῶν ὑμεῖς ταπεινόφρονες· ἀντιτάξατε πρὸς τὰς βλασφημίας αὐτῶν ὑμεῖς τὰς ἐκτενεῖς εὐχάς· αὐτῶν πλανωμένων, στήκετε ὑμεῖς ἐν τῇ πίστει ἑδραῖοι· νικήσατε τὸ ἄγριον ἦθος, ἐν ἡμερότητι· τὸ ὀργίλον ἐν πραότητι· «Μακάριοι γὰρ οἱ πραεῖς[4]» καὶ «Μωσῆς πρᾶος παρὰ πάντας ἀνθρώπους·[5]» καὶ Δαβὶδ πρᾶος σφόδρα·[6] Διὸ παραινεῖ Παῦλος. «Δοῦλον, λέγων, Κυρίου, οὐ δεῖ μάχεσθαι· ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον, ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους.[7]» Μὴ σπουδάζοντες ἀμύνεσθαι τοὺς ἀδικοῦντας ὑμᾶς. «Εἰ ἀνταπέδωκα, γάρ, φησί, τοῖς ἀνταποδιδοῦσί μοι κακά.[8]» Ἀδελφοὺς αὐτοὺς ποιήσωμεν τῇ ἐπιεικείᾳ. Εἴπατε γὰρ τοῖς μισοῦσιν ὑμᾶς· Ἀδελφοὶ ἡμῶν ἐστε, ἵνα τὸ ὄνομα τοῦ Κυρίου δοξασθῇ· καὶ μιμησώμεθα τὸν Κύριον, «ὃς λοιδορούμενος, οὐκ ἀντελοιδόρει· σταυρούμενος, οὐκ ἀντεῖπε, πάσχων, οὐκ ἠπείλει.[9]» ἀλλ' ὑπὲρ τῶν ἐχθρῶν προσηύχετο· «Πάτερ, ἄφες αὐτοῖς, οὐκ οἴδασιν ὃ ποιοῦσιν.[10]» Ἐάν τις πλέον ἀδικηθείς, πλείονα ὑπομείνῃ, οὗτος μακάριος·[11] ἐάν τις ἀποστερηθῇ, ἐάν τις ἀθετηθῇ διὰ τὸ ὄνομα τοῦ Κυρίου, οὗτος ὄντως Χριστοῦ ἐστι. Βλέπετε μὴ τοῦ διαβόλου βοτάνη εὑρεθῇ ἐν ὑμῖν· πικρὰ γάρ ἐστι καὶ ἁλμυρά τις αὐτή· «Νήψατε, σωφρονήσατε[12]» ἐν Χριστῷ Ἰησοῦ.

XI. Ἔσχατοι καιροὶ λοιπόν εἰσιν· αἰσχυνθῶμεν, φοβηθῶμεν τὴν μακροθυμίαν τοῦ Θεοῦ· μὴ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καταφρονήσωμεν·[13] ἢ γὰρ τὴν μέλλουσαν ὀργὴν φοβηθῶμεν, ἢ τὴν ἐνεστῶσαν χαρὰν ἀγαπήσωμεν ἐν τῷ νῦν βίῳ· ἔστω δὲ ἡ ἐνεστῶσα χαρὰ καὶ ἡ ἀληθινή, τὸ μόνον ἐν Χριστῷ Ἰησοῦ εὑρεθῆναι, εἰς τὸ ἀληθινῶς ζῆν· χωρὶς τούτου, μηδ' ἂν ἀναπνεῦσαί ποτε ἔλησθε· οὗτος γάρ μου ἡ ἐλπίς, οὗτος τὸ καύχημα, οὗτος ἀνελλιπὴς πλοῦτος· ἐν ᾧ τὰ δεσμὰ ἀπὸ Συρίας μέχρι Ῥώμης περιφέρω, τοὺς πνευματικοὺς μαργαρίτας, ἐν οἷς γένοιτό μοι τελειωθῆναι, τῇ προσευχῇ ὑμῶν, μέτοχον τῶν παθημάτων Χριστοῦ, καὶ κοινωνὸν τοῦ θανάτου αὐτοῦ γενέσθαι, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς

1. Ἐφ. 1, 1. 2. Ἱερ. 8, 4. 3. Ἱερ. 15, 19. 4. Ματθ. 5, 4. 5. Ἀριθ. 12, 3. 6. Πρβλ. Α' Βασ. 24, 7 ἑξ. 7. Β' Τιμ. 2, 24-25. 8. Ψαλμ. 7, 5. 9. Α' Πετρ. 2, 23. 10. Λουκ. 23, 34. 11. Πρβλ. Ματθ. 5, 11. 12. Α' Πέτρ. 4, 7. 13. Ῥωμ. 2, 4.

ἀνεκλιποῦς ζωῆς· ἧς γένοιτό μοι ἐπιτυχεῖν, ἵνα ἐν κλήρῳ Ἐφεσίων εὑρεθῶ τῶν Χριστιανῶν, οἳ καὶ τοῖς ἀποστόλοις πάντοτε συνῆσαν, ἐν δυνάμει Ἰησοῦ Χριστοῦ, Παύλῳ, Ἰωάννῃ, Τιμοθέῳ τῷ πιστοτάτῳ.

XII. Οἶδα τίς εἰμι, καὶ τίσι γράφω. Ἐγὼ μὲν ὁ ἐλάχιστος Ἰγνάτιος, καὶ τοῖς ὑπὸ κίνδυνον καὶ κρίσιν παρόμοιος· ὑμεῖς δέ, ἠλεημένοι, ἐστηριγμένοι ἐν Χριστῷ. Παραδοθείς γε ἐγώ, ἀλλὰ τῶν διὰ Χριστὸν ἀναιρουμένων, «ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου [1]» ἕως τοῦ αἵματος Ἰγνατίου, ἐλάχιστος. Ὑμεῖς δὲ Παύλου συμμύσται ἐστέ, ἡγιασμένου, μεμαρτυρημένου ὅτι σκεῦός ἐστιν ἐκλογῆς· οὗ γένοιτό μοι ὑπὸ τὰ ἴχνη εὑρεθῆναι, καὶ τῶν λοιπῶν ἁγίων, ὅταν Ἰησοῦ Χριστοῦ ἐπιτύχω· ὃς πάντοτε ἐν ταῖς δεήσεσιν αὐτοῦ μνημονεύει ὑμῶν.

XIII. Σπουδάζετε οὖν πυκνότερον συνέρχεσθαι εἰς εὐχαριστίαν Θεοῦ, καὶ δόξαν· ὅταν γὰρ συνεχῶς ἐπὶ τὸ αὐτὸ γένησθε, καθαιροῦνται αἱ δυνάμεις τοῦ Σατανᾶ, καὶ ἄπρακτα αὐτοῦ ἐπιστρέφει τὰ «πεπυρωμένα βέλη [2]» πρὸς ἁμαρτίαν· ἡ γὰρ ὑμετέρα ὁμόνοια καὶ σύμφωνος πίστις, αὐτοῦ μὲν ἔστιν ὄλεθρος, τῶν δὲ ὑπασπιστῶν αὐτοῦ βάσανος· οὐδὲν ἄμεινον τῆς κατὰ Χριστὸν εἰρήνης, ἐν ᾗ πᾶς πόλεμος καταργεῖται, ἀερίων καὶ ἐπιγείων πνευμάτων. «Οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, καὶ πρὸς ἐξουσίας, καὶ πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.[3]»

XIV. Οὐκοῦν οὐ λήσεται ὑμᾶς τι τῶν νοημάτων τοῦ διαβόλου, ἐάν, ὡς Παῦλος, τελείως εἰς Χριστὸν ἔχητε τὴν πίστιν καὶ τὴν ἀγάπην, ἥτις ἐστὶν ἀρχὴ ζωῆς καὶ τέλος. Ἀρχὴ ζωῆς, πίστις· τέλος δέ, ἀγάπη· τὰ δὲ δύο ἐν ἑνότητι γενόμενα, Θεοῦ ἄνθρωπον ἀποτελεῖ· τὰ δὲ ἄλλα πάντα, εἰς καλοκαγαθίαν ἀκόλουθά ἐστιν. Οὐδεὶς πίστιν ἐπαγγελλόμενος, ὀφείλει ἁμαρτάνειν· οὐδὲ ἀγάπην κεκτημένος, μισεῖν τὸν ἀδελφόν. Ὁ γὰρ εἰπών· «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου, εἶπε· Καὶ τὸν πλησίον σου, ὡς σεαυτόν· [4]» οἱ ἐπαγγελλόμενοι Χριστοῦ εἶναι, οὐκ ἐξ ὧν λέγουσι μόνον, ἀλλὰ καὶ ἐξ ὧν πράττουσι γνωρίζονται. «Ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται.[5]»

XV. Ἄμεινόν ἐστι σιωπᾶν καὶ εἶναι, ἢ λαλεῖν καὶ μὴ εἶναι. «Οὐκ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει· [6]» «καρδίᾳ πιστεύεται, στόματι δὲ ὁμολογεῖται· [7]» τῇ μέν, εἰς δικαιοσύνην· τῷ δέ, εἰς σωτηρίαν· καλὸν τὸ διδάσκειν, ἐὰν ὁ λέγων ποιῇ. «Ὃς γὰρ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας ἐν τῇ βασιλείᾳ.[8]» Ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, πρῶτον ἐποίησε, καὶ τότε ἐδίδαξεν, ὡς μαρτυρεῖ Λουκᾶς [9], οὗ ὁ ἔπαινος ἐν τῷ Εὐαγγελίῳ διὰ πασῶν τῶν Ἐκκλησιῶν. Οὐδὲν λανθάνει τὸν Κύριον, ἀλλὰ καὶ τὰ

1. Ματθ. 22, 35. 2. Ἐφ. 6,16. 3. Ἐφ. 6, 12. 4. Λουκ. 10, 27. 5. Ματθ. 12, 33. 6. Α' Κορ. 4, 20. 7. Ρωμ. 10, 10. 8. Ματθ. 5, 19. 9. Πρβλ. Πράξ. 1, 1.

κρυπτὰ ἡμῶν ἐγγὺς αὐτοῦ ἐστι. Πάντα οὖν ποιῶμεν, ὡς αὐτοῦ ἐν ἡμῖν κατοικοῦντος, ἵνα ὦμεν αὐτοῦ ναοί, καὶ αὐτὸς ἐν ἡμῖν Θεός. Χριστὸς ἐν ἡμῖν λαλείτω, ὡς καὶ ἐν Παύλῳ· τὸ Πνεῦμα τὸ ἅγιον διδασκέτω ἡμᾶς τὰ Χριστοῦ φθέγγεσθαι, παραπλησίως αὐτῷ.

XVI. Μὴ πλανᾶσθε, ἀδελφοί μου, οἰκοφθόροι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν.[1] Εἰ δὲ οἱ τοὺς ἀνθρωπίνους οἴκους διαφθείροντες, θανάτῳ καταδικάζονται·[2] πόσῳ μᾶλλον οἱ τὴν Χριστοῦ Ἐκκλησίαν νοθεύειν ἐπιχειροῦντες, αἰωνίαν τίσουσιν δίκην, ὑπὲρ ἧς σταυρὸν καὶ θάνατον ὑπέμεινεν ὁ Κύριος Ἰησοῦς, ὁ τοῦ Θεοῦ μονογενὴς Υἱός; οὗ τὴν διδασκαλίαν ὁ ἀθετήσας, λιπανθεὶς καὶ παχυνθείς[3], εἰς γέενναν χωρήσει. Ὁμοίως δὲ καὶ πᾶς ἄνθρωπος, ὁ τὸ διακρίνειν παρὰ Θεοῦ εἰληφώς, κολασθήσεται, ἀπείρῳ ποιμένι ἐξακολουθήσας, καὶ ψευδῆ δόξαν ὡς ἀληθῆ δεξάμενος. «Τίς κοινωνία φωτὶ πρὸς σκότος; ἢ Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστοῦ πρὸς ἄπιστον; ἢ ναῷ Θεοῦ μετὰ εἰδώλων;[4]» Φημὶ δὲ κἀγώ· Τίς κοινωνία ἀληθείας πρὸς ψεῦδος; ἢ δικαιοσύνης πρὸς ἀδικίαν; ἢ δόξης πρὸς ψευδοδοξίαν;

XVII. Διὰ τοῦτο μῦρον ἔλαβεν ὁ Κύριος ἐπὶ κεφαλῆς, ἵνα ἡ Ἐκκλησία πνέῃ τὴν ἀφθαρσίαν. Μῦρον γάρ, φησίν, ἐκκενωθὲν ὄνομά σου· «διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε, εἵλκυσάν σε, ὀπίσω εἰς ὀσμὴν μύρων σου δραμούμεθα.[5]» Μὴ ἀλειφέσθω τις δυσωδίαν διδασκαλίας τοῦ αἰῶνος τούτου, ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία μὴ αἰχμαλωτισθῇ ὑπὸ τῆς πανουργίας αὐτοῦ, ὡς ἡ πρώτη γυνή. Διὰ τί λογικοὶ ὄντες, οὐ γινόμεθα φρόνιμοι; διὰ τί ἔμφυτον τὸ περὶ Θεοῦ παρὰ τοῦ Χριστοῦ λαβόντες κριτήριον, εἰς ἄγνοιαν καταπίπτομεν, καὶ ἐξ ἀμελείας ἀγνοοῦντες τὸ χάρισμα ὃ εἰλήφαμεν, ἀνοήτως ἀπολλύμεθα;

XVIII. «Ὁ σταυρὸς τοῦ Χριστοῦ, τοῖς μὲν ἀπίστοις σκάνδαλόν ἐστι· τοῖς δὲ πιστοῖς, σωτηρία καὶ ζωὴ αἰώνιος. Ποῦ σοφός; ποῦ συζητητής;[6]» ποῦ καύχησις τῶν λεγομένων δυνατῶν; Ὁ γὰρ τοῦ Θεοῦ Υἱός, ὁ πρὸ αἰώνων γεννηθείς, καὶ τὰ πάντα γνώμῃ τοῦ Πατρὸς συστησάμενος, οὗτος ἐκυοφορήθη ἐκ Μαρίας, κατ' οἰκονομίαν Θεοῦ, ἐκ σπέρματος μὲν Δαβίδ, διὰ Πνεύματος δὲ ἁγίου· «Ἰδοὺ γάρ, φησίν, ἡ Παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ κληθήσεται Ἐμμανουήλ.[7]» Οὗτος ἐγεννήθη, καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου, ἵνα πιστοποιήσητε τὴν διάταξιν τὴν ἐγχειρισθεῖσαν τῷ προφήτῃ.

XIX. Καὶ ἔλαθε τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου ἡ παρθενία Μαρίας, καὶ ὁ τοκετὸς αὐτῆς, ὁμοίως καὶ ὁ θάνατος τοῦ Κυρίου· τρία μυστήρια κραυγῆς, ἅ τινα ἐν ἡσυχίᾳ ἐπράχθη, ἡμῖν δὲ ἐφανερώθη. Ἀστὴρ ἐν οὐρανῷ ἔλαμψεν ὑπὲρ πάντας τοὺς πρὸ αὐτοῦ· καὶ τὸ φῶς αὐτοῦ ἀνεκλάλητον ἦν, καὶ ξενισμὸν παρεῖχεν ἡ καινότης αὐτοῦ τοῖς ὁρῶσιν αὐτόν, τὰ δὲ λοιπὰ πάντα ἄστρα, ἅμα ἡλίῳ καὶ σελήνῃ, χορὸς

---

1. Πρβλ. Α' Κορ. 6, 9-10. 2. Πρβλ. Α' Κορ. 10, 8. 3. Δευτ. 32, 15. 4. Β' Κορ. 6, 14-16. 5. Ἆσμ. 1, 3-4. 6. Α' Κορ. 1, 18, 23-24. 7. Ματθ. 1, 23.

ἐγίνοντο τῷ ἀστέρι· αὐτὸς δὲ ἦν ὑπερβάλλων αὐτὰ τῷ φανῷ· ταραχή τε ἦν, πόθεν ἡ καινότης ἡ φαινομένη. Ἔνθεν ἐμωραίνετο σοφία κοσμική, γοητεία ὕθλος ἦν, καὶ γέλως ἡ μαγεία· πᾶς θεσμὸς κακίας ἠφανίζετο, ἀγνοίας ζόφος διεσκεδάννυτο, καὶ τυραννικὴ ἀρχὴ καθῃρεῖτο, Θεοῦ ὡς ἀνθρώπου φαινομένου, καὶ ἀνθρώπου ὡς Θεοῦ ἐνεργοῦντος. Ἀλλ' οὔτε τὸ πρότερον δόξα, οὔτε τὸ δεύτερον ψιλότης· ἀλλὰ τὸ μὲν ἀλήθεια, τὸ δὲ οἰκονομία. Ἀρχὴν δὲ ἐλάμβανε τὸ παρὰ Θεῷ ἀπηρτισμένον· ἔνθεν τὰ πάντα συνεκινεῖτο, διὰ τὸ μελετᾶσθαι θανάτου κατάλυσιν.

XX. Στήκετε, ἀδελφοί, ἑδραῖοι ἐν τῇ πίστει Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῇ αὐτοῦ ἀγάπῃ, ἐν πάθει αὐτοῦ καὶ ἀναστάσει· πάντες ἐν χάριτι ἐξ ὀνόματος συναθροίζεσθε κοινῇ, ἐν μιᾷ πίστει Θεοῦ Πατρός, καὶ Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, «τοῦ καὶ πρωτοτόκου πάσης κτίσεως[1]», κατὰ σάρκα δὲ ἐκ γένους Δαβίδ, ἐφοδηγούμενοι ὑπὸ τοῦ Παρακλήτου· ὑπακούοντες τῷ ἐπισκόπῳ καὶ τῷ πρεσβυτερίῳ, ἀπερισπάστῳ διανοίᾳ· ἕνα ἄρτον κλῶντες, ὅ ἐστι φάρμακον ἀθανασίας, ἀντίδοτος τοῦ μὴ ἀποθανεῖν, ἀλλὰ ζῆν ἐν Θεῷ διὰ Ἰησοῦ Χριστοῦ, καθαρτήριον ἀλεξίκακον.

XXI. Εἴην ὑμῶν ἀντίψυχον, καὶ ὧν ἐπέμψατε εἰς Θεοῦ τιμὴν εἰς Σμύρναν· ὅθεν καὶ γράφω ὑμῖν, εὐχαριστῶν τῷ Κυρίῳ, ἀγαπῶν Πολύκαρπον ὡς καὶ ὑμᾶς. Μνημονεύετέ μου, ὡς καὶ ὑμῶν Ἰησοῦς ὁ Χριστός, ὁ εὐλογητὸς εἰς τοὺς αἰῶνας· προσεύχεσθε ὑπὲρ τῆς Ἐκκλησίας Ἀντιοχέων τῆς ἐν Συρίᾳ, ὅθεν δεδεμένος εἰς Ῥώμην ἀπάγομαι, ἔσχατος ὢν τῶν ἐκεῖ πιστῶν, ὥσπερ ἠξιώθην εἰς Θεοῦ τιμὴν φορέσαι ταυτασὶ τὰς ἁλύσεις. Ἔρρωσθε ἐν Θεῷ Πατρί, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ, τῇ κοινῇ ἐλπίδι ἡμῶν ἐν Πνεύματι ἁγίῳ. Ἔρρωσθε. Ἀμήν. Ἡ Χάρις.

Ἰγνατίου Ἐφεσίοις

ΠΡΟΣ ΜΑΓΝΗΣΙΟΥΣ

Ἰγνάτιος, ὁ καὶ ὁ Θεοφόρος τῇ εὐλογημένῃ ἐν χάριτι Θεοῦ Πατρός, ἐν Χριστῷ Ἰησοῦ τῷ Σωτῆρι, ἐν ᾧ ἀσπάζομαι τὴν Ἐκκλησίαν τὴν οὖσαν ἐν Μαγνησίᾳ τῇ πρὸς Μαιάνδρῳ, καὶ εὔχομαι ἐν Θεῷ Πατρί, καὶ Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ἐν ᾧ πλεῖστα χαίρειν ὑμᾶς εἴη.

I. Γνοὺς ὑμῶν τὸ πολυεύτακτον τῆς κατὰ Θεὸν ἀγάπης, ἀγαλλιώμενος προειλόμην ἐν πίστει Ἰησοῦ Χριστοῦ προσλαλῆσαι ὑμῖν. Ἀξιωθεὶς γὰρ ὀνόματος θείου καὶ ποθεινοῦ, ἐν οἷς περιφέρω δεσμοῖς, ᾄδω τὰς Ἐκκλησίας, ἐν αἷς ἕνωσιν εὔχομαι σαρκὸς καὶ πνεύματος Ἰησοῦ Χριστοῦ· «ὅς ἐστι Σωτὴρ πάντων ἀνθρώπων, μάλιστα δὲ πιστῶν·[2]»

1. Κολ. 1, 15. 2. Α' Τιμ. 4, 10.

οὗ τῷ αἵματι ἐλυτρώθητε· δι' οὗ ἔγνωτε Θεόν, μᾶλλον δὲ ὑπ' αὐτοῦ ἐγνώσθητε·[1] ἐν ᾧ ὑπομένοντες, τὴν πᾶσαν ἐπήρειαν τοῦ αἰῶνος τούτου διαφεύξεσθε. «Πιστὸς γάρ, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε.[2]»

II. Ἐπεὶ οὖν ἠξιώθην ἰδεῖν ὑμᾶς διὰ Δαμᾶ τοῦ ἀξιοθέου ὑμῶν ἐπισκόπου, καὶ πρεσβυτέρων Θεοῦ ἀξίων Βάσσου καὶ Ἀπολλωνίου καὶ τοῦ συμβιωτοῦ μου διακόνου Ζωτίωνος οὗ ἐγὼ ὀναίμην, ὅτι ὑποτάσσεται τῷ ἐπισκόπῳ καὶ τῷ πρεσβυτερίῳ, χάριτι Θεοῦ, ἐν νόμῳ Ἰησοῦ Χριστοῦ.

III. Καὶ ὑμῖν δὲ πρέπει μὴ καταφρονεῖν τῆς ἡλικίας τοῦ ἐπισκόπου· ἀλλὰ κατὰ γνώμην Θεοῦ Πατρὸς πᾶσαν ἐντροπὴν αὐτῷ ἀπονέμειν, καθὼς ἔγνων καὶ τοὺς ἁγίους πρεσβυτέρους, οὐ πρὸς τὴν φαινομένην ἀφορῶντας νεότητα, ἀλλὰ πρὸς τὴν ἐν Θεῷ φρόνησιν· ἐπείπερ «οὐχ οἱ πολυχρόνιοί εἰσι σοφοί, οὐδὲ οἱ γέροντες ἐπίστανται σύνεσιν· ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς.[3]» Δανιὴλ μὲν γὰρ ὁ σοφός, δωδεκαετὴς γέγονε κάτοχος τῷ θείῳ Πνεύματι, καὶ τοὺς μάτην τὴν πολιὰν φέροντας πρεσβύτας, συκοφάντας καὶ ἐπιθυμητὰς ἀλλοτρίου κάλλους ἀπήλεγξε.[4] Σαμουὴλ δὲ παιδάριον ὢν μικρόν, τὸν ἐνενηκονταετῆ Ἠλεὶ διελέγχει, τοῦ Θεοῦ προτετιμηκότα τοὺς ἑαυτοῦ παῖδας· ὡσαύτως καὶ Ἱερεμίας ἀκούει πρὸς τοῦ Θεοῦ· «Μὴ λέγε ὅτι νεώτερός εἰμι.[5]» Σολομῶν δέ, καὶ Ἰωσίας· ὁ μέν, δωδεκαετὴς βασιλεύσας, τὴν φοβερὰν ἐκείνην καὶ δυσερμήνευτον ἐπὶ ταῖς γυναιξὶ κρίσιν ἕνεκα τῶν παιδίων ἐποιήσατο·[6] ὁ δέ, ὀκταετὴς ἄρξας, τοὺς βωμοὺς καὶ τὰ τεμένη κατέρριπτε, καὶ τὰ ἄλση κατεπίμπρα[7], δαίμοσι γὰρ ἦν, ἀλλ' οὐ Θεῷ ἀνακείμενα. καὶ τοὺς ψευδιερεῖς κατέσφαττεν, ὡς ἂν φθορέας καὶ ἀπατεῶνας ἀνθρώπων, οὐ θειότητος λατρευτάς· τοιγαροῦν οὐ τὸ νέον εὐκαταφρόνητον, ὅτ' ἂν Θεῷ ἀνακείμενον ᾖ· ἀλλ' ὁ τὴν γνώμην μοχθηρός, κἂν πεπαλαιωμένος ᾖ ἡμερῶν κακῶν. Νέος ἦν ὁ Χριστοφόρος Τιμόθεος· ἀλλ' ἀκούσατε οἷα γράφει αὐτῷ ὁ διδάσκαλος· «Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν, ἐν λόγῳ, ἐν ἀναστροφῇ.[8]» Πρέπον οὖν ἐστι καὶ ὑμᾶς ὑπακούειν τῷ ἐπισκόπῳ ὑμῶν, καὶ κατὰ μηδὲν αὐτῷ ἀντιλέγειν· φοβερὸν γάρ ἐστι τῷ τοιούτῳ ἀντιλέγειν· οὐ γὰρ τουτονὶ τὸν βλεπόμενον πλανᾷ τις, ἀλλὰ τὸν ἀόρατον παραλογίζεται, τὸν μὴ δυνάμενον παρά τινος παραλογισθῆναι. Τὸ δὲ τοιοῦτο, οὐ πρὸς ἄνθρωπον, ἀλλὰ πρὸς Θεὸν ἔχει τὴν ἀναφοράν. Τῷ γὰρ Σαμουὴλ λέγει ὁ Θεός· «Οὔ σε παρελογίσαντο, ἀλλ' ἐμέ.[9]» Καὶ ὁ Μωσῆς φησιν· «Οὐ γὰρ καθ' ἡμῶν ὁ γογγυσμός, ἀλλὰ κατὰ Κυρίου τοῦ Θεοῦ.[10]» Οὐδεὶς ἔμεινεν ἀτιμώρητος, ἐπαρθεὶς κατὰ τῶν κρειττόνων. Οὔτε γὰρ τῷ

1. Πρβλ. Γαλ. 4, 9. 2. Α' Κορ. 10, 13. 3. Ἰὼβ 32, 9, 8. 4. Δαν. 13, 1 ἑξ. 5. Ἱερ. 1, 6. 6. Γ' Βασ. 3, 1 ἑξ. 7. Δ' Βασ. 22, 1 ἑξ. 8. Α' Τιμ. 4, 12. 9. Α' Βασ. 8, 7. 10. Ἔξ. 16, 8.

νόμῳ Δαθὰν καὶ Ἀβειρὼν ἀντεῖπον, ἀλλὰ Μωσεῖ· καὶ ζῶντες εἰς ᾅδου κατηνέχθησαν. Κορὲ δὲ καὶ οἱ συμφρονήσαντες αὐτῷ κατὰ Ἀαρὼν διακόσιοι πεντήκοντα, πυρίφλεκτοι γεγόνασιν.[1] Ἀβεσσαλὼμ πατραλοίας γενόμενος, ἐκκρεμὴς ἐν φυτῷ γέγονε, καὶ ἀκίσιν ἐβλήθη τὴν κακόβουλον καρδίαν.[2] Ἀβεδδαδὰν ὡσαύτως τῆς κεφαλῆς ἀφαιρεῖται, δι' ὁμοίαν αἰτίαν.[3] Ὀζίας λεπροῦται, κατατολμήσας ἱερέων καὶ ἱερωσύνης.[4] Σαοὺλ ἀτιμοῦται, μὴ περιμείνας τὸν ἀρχιερέα Σαμουήλ.[5] Χρὴ οὖν καὶ ὑμᾶς αἰδεῖσθαι τοὺς κρείττονας.

IV. Καὶ πρέπον ἐστὶ μὴ μόνον καλεῖσθαι Χριστιανούς, ἀλλὰ καὶ εἶναι. Οὐ γὰρ τὸ λέγεσθαι, ἀλλὰ τὸ εἶναι, μακάριον ποιεῖ. Εἴ τινες ἐπίσκοπον μὲν λέγουσι, χωρὶς δὲ αὐτοῦ πάντα ποιοῦσι· τοῖς τοιούτοις ἐρεῖ καὶ αὐτός, ὃς καὶ ὁ ἀληθινὸς καὶ πρῶτος ἐπίσκοπος, καὶ μόνος φύσει ἀρχιερεύς· «Τί με καλεῖτε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω;[6]» Οἱ γὰρ τοιοῦτοι οὐκ εὐσυνείδητοι, ἀλλ' εἴρωνές τινες καὶ μόρφωνες εἶναί μοι φαίνονται.

V. Ἐπεὶ οὖν τέλος τὰ πράγματα ἔχει, καὶ πρόκειται ζωὴ ἡ ἐκ φυλακῆς, καὶ θάνατος ὁ ἐκ παρακοῆς, καὶ ἕκαστος τῶν ἠρημένων εἰς τὸν τόπον τοῦ εὑρεθέντος μέλλει χωρεῖν, φύγωμεν τὸν θάνατον, καὶ ἐκλεξώμεθα τὴν ζωήν· δύο γὰρ λέγω χαρακτῆρας ἐν ἀνθρώποις εὑρίσκεσθαι· καὶ τὸν μὲν νομίσματος, τὸν δὲ παραχαράγματος. Ὁ θεοσεβὴς ἄνθρωπος νόμισμά ἐστιν ὑπὸ Θεοῦ χαραχθέν· ὁ ἀσεβής, ψευδώνυμον νόμισμα, κίβδηλον, νόθον, παραχάραγμα, οὐχ ὑπὸ Θεοῦ, ἀλλ' ὑπὸ διαβόλου ἐνεργηθέν· οὐ δύο φύσεις ἀνθρώπων λέγω, ἀλλὰ τὸν ἕνα ἄνθρωπον, ποτὲ μὲν Θεοῦ, ποτὲ δὲ διαβόλου γίνεσθαι. Ἐὰν εὐσεβῇ τις, ἄνθρωπος Θεοῦ ἐστιν· ἐὰν δὲ ἀσεβῇ τις, ἄνθρωπος τοῦ διαβόλου, οὐκ ἀπὸ τῆς φύσεως, ἀλλ' ἀπὸ τῆς ἑαυτοῦ γνώμης γινόμενος. Οἱ ἄπιστοι εἰκόνα ἔχουσι τοῦ ἄρχοντος τῆς πονηρίας· οἱ πιστοὶ εἰκόνα ἔχουσι τοῦ ἄρχοντος Θεοῦ Πατρός, καὶ Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐὰν μὴ αὐθαιρέτως ἔχωμεν τὸ ὑπὲρ ἀληθείας ἀποθανεῖν εἰς τὸ αὐτοῦ πάθος, τὸ ζῆν αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

VI. Ἐπεὶ οὖν ἐν τοῖς προγεγραμμένοις προσώποις τὸ πᾶν πλῆθος ἐθεώρησα, ἐν πίστει καὶ ἀγάπῃ, παραινῶ, ἐν ὁμονοίᾳ Θεοῦ σπουδάσατε πάντα πράττειν, προκαθημένου τοῦ ἐπισκόπου εἰς τόπον Θεοῦ, καὶ τῶν πρεσβυτέρων εἰς τόπον συνεδρίου τῶν ἀποστόλων καὶ τῶν διακόνων, τῶν ἐμοὶ γλυκυτάτων, πεπιστευμένων διακονίαν Ἰησοῦ Χριστοῦ· ὃς πρὸ αἰῶνος παρὰ τῷ Πατρὶ γεννηθείς, ἦν Λόγος Θεός, μονογενὴς Υἱός· καὶ ἐπὶ συντελείᾳ τῶν αἰώνων, ὁ αὐτὸς διαμένει. Τῆς γὰρ βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος[7], φησὶ Δανιὴλ ὁ προφήτης. Πάντες οὖν ἐν ὁμονοίᾳ ἀλλήλους ἀγαπήσωμεν· καὶ μηδεὶς κατὰ σάρκα

---

1. Ἀριθ. 16, 1 ἑξ. 2. Β' Βασ. 18, 1 ἑξ. 3. Β' Βασ. 20, 1 ἑξ. 4. Β' Παρλ. 26, 1 ἑξ. 5. Α' Βασ. 13. 1 ἑξ. 6. Λουκ. 6, 46. 7. Δαν. 2, 44. 7, 14, 27.

βλεπέτω τὸν πλησίον, ἀλλ' ἐν Χριστῷ Ἰησοῦ. Μηδὲν ἔστω ἐν ὑμῖν, ὃ δυνήσεται ὑμᾶς μερίσαι· ἀλλ' ἑνώθητε τῷ ἐπισκόπῳ, ὑποτασσόμενοι τῷ Θεῷ δι' αὐτοῦ ἐν Χριστῷ.

VII. Ὥσπερ οὖν ὁ Κύριος ἄνευ τοῦ Πατρὸς οὐδὲν ποιεῖ· «Οὐ δύναμαι γάρ, φησί, ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν·[1]» οὕτω καὶ ὑμεῖς ἄνευ τοῦ ἐπισκόπου, μηδὲ πρεσβύτερος, μηδὲ διάκονος, μηδὲ λαϊκός. Μηδέ τι φαινέσθω ὑμῖν εὔλογον, παρὰ τὴν ἐκείνου γνώμην· τὸ γὰρ τοιοῦτον, παράνομον καὶ Θεοῦ ἐχθρόν· πάντες ἐπὶ τὸ αὐτὸ ἐν τῇ προσευχῇ ἅμα συνέρχεσθε· μία δέησις ἔστω κοινή, εἷς νοῦς, μία ἐλπίς, ἐν ἀγάπῃ, ἐν πίστει τῇ ἀμώμῳ, τῇ εἰς Χριστὸν Ἰησοῦν, οὗ ἄμεινον οὐδέν ἐστι. Πάντες ὡς εἷς, εἰς τὸν ναὸν Θεοῦ συντρέχετε, ὡς ἐπὶ ἓν θυσιαστήριον, ἐπὶ ἕνα Ἰησοῦν Χριστόν, τὸν ἀρχιερέα τοῦ ἀγεννήτου Θεοῦ.

VIII. Μὴ πλανᾶσθε ταῖς ἑτεροδοξίαις, μηδὲ μύθοις ἐνέχετε, καὶ γενεαλογίαις ἀπεράντοις, καὶ Ἰουδαϊκοῖς τύφοις.[2] «Τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα.[3]» Εἰ γὰρ μέχρι νῦν κατὰ νόμον Ἰουδαϊκὸν καὶ περιτομὴν σαρκὸς ζῶμεν, ἀρνούμεθα τὴν χάριν εἰληφέναι. Οἱ γὰρ θειότατοι προφῆται κατὰ Ἰησοῦν Χριστὸν ἔζησαν· διὰ τοῦτο καὶ ἐδιώχθησαν, ἐμπνεόμενοι ἀπὸ τῆς χάριτος, εἰς τὸ πληροφορηθῆναι τοὺς ἀπειθοῦντας, ὅτι εἷς Θεός ἐστιν ὁ παντοκράτωρ, ὁ φανερώσας ἑαυτὸν διὰ Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ, ὅς ἐστιν αὐτοῦ Λόγος, οὐ ῥητός, ἀλλ' οὐσιώδης· οὐ γάρ ἐστι λαλιᾶς ἐνάρθρου φώνημα, ἀλλ' ἐνεργείας θεϊκῆς οὐσία γεννητή, ὃς πάντα κατευαρέστησε τῷ πέμψαντι αὐτόν.

IX. Εἰ οὖν οἱ παλαιοῖς γράμμασιν ἀναστραφέντες, εἰς καινότητα ἐλπίδος ἦλθον, ἐκδεχόμενοι Χριστόν· ὡς ὁ κύριος διδάσκει, λέγων· «Εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύσατε ἂν ἐμοί·[4]» περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε. Καὶ «Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε, καὶ ἐχάρη. Πρὶν γὰρ Ἀβραὰμ ἐγώ εἰμι·[5]» πῶς ἡμεῖς δυνησόμεθα ζῆσαι χωρὶς αὐτοῦ; οὗ καὶ οἱ προφῆται ὄντες δοῦλοι, τῷ πνεύματι προεώρων αὐτόν, καὶ ὡς διδάσκαλον ἀνέμενον, καὶ προσεδόκων ὡς Κύριον καὶ Σωτῆρα, λέγοντες· «Αὐτὸς ἥξει, καὶ σώσει ἡμᾶς·[6]» μηκέτι οὖν σαββατίζωμεν Ἰουδαϊκῶς, καὶ ἀργίαις χαίροντες· «Ὁ μὴ ἐργαζόμενος γάρ, μὴ ἐσθιέτω.[7]» «Ἐν ἱδρῶτι γὰρ τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου[8]», φασὶ τὰ Λόγια· ἀλλ' ἕκαστος ὑμῶν σαββατιζέτω πνευματικῶς, μελέτῃ νόμου χαίρων, οὐ σώματος ἀνέσει, δημιουργίαν Θεοῦ θαυμάζων, οὐχ ἕωλα ἐσθίων, καὶ χλιαρὰ πίνων, καὶ μεμετρημένα βαδίζων, καὶ ὀρχήσει καὶ κρότοις νοῦν οὐκ ἔχουσι χαίρων. Καὶ μετὰ τὸ σαββατίσαι, ἑορταζέτω πᾶς φιλόχριστος τὴν Κυριακήν, τὴν ἀναστάσιμον, τὴν βασιλίδα, τὴν ὕπατον πασῶν τῶν

---

1. Ἰω. 5, 30. 2. Α' Τιμ. 1, 4. 3. Β' Κορ. 5, 17. 4. Ἰω. 5, 46. 5. Ἰω. 8, 56, 58. 6. Ἡσ. 35, 4. 7. Β' Θεσσ. 3, 10. 8. Γεν. 3, 19.

ἡμερῶν· ἣν περιμένων ὁ Προφήτης ἔλεγεν· «Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης·[1]» ἐν ᾗ καὶ ἡ ζωὴ ἡμῶν ἀνέτειλε, καὶ τοῦ θανάτου γέγονε νίκη ἐν Χριστῷ· ὃν τὰ «τέκνα τῆς ἀπωλείας[2]» ἀρνοῦνται, οἱ ἐχθροὶ τοῦ Σωτῆρος «ὧν ὁ Θεὸς ἡ κοιλία, οἱ τὰ ἐπίγεια φρονοῦντες·[3]» οἱ φιλήδονοι, καὶ οὐ φιλόθεοι· «μόρφωσιν εὐσεβείας ἔχοντες, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι·[4]» οἱ χριστέμποροι, «τὸν λόγον καπηλεύοντες[5]», καὶ τὸν Ἰησοῦν πωλοῦντες· οἱ τῶν γυναικῶν φθορεῖς, καὶ τῶν ἀλλοτρίων ἐπιθυμηταί· οἱ χρηματολαίλαπες· ὧν ῥυσθείητε ἐλέει Θεοῦ, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

X. Μὴ οὖν ἀναίσθητοι ὦμεν τῆς χρηστότητος αὐτοῦ. Ἐὰν μωμήσηται ἡμᾶς καθὰ πράσσομεν, οὐκ ἔτι ἐσμέν. «Ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται;[6]» Γενώμεθα οὖν ἄξιοι τῆς ἐπωνυμίας ἧς εἰλήφαμεν· ὃς γὰρ ἂν ἄλλῳ ὀνόματι καλεῖται πλεῖον τούτου, οὗτος οὐκ ἔστι τοῦ Θεοῦ. Οὐ γὰρ δέδεκται τὴν προφητείαν τὴν λέγουσαν περὶ ἡμῶν· «Ὅτι κληθήσεται ὀνόματι καινῷ, ὃ ὁ Κύριος ὀνομάσει αὐτόν, καὶ ἔσται λαὸς ἅγιος.[7]» Ὅπερ καὶ πεπλήρωται πρώτως ἐν Συρίᾳ· ἐν Ἀντιοχείᾳ γὰρ ἐχρημάτισαν οἱ μαθηταὶ Χριστιανοί[8], Παύλου καὶ Πέτρου θεμελιούντων τὴν Ἐκκλησίαν. Ἀπόθεσθε οὖν τὴν κακὴν ζύμην, τὴν παλαιωθεῖσαν, τὴν σεσηπυῖαν· καὶ μεταβάλλεσθε εἰς νέαν ζύμην χάριτος.[9] Αὐλίσθητε ἐν Χριστῷ, ἵνα μὴ ὁ ἀλλότριος ὑμῶν κυριεύσῃ. Ἄτοπόν ἐστιν Ἰησοῦν Χριστὸν λαλεῖν ἐπὶ γλώσσης, καὶ τὸν παυσθέντα Ἰουδαϊσμὸν ἐπὶ διανοίας ἔχειν. Οὗ γὰρ Χριστιανισμός, οὐκ ἔστιν Ἰουδαϊσμός· εἷς γάρ ἐστιν ὁ Χριστός, εἰς ὃν πᾶν ἔθνος πιστεῦσαν, καὶ πᾶσα γλῶσσα ἐξομολογησαμένη, εἰς Θεὸν συνήχθη· καὶ γεγόνασιν οἱ λιθώδεις τῇ καρδίᾳ, τέκνα τοῦ Θεοῦ φίλοι Ἀβραάμ· καὶ ἐν τῷ σπέρματι αὐτοῦ ἐνευλογήθησαν πάντες οἱ τεταγμένοι εἰς ζωὴν αἰώνιον ἐν Χριστῷ.

XI. Ταῦτα δέ, ἀγαπητοί μου, οὐκ ἐπέγνων τινὰς ἐξ ὑμῶν οὕτως ἔχοντας· ἀλλ' ὡς μικρότερος ὑμῶν, θέλω προφυλάσσεσθαι ὑμᾶς, μὴ ἐμπεσεῖν εἰς τὰ ἄγκιστρα τῆς κενοδοξίας, ἀλλὰ πληροφορεῖσθαι ἐν Χριστῷ, τῷ πρὸ πάντων μὲν αἰώνων γεννηθέντι παρὰ τοῦ Πατρός, γεννωμένῳ δὲ ὕστερον ἐκ Μαρίας τῆς παρθένου δίχα ὁμιλίας ἀνδρός· καὶ πολιτευσαμένῳ ὁσίως, «καὶ πᾶσαν νόσον καὶ μαλακίαν θεραπεύσαντι ἐν τῷ λαῷ[10]», καὶ σημεῖα καὶ τέρατα ποιήσαντι ἐπ' εὐεργεσίᾳ ἀνθρώπων, καὶ τοῖς ἐξοκείλασιν εἰς πολυθεΐαν τὸν ἕνα καὶ μόνον ἀληθινὸν Θεὸν καταγγείλαντι, τὸν ἑαυτοῦ Πατέρα, καὶ τὸ πάθος ὑποστάντι, καὶ πρὸς τῶν χριστοκτόνων Ἰουδαίων ἐπὶ Ποντίου Πιλάτου ἡγεμόνος καὶ Ἡρώδου βασιλέως καὶ σταυρὸν ὑπομείναντι, καὶ ἀποθανόντι, καὶ ἀναστάντι, καὶ ἀνελθόντι εἰς τοὺς οὐρανοὺς πρὸς τὸν

---

1. Ψαλμ. 6, 1. 11, 1. 2. Ἰω. 17, 12. 3. Φιλιπ. 3, 18-19. 4. Β' Τιμ. 3, 5. 5. Β' Κορ. 2, 17. 6. Ψαλμ. 129, 3. 7. Ἡσ. 62, 2, 12. 8. Πράξ. 11, 26. 9. Πρβλ. Α' Κορ. 5, 7. 10. Ματθ. 4, 23.

ἀποστείλαντα, καὶ καθεσθέντι ἐν δεξιᾷ αὐτοῦ, καὶ ἐρχομένῳ ἐπὶ συντελείᾳ τῶν αἰώνων μετὰ δόξης πατρικῆς «κρῖναι ζῶντας καὶ νεκρούς [1]», καὶ «ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.[2]» Ταῦτα ὁ γνοὺς ἐν πληροφορίᾳ, καὶ πιστεύσας, μακάριος· ὥσπερ νῦν καὶ ὑμεῖς φιλόθεοι καὶ φιλόχριστοί ἐστε ἐν πληροφορίᾳ τῆς ἐλπίδος ἡμῶν, ἧς ἐκτραπῆναι μηδενὶ ἡμῶν γένηται.

XII. Ὀναίμην ὑμῶν κατὰ πάντα, ἐάνπερ ἄξιος ὦ. Εἰ γὰρ καὶ δέδεμαι, πρὸς ἕνα τῶν λελυμένων ὑμῶν οὐκ εἰμί. Οἶδα ὅτι οὐ φυσιοῦσθε· Ἰησοῦν γὰρ ἔχετε ἐν ἑαυτοῖς. Καὶ μᾶλλον ὅταν ἐπαινῶ ὑμᾶς, οἶδα ὅτι ἐντρέπεσθε· ὡς γέγραπται· «Δίκαιος ἑαυτοῦ κατήγορος·[3]» καί· «Λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτον, ἵνα δικαιωθῇς·[4]» καί· «Ὅταν ποιήσητε πάντα τὰ διατεταγμένα ὑμῖν, λέγετε, ὅτι δοῦλοί ἐσμεν ἀχρεῖοι.[5]» «Ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλόν, βδέλυγμα παρὰ Θεῷ.[6]» Ὁ Θεὸς γάρ, φησίν, «ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.[7]» Διὰ τοῦτο οἱ μεγάλοι ἐκεῖνοι Ἀβραὰμ καὶ Ἰακώβ, γῆν καὶ σποδὸν ἔμπροσθεν τοῦ Θεοῦ ἑαυτοὺς ὠνόμαζον. Καὶ ὁ Δαβίδ· «Τίς εἰμι ἐγὼ ἐναντίον σου, Κύριε, ὅτι ἐδόξασάς με ἕως τούτου; [8]» Καὶ Μωσῆς, «ὁ παρὰ πάντας ἀνθρώπους πραότατος [9]», λέγει πρὸς Θεόν· «Ἰσχνόφωνος καὶ βραδύγλωσσός εἰμι ἐγώ.[10]» Ταπεινοφρονεῖτε οὖν καὶ αὐτοί, ἵνα ὑψωθῆτε. «Ὁ ταπεινῶν γὰρ ἑαυτόν, ὑψωθήσεται· καὶ ὁ ὑψῶν ἑαυτόν, ταπεινωθήσεται.[11]»

XIII. Σπουδάσατε οὖν βεβαιωθῆναι ἐν τοῖς δόγμασι τοῦ Κυρίου καὶ τῶν ἀποστόλων, ἵνα πάντα, ὅσα ποιεῖτε, κατευοδωθήσηται, σαρκί τε καὶ πνεύματι, πίστει καὶ ἀγάπῃ, μετὰ τοῦ ἀξιοπρεπεστάτου ἐπισκόπου ὑμῶν, καὶ ἀξιοπλόκου καὶ πνευματικοῦ στεφάνου τοῦ πρεσβυτέρου ὑμῶν, καὶ τῶν κατὰ Θεὸν διακόνων· ὑποτάγητε τῷ ἐπισκόπῳ, καὶ ἀλλήλοις, ὡς ὁ Χριστὸς τῷ Πατρί, ἵνα ἕνωσις ᾖ κατὰ Θεὸν ἐν ὑμῖν.

XIV. Εἰδὼς ὑμᾶς πεπληρωμένους παντὸς ἀγαθοῦ, συντόμως παρεκάλεσα ὑμᾶς ἐν ἀγάπῃ Ἰησοῦ Χριστοῦ· μνημονεύετέ μου ἐν ταῖς προσευχαῖς ὑμῶν, ἵνα Θεοῦ ἐπιτύχω· καὶ τῆς ἐν Συρίᾳ Ἐκκλησίας, ἧς οὐκ ἄξιός εἰμι καλεῖσθαι ἐπίσκοπος. Ἐπιδέομαι γὰρ τῆς ἡνωμένης ὑμῶν ἐν Θεῷ προσευχῆς καὶ ἀγάπης, εἰς τὸ ἀξιωθῆναι τὴν ἐν Συρίᾳ Ἐκκλησίαν διὰ τῆς εὐταξίας ὑμῶν ποιμανθῆναι ἐν Χριστῷ.

XV. Ἀσπάζονται ὑμᾶς Ἐφέσιοι ἀπὸ Σμύρνης, ὅθεν καὶ γράφω ὑμῖν, παρόντες εἰς δόξαν Θεοῦ ὥσπερ καὶ ὑμεῖς, οἳ κατὰ πάντα με ἀνεπαύσατε, ἅμα Πολυκάρπῳ· καὶ αἱ λοιπαὶ δὲ Ἐκκλησίαι ἐν τιμῇ Ἰησοῦ Χριστοῦ ἀσπάζονται ὑμᾶς· ἔρρωσθε ἐν ὁμονοίᾳ, πνεῦμα κεκτημένοι ἀδιάκριτον, ἐν Χριστῷ Ἰησοῦ, διὰ θελήματος Θεοῦ.

---

1. Β' Τιμ. 4, 1. 2. Ρωμ. 2, 6. 3. Παρμ. 18, 17. 4. Ἡσ. 43, 26. 5. Λουκ. 17, 10. 6. Λουκ. 16, 15. 7. Λουκ. 18, 13. 8. Α' Παρλ. 17, 16. 9. Ἀριθ. 12, 3. 10. Ἐξ. 4, 10. 11. Λουκ. 14, 11.

ΠΡΟΣ ΤΡΑΛΛΗΣΙΟΥΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ ἠγαπημένῃ παρὰ Θεοῦ Πατρός, καὶ Ἰησοῦ Χριστοῦ Ἐκκλησίᾳ ἁγίᾳ, τῇ οὔσῃ ἐν Τράλλεσιν ἐκλεκτῇ καὶ ἀξιοθέῳ, εἰρηνευούσῃ ἐν σαρκὶ καὶ πνεύματι «Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν[1]», ἐν πάθει τῷ διὰ σταυροῦ καὶ θανάτου, καὶ ἀναστάσει· ἣν καὶ ἀσπάζομαι ἐν τῷ πληρώματι, ἐν ἀποστολικῷ χαρακτῆρι, καὶ εὔχομαι πλεῖστα χαίρειν.

I. Ἄμωμον διάνοιαν καὶ ἀνυπόκριτον ἐν ὑπομονῇ, ἔγνων ὑμᾶς ἔχοντας, οὐ κατὰ χρῆσιν, ἀλλὰ κατὰ κτῆσιν· καθὼς ἐδήλωσε Πολύβιος ὁ ἐπίσκοπος ὑμῶν, ὃς παρεγένετο θελήματι Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ, συνεργείᾳ Πνεύματος, ἐν Σμύρνῃ, καὶ οὕτως μοι συνεχάρη δεδεμένῳ ἐν Χριστῷ Ἰησοῦ, ὥστε με τὸ πᾶν πλῆθος ὑμῶν ἐν αὐτῷ θεωρῆσαι. Ἀποδεξάμενος οὖν τὴν κατὰ θεὸν ὑμῶν εὔνοιαν δι' αὐτοῦ, ἔδοξα, εὑρὼν ὑμᾶς μιμητὰς ὄντας Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος.

II. Τῷ ἐπισκόπῳ ὑποτάσσεσθε ὡς τῷ Κυρίῳ. «Αὐτὸς γὰρ ἀγρυπνεῖ ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσων Θεῷ.[2]» Διὸ καὶ φαίνεσθέ μοι οὐ κατὰ ἄνθρωπον ζῶντες, ἀλλὰ κατὰ Ἰησοῦν Χριστόν, τὸν δι' ἡμᾶς ἀποθανόντα, ἵνα πιστεύοντες εἰς τὸν θάνατον αὐτοῦ, διὰ τοῦ βαπτίσματος κοινωνοὶ τῆς ἀναστάσεως αὐτοῦ γένησθε. Ἀναγκαῖον οὖν ἐστιν, ὅσῳ περ ποιεῖτε, ἄνευ τοῦ ἐπισκόπου μηδὲν πράττειν ὑμᾶς. Ἀλλ' ὑποτάσσεσθε καὶ τῷ πρεσβυτερίῳ, ὡς ἀποστόλοις Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν, ἐν ᾧ διάγοντες, ἐν αὐτῷ εὑρεθησόμεθα. Δεῖ δὲ καὶ διακόνους ὄντας μυστηρίων Χριστοῦ Ἰησοῦ, κατὰ πάντα τρόπον ἀρέσκειν· οὐ γὰρ βρωτῶν καὶ ποτῶν εἰσι διάκονοι, ἀλλ' Ἐκκλησίας Θεοῦ ὑπηρέται. Δέον οὖν αὐτῶν τὰ ἐγκλήματα φυλάττεσθαι, ὡς πῦρ φλέγον· αὐτοὶ μὲν οὖν ἔστωσαν τοιοῦτοι.

III. Ὑμεῖς δὲ ἐντρέπεσθε αὐτοὺς ὡς Χριστὸν Ἰησοῦν, οὗ φύλακές εἰσι τοῦ τόπου· ὡς καὶ ὁ ἐπίσκοπος, τοῦ Πατρὸς τῶν ὅλων τύπος ὑπάρχει· οἱ δὲ πρεσβύτεροι, ὡς συνέδριον Θεοῦ, καὶ σύνδεσμος ἀποστόλων Χριστοῦ. Χωρὶς τούτων Ἐκκλησία ἐκλεκτὴ οὐκ ἔστιν, οὐ συνάθροισμα ἁγίων, οὐ συναγωγὴ ὁσίων. Πέπεισμαι δὲ καὶ ὑμᾶς οὕτω διακεῖσθαι. Τὸ γὰρ ἐξεμπλάριον τῆς ἀγάπης ἔλαβον, καὶ ἔχω μετ' ἐμαυτοῦ, ἐν τῷ ἐπισκόπῳ ὑμῶν οὗ αὐτὸ τὸ κατάστημα μεγάλη μαθητεία, ἡ δὲ πραότης αὐτοῦ δύναμις· ὃν λογίζομαι καὶ τοὺς ἀθέους ἐντρέπεσθαι. Ἀγαπῶν ὑμᾶς, φείδομαι συντονώτερον ἐπιστεῖλαι. ἵνα μὴ δόξω τισὶν εἶναι προσάντης, ἢ ἐπιδεής. Δέδεμαι μὲν διὰ Χριστόν. ἀλλ' οὐδέπω Χριστοῦ ἄξιός εἰμι· ἐὰν δὲ τελειωθῶ, τάχα γενήσομαι. Οὐχ ὡς ἀπόστολος διατάσσομαι.

IV. Ἀλλ' ἐμαυτὸν μετρῶ, ἵνα μὴ ἐν καυχήσει ἀπόλωμαι. Καλὸν

---

1. Α' Τιμ. 1, 1. 2. Ἑβρ. 13, 17.

δὲ τὸ ἐν Κυρίῳ καυχᾶσθαι.[1] Κἂν ἐρρωμένος ὦ τὰ κατὰ Θεόν, πλεῖόν με δεῖ φοβεῖσθαι, καὶ μὴ προσέχειν τοῖς εἰκῇ φυσιοῦσί με· οἱ γάρ με ἐπαινοῦντες, μαστιγοῦσιν. Ἀλλ' οὐκ οἶδα εἰ ἄξιός εἰμι· ὁ γὰρ ζῆλος τοῦ ἐχθροῦ πολλοῖς μὲν οὐ φαίνεται, ἐμὲ δὲ πολεμεῖ. Χρήζω οὖν πραότητος, ἐν ᾗ καταλύεται ὁ ἄρχων τοῦ αἰῶνος τούτου ὁ διάβολος.

V. Μὴ γὰρ οὐκ ἐβουλόμην, ὑμῖν μυστικώτερα γράψαι; ἀλλὰ φοβοῦμαι, μὴ νηπίοις οὖσιν ὑμῖν βλάβην παραθῶμαι· καὶ σύγγνωτέ μοι· μή, οὐ δυνηθέντες χωρῆσαι τὴν ἐνέργειαν, στραγγαλωθῆτε. Καὶ γὰρ ἐγὼ οὐ καθ' ὅτι δέδεμαι, καὶ δύναμαι νοεῖν τὰ ἐπουράνια, καὶ τὰς ἀγγελικὰς τάξεις, καὶ τὰς τῶν ἀγγέλων καὶ στρατιῶν ἐξαλλαγάς, δυνάμεών τε καὶ κυριοτήτων διαφοράς, θρόνων τε καὶ ἐξουσιῶν παραλλαγάς, αἰώνων τε μεγαλότητας, τῶν τε Χερουβεὶμ καὶ Σεραφεὶμ τὰς ὑπεροχάς, τοῦ τε Πνεύματος τὴν ὑψηλότητα, καὶ τοῦ Κυρίου τὴν βασιλείαν, καὶ ἐπὶ πᾶσι τὸ τοῦ παντοκράτορος Θεοῦ ἀπαράθετον· ταῦτα γινώσκων ἐγώ, οὐ πάντως ἤδη τετελείωμαι, ἢ μαθητής εἰμι οἷος Παῦλος καὶ Πέτρος· πολλὰ γάρ μοι λείπει, ἵνα Θεοῦ μὴ ἀπολειφθῶ.

VI. Παρακαλῶ οὖν ὑμᾶς, οὐκ ἐγώ, ἀλλ' ἡ ἀγάπη Ἰησοῦ Χριστοῦ, «ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα· ἦτε δὲ κατηρτισμένοι τῇ αὐτῇ γνώμῃ, καὶ τῷ αὐτῷ νοΐ.[2] Εἰσὶ γάρ τινες ματαιολόγοι καὶ φρεναπάται, οὐ Χριστιανοὶ ἀλλὰ Χριστέμποροι, ἀπάτῃ περιφέροντες τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ «καπηλεύοντες τὸν λόγον[3]» τοῦ Εὐαγγελίου, καὶ τὸν ἰὸν προσπλέκοντες τῆς πλάνης τῇ γλυκείᾳ προσηγορίᾳ· ὥσπερ οἰνομέλιτι κώνειον κεραννύντες, ἵνα ὁ πίνων, τῇ γλυκυτάτῃ κλαπεὶς ποιότητι τὴν γευστικὴν αἴσθησιν, ἀφυλάκτως τῷ θανάτῳ περιπαρῇ. Παραινεῖ τις τῶν παλαιῶν· Μηδεὶς ἀγαθὸς λεγέσθω, κακῷ τὸ ἀγαθὸν κεραννύς. Λέγουσι γὰρ Χριστόν, οὐχ ἵνα Χριστὸν κηρύξωσιν, ἀλλ' ἵνα Χριστὸν ἀθετήσωσι· καὶ οὐ νόμον συστήσουσιν, ἀλλ' ἵνα ἀνομίαν καταγγείλωσι. Τὸν μὲν γὰρ Χριστὸν ἀλλοτριοῦσι τοῦ Πατρός, τὸν δὲ νόμον τοῦ Χριστοῦ· καὶ τὴν ἐκ Παρθένου γέννησιν διαβάλλουσιν· ἐπαισχυνόμενοι τὸν σταυρόν, τὸ πάθος ἀρνοῦνται, καὶ τὴν ἀνάστασιν οὐ πιστεύουσι· τὸν θεὸν ἄγνωστον εἰσηγοῦνται, τὸν Χριστὸν ἀγέννητον νομίζουσι, τὸ δὲ Πνεῦμα, οὐδὲ ὅτι ἐστὶν ὁμολογοῦσι. Τινὲς δὲ αὐτῶν, τὸν μὲν Υἱὸν ψιλὸν ἄνθρωπον εἶναι λέγουσι· ταὐτὸν δὲ εἶναι Πατέρα, καὶ Υἱόν, καὶ Πνεῦμα ἅγιον· καὶ τὴν κτίσιν, ἔργον Θεοῦ οὐ διὰ Χριστοῦ, ἀλλ' ἑτέρου τινὸς ἀλλοτρίας δυνάμεως.

VII. Ἀσφαλίζεσθε οὖν τοὺς τοιούτους, ἵνα μὴ λάβητε βρόχον ταῖς ἑαυτῶν ψυχαῖς· καὶ τὸν βίον ὑμῶν ἀπρόσκοπον τίθεσθε πᾶσιν ἀνθρώποις, «ἵνα μὴ γένησθε παγὶς τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον.[4]» «Ὁ μὴ ἰώμενος γὰρ ἑαυτὸν ἐν τοῖς ἔργοις ἑαυτοῦ, ἀδελφός ἐστι τοῦ

---

1. Πρβλ. Α' Κορ. 1, 31. 2. Α' Κορ. 1, 10. 3. Β' Κορ. 2, 17. 4. Ὠσ. 5, 1.

λυμαινομένου ἑαυτόν.[1]» Ἐὰν οὖν καὶ ὑμεῖς ἀποθῆσθε φυσίωσιν, ἀλαζονείαν, τύφον, ὑπεροψίαν, δυνατὸν ὑμῖν ἐστιν εἶναι ἀχωρίστοις Θεοῦ. «Ἐγγὺς γάρ ἐστι τοῖς φοβουμένοις αὐτόν·[2]» καί· «Ἐπὶ τίνα, φησίν, ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους;[3]» Αἰδεῖσθε δὲ καὶ τὸν ἐπίσκοπον ὑμῶν, ὡς Χριστόν, καθ' ὃ ὑμῖν οἱ μακάριοι διετάξαντο ἀπόστολοι. Ὁ ἐντὸς τοῦ θυσιαστηρίου ὤν, καθαρός ἐστι· διὸ καὶ ὑπακούει τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις· ὁ δὲ ἐκτὸς ὤν, οὗτός ἐστιν ὁ χωρὶς τοῦ ἐπισκόπου καὶ τῶν πρεσβυτέρων καὶ τῶν διακόνων τι πράσσων· ὁ τοιοῦτος μεμίανται τῇ συνειδήσει, «καὶ ἔστιν ἀπίστου χείρων·[4]» Τί γάρ ἐστιν ἐπίσκοπος, ἀλλ' ἢ πάσης ἀρχῆς καὶ ἐξουσίας ἐπέκεινα πάντων κρατῶν, ὡς οἷόν τε ἄνθρωπον κρατεῖν μιμητὴν γινόμενον κατὰ δύναμιν Χριστοῦ τοῦ Θεοῦ; Τί δὲ πρεσβυτέριον, ἀλλ' ἢ σύστημα ἱερόν, σύμβουλοι καὶ συνεδρευταὶ τοῦ ἐπισκόπου; Τί δὲ διάκονοι, ἀλλ' ἢ μιμηταὶ τῶν ἀγγελικῶν δυνάμεων; λειτουργοῦντες αὐτῷ λειτουργίαν καθαρὰν καὶ ἄμωμον, ὡς Στέφανος ὁ ἅγιος Ἰακώβῳ τῷ μακαρίῳ καὶ Τιμόθεος καὶ Λῖνος Παύλῳ, καὶ Ἀνέγκλητος καὶ Κλήμης Πέτρῳ. Ὁ τοίνυν τούτων παρακούων, ἄθεος πάμπαν εἴη ἄν, καὶ δυσσεβής, καὶ ἀθετῶν Χριστόν, καὶ τὴν αὐτοῦ διάταξιν σμικρύνων.

VIII. Ἐγὼ δὲ ταῦτα ὑμῖν ἐπιστέλλω, οὐχ ὅτι ἔγνων τοιούτους τινὰς ἐν ὑμῖν, ἀλλὰ μηδὲ συγχωρήσειέν ποτε ὁ θεὸς τοιοῦτον εἰς ἀκοὰς ἐλθεῖν τὰς ἐμάς, «ὁ μὴ φεισάμενος τοῦ Υἱοῦ αὐτοῦ[5]» διὰ τὴν ἁγίαν Ἐκκλησίαν· ἀλλὰ προορῶν τὰς ἐνέδρας τοῦ Πονηροῦ, ταῖς παραγγελίαις προασφαλίζομαι ὑμᾶς, ὡς τέκνα μου ἀγαπητὰ καὶ πιστὰ ἐν Χριστῷ· προποτίζων ὑμᾶς τὰ συλακτεικὰ τῆς λοιμικῆς τῶν ἀνυποτάκτων νόσου, ἧς ὑμεῖς ἀποφεύγετε τὴν νόσον, εὐδοκίᾳ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· ὑμεῖς οὖν ἀναλαβόντες πραότητα, γίνεσθε μιμηταὶ παθημάτων, καὶ ἀγάπης αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς, δοὺς ἑαυτὸν ὑπὲρ ἡμῶν λύτρον, ἵνα τῷ αἵματι αὐτοῦ καθαρίσῃ ἡμᾶς παλαιᾶς δυσσεβείας, καὶ ζωὴν ἡμῖν παράσχηται, μέλλοντας ὅσον οὐδέπω ἀπόλλυσθαι ὑπὸ τῆς ἐν ἡμῖν κακίας· μηδεὶς οὖν ὑμῶν τι κατὰ τοῦ πλησίον ἐχέτω. Ἄφετε γάρ, φησὶν ὁ Κύριος ἡμῶν, καὶ ἀφεθήσεται ὑμῖν.[6] Μὴ ἀφορμὰς δίδοτε τοῖς ἔθνεσιν, ἵνα μὴ ὀλίγων τινῶν ἀφρόνων εἵνεκεν ὁ λόγος καὶ ἡ διδασκαλία βλασφημῆται.[7] «Οὐαὶ γάρ, φησὶν ὁ προφήτης, ὡς ἐκ προσώπου τοῦ Θεοῦ, δι' οὗ τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι.[8]»

IX. Κωφώθητε οὖν, ὅταν ὑμῖν χωρὶς Ἰησοῦ Χριστοῦ λαλῇ τις, τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ γενομένου ἐκ Δαβίδ, τοῦ ἐκ Μαρίας· ὃς ἀληθῶς ἐγεννήθη καὶ ἐκ Θεοῦ καὶ ἐκ Παρθένου, ἀλλ' οὐχ ὡσαύτως· οὐδὲ γὰρ ταὐτό, Θεὸς καὶ ἄνθρωπος· ἀληθῶς ἀνέλαβε σῶμα· «Ὁ Λόγος γὰρ σὰρξ

---

1. Παρμ. 18, 9. 2. Ψαλμ. 84, 10. 3. Ἡσ. 66, 2. 4. Α' Τιμ. 5,8. 5. Ῥωμ. 8, 32. 6. Πρβλ. Ματθ. 6, 14. 7. Πρβλ. Τίτ. 2, 5 Α' Τιμ. 6, 1. 8. Ἡσ. 52, 5.

ἐγένετο[1]», καὶ ἐπολιτεύσατο ἄνευ ἁμαρτίας;[2] ἔφαγε καὶ ἔπιεν ἀληθῶς· ἐσταυρώθη καὶ ἀπέθανεν ἐπὶ Ποντίου Πιλάτου· ἀληθῶς δέ, καὶ οὐ δοκήσει ἐσταυρώθη, καὶ ἀπέθανε, βλεπόντων οὐρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων· οὐρανίων μέν, ὡς τῶν ἀσωμάτων φύσεων· ἐπιγείων δέ, Ἰουδαίων καὶ Ῥωμαίων, καὶ τῶν παρόντων κατ' ἐκείνου καιροῦ ἀνθρώπων σταυρουμένου τοῦ Κυρίου· καταχθονίων δέ, ὡς τοῦ πλήθους τοῦ συναναστάντος τῷ Κυρίῳ. «Πολλὰ γάρ, φησί, σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη[3]», τῶν μνημείων ἀνεῳχθέντων· καὶ κατῆλθεν εἰς ᾅδην μόνος, ἀνῆλθε δὲ μετὰ πλήθους· καὶ ἔσχισε τὸν ἀπ' αἰῶνος φραγμόν, καὶ τὸ μεσότοιχον αὐτοῦ ἔλυσε· καὶ ἀνέστη διὰ τριῶν ἡμερῶν, ἐγείραντος αὐτὸν τοῦ Πατρός· καὶ τεσσαράκοντα ἡμέρας συνδιατρίψας τοῖς ἀποστόλοις ἀνελήφθη πρὸς τὸν Πατέρα· «καὶ ἐκάθισεν ἐκ δεξιῶν αὐτοῦ, περιμένων ἕως ἂν τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ.[4]» Τῇ οὖν Παρασκευῇ, τρίτῃ ὥρᾳ ἀπόφασιν ἐδέξατο παρὰ τοῦ Πιλάτου, συγχωρήσαντος τοῦ Πατρός· ἕκτῃ ὥρᾳ ἐσταυρώθη· ἐνάτῃ ἀπέπνευσε· πρὸ ἡλίου δύσεως ἐτάφη· τὸ Σάββατον ὑπὸ γῆν μένει ἐν τῷ μνημείῳ, ᾧ ἀπέθετο αὐτὸν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθίας· ἐπιφωσκούσης Κυριακῆς ἀνέστη ἐκ τῶν νεκρῶν, κατὰ τὸ εἰρημένον ὑπ' αὐτοῦ· «Ὥσπερ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας·[5]» περιέχει οὖν, ἡ μὲν Παρασκευή, τὸ πάθος· τὸ Σάββατον, τὴν ταφήν· ἡ Κυριακή, τὴν ἀνάστασιν.

X. Εἰ δέ, ὥσπερ τινὲς ἄθεοι ὄντες, τουτέσιν ἄπιστοι, λέγουσι, τῷ δοκήσει γεγενῆσθαι αὐτὸν ἄνθρωπον, οὐκ ἀληθῶς ἀνειληφέναι σῶμα, καὶ τῷ δοκεῖν τεθνηκέναι, πεπονθέναι οὐ τῷ ὄντι· τίνος ἕνεκεν ἐγὼ δέδεμαι, καὶ εὔχομαι θηριομαχῆσαι; Δωρεὰν οὖν ἀποθνήσκω· ἄρα καταψεύδομαι τοῦ σταυροῦ τοῦ Κυρίου· καὶ περιττὸς ὁ προφήτης· «Ὄψονται εἰς ὃν ἐξεκέντησαν, καὶ κόψονται ἐφ' ἑαυτοῖς ὡς ἐπὶ ἀγαπητῷ.[6]» Οὐκοῦν ἄπιστοι αὐτοί, οὐχ ἧττον τῶν σταυρωσάντων αὐτόν· ἐγὼ δὲ οὐ τῷ δοκεῖν ἔχω τὰς ἐλπίδας ἐπὶ τῷ ὑπὲρ ἐμοῦ ἀποθανόντι, ἀλλὰ τῷ ὄντι. Ἀληθείας γὰρ ἀλλότριον τὸ ψεῦδος· ἀληθῶς τοίνυν ἐγέννησε Μαρία σῶμα, Θεὸν ἔνοικον ἔχον· καὶ ἀληθῶς ἐγεννήθη ὁ Θεὸς Λόγος ἐκ τῆς Παρθένου, σῶμα ὁμοιοπαθὲς ἡμῖν ἠμφιεσμένος· ἀληθῶς γέγονεν ἐν μήτρᾳ, ὁ πάντας ἀνθρώπους ἐν μήτρᾳ διαπλάττων καὶ ἐποίησεν ἑαυτῷ σῶμα ἐκ τῶν τῆς Παρθένου σπερμάτων πλὴν ὅσον ἄνευ ὁμιλίας ἀνδρός· ἐκυοφορήθη, ὡς καὶ ἡμεῖς, χρόνου περιόδοις· καὶ ἀληθῶς ἐτέχθη, ὡς καὶ ἡμεῖς· καὶ ἀληθῶς ἐγαλακτοτροφήθη, καὶ τροφῆς κοινῆς καὶ πότου μετέσχεν, ὡς καὶ ἡμεῖς· καὶ τρεῖς δεκάδας ἐτῶν πολιτευσάμενος, ἐβαπτίσθη ὑπὸ Ἰωάννου, ἀληθῶς, καὶ οὐ δοκήσει· καὶ τρεῖς ἐνιαυτοὺς κηρύξας τὸ Εὐαγγέλιον, καὶ ποιήσας σημεῖα καὶ τέρατα,

---

1. Ἰω. 1, 14. 2. Ἰω. 8, 46. 3. Ματθ. 27, 52. 4. Ἑβρ. 10, 13. 5. Ματθ. 12, 40. 6. Ζαχ. 12, 10.

ὑπὸ τῶν ψευδο-Ἰουδαίων καὶ Πιλάτου τοῦ ἡγεμόνος, ὁ κριτὴς ἐκρίθη, ἐμαστιγώθη, ἐπὶ κόρης ἐρραπίσθη, ἐνεπτύσθη, ἀκάνθινον στέφανον καὶ πορφυροῦν ἱμάτιον ἐφόρησε, κατεκρίθη, ἐσταυρώθη ἀληθῶς, οὐ δοκήσει, οὐ φαντασίᾳ, οὐκ ἀπάτῃ· ἀπέθανεν ἀληθῶς, καὶ ἐτάφη, καὶ ἠγέρθη ἐκ τῶν νεκρῶν, καθὼς πού προσηύχετο λέγων· «Σὺ δέ, Κύριε, ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς·[1]» καὶ ὁ πάντοτε ἐπακούων αὐτῷ Πατήρ, ἀποκριθεὶς λέγει· «Ἀνάστα, ὦ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.[2]» Ὁ τοίνυν ἀναστήσας αὐτὸν Πατήρ, καὶ ἡμᾶς δι' αὐτοῦ ἐγερεῖ, οὗ χωρὶς τὸ ἀληθινῶς ζῆν οὐχ ἕξει τις. Λέγει γάρ, ὅτι «Ἐγώ εἰμι ἡ ζωή· ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ ζῶν, καὶ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται εἰς τὸν αἰῶνα.[3]» Φεύγετε οὖν τὰς ἀθέους αἱρέσεις· τοῦ διαβόλου γάρ εἰσιν ἐφευρέσεις, τοῦ ἀρχεκάκου ὄφεως, τοῦ διὰ τῆς γυναικὸς ἀπατήσαντος Ἀδὰμ τὸν πατέρα τοῦ γένους ἡμῶν.

XI. Φεύγετε δὲ αὐτοῦ καὶ τὰς κακὰς παραφυάδας. Σίμωνα τὸν πρωτότοκον αὐτοῦ υἱόν, καὶ Μένανδρον, καὶ Βασιλίδην, καὶ ὅλον αὐτοῦ τὸν ὀρυγμαδὸν τῆς κακίας, τοὺς ἀνθρωπολάτρας, οὓς καὶ ἐπικαταράτους λέγει Ἰερεμίας ὁ προφήτης.[4] Φεύγετε καὶ τοὺς ἀκαθάρτους Νικολαΐτας, τοὺς ψευδωνύμους, τοὺς φιληδόνους, τοὺς συκοφάντας. Φεύγετε καὶ τὰ τοῦ πονηροῦ ἔγγονα, Θεόδοτον καὶ Κλεόβουλον, τὰ γεννῶντα καρπὸν θανατηφόρον, οὗ ἐάν τις γεύσηται, παραυτίκα ἀποθνήσκει, οὐ τὸν πρόσκαιρον θάνατον, ἀλλὰ τὸν αἰώνιον. Οὗτοι οὐκ εἰσὶ φυτεία Πατρός, ἀλλ' ἔγγονα κατηραμένα. «Πᾶσα δέ, φησὶν ὁ Κύριος, φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου ὁ ἐπουράνιος, ἐκριζωθήτω.[5]» Εἰ γὰρ ἦσαν τοῦ Πατρὸς κλάδοι, οὐκ ἂν ἦσαν «ἐχθροὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ[6]», ἀλλὰ τῶν ἀποκτεινάντων «τὸν τῆς δόξης Κύριον.[7]» Νῦν δὲ τὸν σταυρὸν ἀρνούμενοι, καὶ τὸ πάθος ἐπαισχυνόμενοι, καλύπτουσι τὴν Ἰουδαίων παρανομίαν, τῶν θεομάχων, τῶν κυριοκτόνων· μικρὸν γὰρ εἰπεῖν, προφητοκτόνων. Ὑμᾶς δὲ παρακαλεῖ Χριστὸς εἰς τὴν αὐτοῦ ἀφθαρσίαν, διὰ τοῦ πάθους αὐτοῦ, καὶ τῆς ἀναστάσεως, ὄντας μέλη αὐτοῦ.

XII. Ἀσπάζομαι ὑμᾶς ἀπὸ Σμύρνης, ἅμα ταῖς συμπαρούσαις μοι Ἐκκλησίαις τοῦ Θεοῦ, ὧν οἱ ἡγούμενοί με κατὰ πᾶν ἀνέπαυσαν, σαρκί τε καὶ πνεύματι. Παρακαλεῖ ὑμᾶς τὰ δεσμά μου, ἃ ἕνεκεν Ἰησοῦ Χριστοῦ περιφέρω, αἰτούμενος θεοῦ ἐπιτυχεῖν, διαμένετε ἐν τῇ ὁμονοίᾳ τῇ πρὸς ἀλλήλους, καὶ τῇ προσευχῇ. Πρέπει γὰρ ὑμῖν τοῖς καθ' ἕνα, ἐξαιρέτως καὶ τοῖς πρεσβυτέροις, ἀναψύχειν τὸν ἐπίσκοπον εἰς τιμὴν τοῦ Πατρός, καὶ εἰς τιμὴν Ἰησοῦ Χριστοῦ, καὶ τῶν ἀποστόλων. Εὔχομαι ὑμᾶς ἐν ἀγάπῃ ἀκοῦσαι μου, ἵνα μὴ εἰς μαρτύριον ὦ ὑμῖν γράψας. Καὶ περὶ ἐμοῦ δὲ προσεύχεσθε, τῆς ἀφ' ὑμῶν ἀγάπης

---

1. Ψαλμ. 40, 11. 2. Ψαλμ. 81, 8. 3. Ἰω. 11, 25-26. 4. Ἱερ. 17, 5. 5. Ματθ. 15, 13. 6. Φιλιπ. 3, 18. 7. Α' Κορ. 2, 8.

χρήζοντος ἐν τῷ ἐλέει τοῦ Θεοῦ, εἰς τὸ καταξιωθῆναί με τοῦ κλήρου, οὗ περίκειμαι ἐπιτυχεῖν, ἵνα μὴ ἀδόκιμος εὑρεθῶ.

XIII. Ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη Σμυρναίων καὶ Ἐφεσίων. Μνημονεύετε ἡμῶν, τῆς ἐν Συρίᾳ Ἐκκλησίας, ὅθεν οὐκ ἄξιός εἰμι λέγεσθαι, ὢν ἔσχατος τῶν ἐκεῖ. Ἔρρωσθε ἐν Κυρίῳ Ἰησοῦ Χριστῷ, ὑποτασσόμενοι τῷ ἐπισκόπῳ, ὁμοίως καὶ τοῖς πρεσβυτέροις, καὶ τοῖς διακόνοις, καὶ οἱ κατὰ ἄνδρα, ἀλλήλους ἀγαπᾶτε ἐν ἀμερίστῳ καρδίᾳ. Ἀσπάζεται ὑμᾶς τὸ ἐμὸν πνεῦμα, οὐ μόνον νῦν, ἀλλὰ καὶ ὅταν Θεοῦ ἐπιτύχω· ἔτι γὰρ ἐπικίνδυνός εἰμι· ἀλλὰ πιστὸς ὁ Πατὴρ Ἰησοῦ Χριστοῦ, πληρῶσαί μου τὴν αἴτησιν, καὶ ὑμῶν· ἐν ᾧ εὑρεθείημεν ἄμωμοι. Ὀναίμην ὑμῶν ἐν Κυρίῳ.

ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ ἠλεημένῃ ἐν μεγαλειότητι ὑψίστου Θεοῦ Πατρός, καὶ Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, Ἐκκλησίᾳ ἡγιασμένῃ, καὶ πεφωτισμένῃ, ἐν θελήματι Θεοῦ τοῦ ποιήσαντος τὰ πάντα, ἅ ἐστι κατὰ πίστιν καὶ ἀγάπην Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν· ἥτις προκάθηται ἐν τόπῳ χωρίου Ῥωμαίων, ἀξιόθεος, ἀξιοπρεπής, ἀξιομακάριστος, ἀξιέπαινος, ἀξιοεπίτευκτος, ἀξίαγνος, καὶ προκαθημένη τῆς ἀγάπης, χριστώνυμος, πατρώνυμος, πνευματοφόρος· ἣν καὶ ἀσπάζομαι ἐν ὀνόματι Θεοῦ παντοκράτορος, καὶ Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ τοῖς κατὰ σάρκα καὶ πνεῦμα ἡνωμένοις πάσῃ ἐντολῇ αὐτοῦ, πεπληρωμένοις πάσης χάριτος Θεοῦ ἀδιακρίτως, καὶ ἀποδιϋλισμένοις ἀπὸ παντὸς ἀλλοτρίου χρώματος, πλεῖστα ἐν Θεῷ καὶ Πατρί, καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ἀμώμως χαίρειν.

I. Ἐπευξάμενος τῷ Θεῷ, ἐπέτυχον ἰδεῖν ὑμῶν τὰ ἀξιόθεα πρόσωπα, οὓς καὶ πλέον ᾐτούμην λαβεῖν. Δεδεμένος γὰρ ἐν Χριστῷ Ἰησοῦ, ἐλπίζω ὑμᾶς ἀσπάσασθαι, ἐάνπερ θέλημα ᾖ τοῦ ἀξιωθῆναί με εἰς τέλος εἶναι. Ἡ μὲν γὰρ ἀρχὴ εὐοικονόμητός ἐστιν, ἐάνπερ χάριτος ἐπιτύχω, εἰς τὸ τὸν κλῆρόν μου εἰς πέρας ἀνεμποδίστως ἀπολαβεῖν· φοβοῦμαι γὰρ τὴν ἀγάπην ὑμῶν, μὴ αὐτή με ἀδικήσῃ. Ὑμῖν γὰρ εὐχερές ἐστιν, ὃ θέλετε ποιῆσαι · ἐμοὶ δὲ δύσκολόν ἐστι τοῦ Θεοῦ ἐπιτυχεῖν, ἐάνπερ ὑμεῖς μὴ φείσησθέ μου, προφάσει φιλίας σαρκίνης.

II. Οὐ θέλω γὰρ ὑμᾶς ἀνθρωπαρεσκῆσαι, ἀλλὰ Θεῷ ἀρέσαι, ὥσπερ καὶ ἀρέσκετε. Οὔτε γὰρ ἐγὼ ἕξω ποτὲ καιρὸν τοιοῦτον, ὥστε Θεοῦ ἐπιτυχεῖν· οὔτε ὑμεῖς, ἐὰν σιωπήσητε, κρείττονι ἔργῳ ἔχετε ἐπιγραφῆναι· ἐάν τε γὰρ σιωπήσητε ἀπ' ἐμοῦ, ἐγὼ γενήσομαι Θεοῦ· ἐὰν δὲ ἐρασθῆτε τῆς σαρκός μου, πάλιν ἔσομαι τρέχων. Πλεῖον δέ με παρέχεσθε τοῦ σπονδισθῆναι Θεῷ, ὡς ἔτι θυσιαστήριον ἕτοιμόν ἐστιν· ἵνα

ἐν ἀγάπῃ χορὸς γενόμενοι, ᾄσητε τῷ Πατρὶ ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὸν ἐπίσκοπον Συρίας κατηξίωσεν ὁ Θεὸς εὑρεθῆναι εἰς δύσιν ἀπὸ ἀνατολῆς μεταπεμψάμενος καὶ τῶν ἑαυτοῦ παθημάτων μάρτυρα καλῶν, τοῦ διελθεῖν αὐτὸν ἀπὸ κόσμου εἰς Θεόν, ἵνα εἰς αὐτὸν ἀνατείλω.

III. Οὐδέποτε ἐβασκάνατε οὐδενί· ἄλλους ἐδιδάξατε· ἐγὼ δὲ θέλω, ἵνα κἀκεῖνα βέβαια ᾖ, ἃ μαθητεύοντες ἐντέλλεσθε. Μόνον δύναμιν αἰτεῖσθέ μοι ἔσωθέν τε καὶ ἔξωθεν, ἵνα μὴ μόνον λέγω, ἀλλὰ καὶ θέλω, ὅπως μὴ μόνον λέγωμαι Χριστιανός, ἀλλὰ καὶ εὑρεθῶ. Ἐὰν γὰρ εὑρεθῶ, καὶ λέγεσθαι δύναμαι, καὶ τότε πιστὸς εἶναι, ὅταν κόσμῳ μὴ φαίνωμαι. Οὐδὲν φαινόμενον, αἰώνιον. «Τὰ γὰρ βλεπόμενα πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα αἰώνια.[1]» Οὐ πεισμονῆς τὸ ἔργον, ἀλλὰ μεγέθους ἐστὶν ὁ Χριστιανός· ὅταν μισῆται ὑπὸ κόσμου, φιλεῖται παρὰ Θεοῦ. «Εἰ ἐκ τοῦ κόσμου γάρ, φησί, τούτου ἦτε, ὁ κόσμος ἂν ἐφίλει τὸ ἴδιον· νυνὶ δὲ οὐκ ἐστὲ ἐκ τοῦ κόσμου, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς· μείνατε παρ' ἐμοί.[2]»

IV. Ἐγὼ γράφω πάσαις ταῖς Ἐκκλησίαις, καὶ ἐντέλλομαι πᾶσιν, ὅτι ἐγὼ ἑκὼν ὑπὲρ Θεοῦ ἀποθνήσκω, ἐάνπερ ὑμεῖς μὴ κωλύσητε. Παρακαλῶ ὑμᾶς, μὴ εὔνοια ἄκαιρος γένεσθέ μοι. Ἄφετέ με θηρίων εἶναι βρῶμα, δι' ὧν ἔστι Θεοῦ ἐπιτυχεῖν. Σῖτός εἰμι τοῦ Θεοῦ, καὶ δι' ὀδόντων θηρίων ἀλήθομαι, ἵνα καθαρὸς ἄρτος Θεοῦ εὑρεθῶ. Μᾶλλον κολακεύσατε τὰ θηρία, ἵνα μοι τάφος γένωνται, καὶ μηδὲν καταλείπωσι τῶν τοῦ σώματός μου, ἵνα μὴ κοιμηθεὶς βαρύς τινι εὑρεθήσομαι. Τότε δὲ ἔσομαι μαθητὴς ἀληθὴς Ἰησοῦ Χριστοῦ, ὅτε οὐδὲ τὸ σῶμά μου ὁ κόσμος ὄψεται. Λιτανεύσατε τὸν Κύριον ὑπὲρ ἐμοῦ, ἵνα διὰ τῶν ὀργάνων τούτων Θεῷ θυσία εὑρεθῶ. Οὐχ ὡς Πέτρος καὶ Παῦλος διατάσσομαι ὑμῖν· ἐκεῖνοι ἀπόστολοι Ἰησοῦ Χριστοῦ, ἐγὼ δὲ ἐλάχιστος· ἐκεῖνοι ἐλεύθεροι, ὡς δοῦλοι Θεοῦ· ἐγὼ δὲ μέχρι νῦν δοῦλος· ἀλλὰ ἐὰν πάθω, ἀπελεύθερος γενήσομαι Ἰησοῦ Χριστοῦ[3], καὶ ἀναστήσομαι ἐν αὐτῷ ἐλεύθερος. Νῦν μανθάνω, ἐν αὐτῷ δεδεμένος, μηδὲν ἐπιθυμεῖν κοσμικὸν ἢ μάταιον.

V. Ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ, διὰ γῆς καὶ θαλάσσης, νυκτὸς καὶ ἡμέρας, ἐνδεδεμένος δέκα λεοπάρδοις, ὅ ἐστι στρατιωτικὸν τάγμα· οἳ καὶ εὐεργετούμενοι χείρους γίνονται. Ἐν δὲ τοῖς ἀδικήμασιν αὐτῶν μᾶλλον μαθητεύομαι· «ἀλλ' οὐ παρὰ τοῦτο δεδικαίωμαι.[4]» Ὀναίμην τῶν θηρίων τῶν ἐμοὶ ἡτοιμασμένων· ἃ καὶ εὔχομαι σύντομά μοι εὑρεθῆναι· ἃ καὶ κολακεύσω, συντόμως με καταφαγεῖν, οὐχ ὥσπερ τινῶν δειλαινόμενα οὐχ ἥψαντο. Κἂν αὐτὰ δὲ ἑκόντα μὴ θέλῃ, ἐγὼ προσβιάσομαι. Συγγνώμην μοι ἔχετε· τί μοι συμφέρει ἐγὼ γινώσκω· νῦν ἄρχομαι μαθητὴς εἶναι· μηδέν με ζηλῶσαι τῶν ὁρατῶν καὶ τῶν ἀοράτων, ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. Πῦρ καὶ σταυρός, θηρίων τε

---

1. Β' Κορ. 4, 18. 2. Ἰω. 15, 19. 3. Πρβλ. Α' Κορ. 7, 22. 4. Α' Κορ. 4, 4.

συστάσεις, ἀνατομαί, διαιρέσεις, σκορπισμοὶ ὀστέων, συγκοπαὶ μελῶν, ἀλεσμοὶ ὅλου τοῦ σώματος, καὶ κόλασις τοῦ διαβόλου ἐπ' ἐμὲ ἐρχέσθω, μόνον ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω.

VI. Οὐδέν με ὠφελήσει τὰ πέρατα τοῦ κόσμου, οὐδὲ αἱ βασιλεῖαι τοῦ αἰῶνος τούτου· καλόν ἐμοὶ ἀποθανεῖν, διὰ Ἰησοῦν Χριστόν, ἢ βασιλεύειν τῶν περάτων τῆς γῆς. «Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ἀπολέσῃ; [1]» Τὸν Κύριον ποθῶ, τὸν Υἱὸν τοῦ ἀληθινοῦ Θεοῦ καὶ Πατρός, Ἰησοῦν τὸν Χριστόν. Ἐκεῖνον ζητῶ, τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα καὶ ἀναστάντα. Συγγνωμονεῖτέ μοι, ἀδελφοί, μὴ ἐμποδίσητέ μοι εἰς ζωὴν φθάσαι. Ἰησοῦς γάρ ἐστιν ἡ ζωὴ τῶν πιστῶν. Μὴ θελήσητέ με ἀποθανεῖν· θάνατος γάρ ἐστιν ἡ ἄνευ Χριστοῦ ζωή. Τοῦ Θεοῦ θέλοντά με εἶναι, κόσμῳ μὴ χαρίσησθε. Ἄφετέ με καθαρὸν φῶς λαβεῖν. Ἐκεῖ παραγενόμενος, ἄνθρωπος Θεοῦ ἔσομαι. Ἐπιτρέψατέ μοι μιμητὴν εἶναι πάθους Χριστοῦ τοῦ Θεοῦ μου· εἴ τις αὐτὸν ἐν ἑαυτῷ ἔχει, νοησάτω ὃ θέλω, καὶ συμπαθείτω μοι, εἰδὼς τὰ συνέχοντά με.

VII. Ὁ ἄρχων τοῦ αἰῶνος τούτου διαρπάσαι με βούλεται, καὶ τὴν εἰς τὸν Θεόν μου γνώμην διαφθεῖραι. Μηδεὶς οὖν τῶν παρόντων ὑμῶν βοηθείτω αὐτῷ· μᾶλλον ἐμοὶ γένεσθε, τοῦτ' ἔστι, τῷ Θεῷ. Μὴ λαλῆτε Ἰησοῦν Χριστόν, κόσμον δὲ προτιμᾶτε· βασκανία ἐν ὑμῖν μὴ κατοικείτω· μηδὲ ἐὰν ἐγὼ ὑμᾶς παρὼν παρακαλῶ, πεισθῆτε· τούτοις δὲ μᾶλλον πιστεύσατε, οἷς γράφω ὑμῖν. Ζῶν γὰρ γράφω ὑμῖν, ἐρῶν τοῦ διὰ Χριστὸν ἀποθανεῖν. Ὁ ἐμὸς ἔρως ἐσταύρωται, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλοῦν τι· ὕδωρ δὲ ζῶν, ἁλλόμενον ἐν ἐμοί, ἔσωθέν μοι λέγει· Δεῦρο πρὸς τὸν Πατέρα. Οὐχ ἥδομαι τροφῇ φθορᾶς, οὐδὲ ἡδοναῖς τοῦ βίου τούτου· ἄρτον τοῦ Θεοῦ θέλω, ἄρτον οὐράνιον, ἄρτον ζωῆς, ὅ ἐστι σὰρξ Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ γενομένου ἐν ὑστέρῳ ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραάμ· καὶ πόμα θέλω τὸ αἷμα αὐτοῦ, ὅ ἐστιν ἀγάπη ἄφθαρτος, καὶ ἀέναος ζωή.

VIII. Οὐκ ἔτι θέλω κατὰ ἀνθρώπους ζῆν· τοῦτο δὲ ἔσται, ἐὰν ὑμεῖς θέλητε. «Χριστῷ συνεσταύρωμαι· ζῶ δέ, οὐκ ἔτι ἐγώ, ἐπειδήπερ ζῇ ἐν ἐμοὶ ὁ Χριστός.[2]» Δι' ὀλίγων γραμμάτων αἰτοῦμαι ὑμᾶς, μὴ παραιτήσασθέ με, πιστεύσατέ μοι, ὅτι τὸν Ἰησοῦν φιλῶ, τὸν ὑπὲρ ἐμοῦ παραδοθέντα. «Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; [3]» Αὐτὸς δὲ ὁ Θεὸς καὶ Πατήρ, καὶ ὁ Κύριος Ἰησοῦς ὁ Χριστός, φανερώσει ὑμῖν ταῦτα, ὅτι ἀληθῶς λέγω. Καὶ ὑμεῖς συνεύξασθέ μοι, ἵνα τοῦ σκοποῦ τύχω, ἐν Πνεύματι ἁγίῳ. Οὐ κατὰ σάρκα ὑμῖν ἔγραψα, ἀλλὰ κατὰ γνώμην Θεοῦ. Ἐὰν πάθω, ἠγαπήσατε· ἐὰν ἀποδοκιμασθῶ, ἐμισήσατε.

IX. Μνημονεύετε ἐν τῇ εὐχῇ ὑμῶν τῆς ἐν Συρίᾳ Ἐκκλησίας, ἥτις ἀντ' ἐμοῦ ποιμένι χρῆται τῷ Κυρίῳ, τῷ εἰπόντι· «Ἐγώ εἰμι ὁ ποιμὴν

---

1. Ματθ. 16, 26. Λουκ. 9, 25. 2. Γαλ. 2, 19-20. 3. Ψαλμ. 115, 3.

ὁ καλός·[1]» καὶ μόνος αὐτὴν ἐπισκοπήσει, καὶ ἡ ὑμῶν εἰς αὐτὸν ἀγάπη. Ἐγὼ δὲ καὶ αἰσχύνομαι ἐξ αὐτῶν λέγεσθαι· οὐ γάρ εἰμι ἄξιος ὢν ἔσχατος αὐτῶν, καὶ ἔκτρωμα· ἀλλ' ἠλέημαί τις εἶναι, ἐὰν Θεοῦ ἐπιτύχω. Ἀσπάζεται ὑμᾶς τὸ ἐμὸν πνεῦμα, καὶ ἡ ἀγάπη τῶν Ἐκκλησιῶν τῶν δεξαμένων με εἰς ὄνομα Ἰησοῦ Χριστοῦ, οὐχ ὡς παροδεύοντα· καὶ γὰρ αἱ μὴ προσήκουσαί μοι τῇ ὁδῷ, κατὰ πόλιν με προήγαγον.

X. Γράφω δὲ ὑμῖν ταῦτα ἀπὸ Σμύρνης, διὰ Ἐφεσίων τῶν ἀξιομακαρίστων. Ἔστι δὲ ἅμα ἐμοὶ σὺν πολλοῖς καὶ ἄλλοις Κρόκος, τὸ ποθητὸν ὄνομα. Περὶ τῶν προσελθόντων ἀπὸ Συρίας εἰς Ῥώμην, εἰς δόξαν Θεοῦ, πιστεύω ὑμᾶς ἐπεγνωκέναι· οἷς καὶ δηλώσετε, ἐγγύς με ὄντα· πάντες γάρ εἰσιν ἄξιοι Θεοῦ καὶ ὑμῶν· οὓς πρέπον ἐστὶν ὑμῖν κατὰ πάντα ἀναπαῦσαι. Ἔγραψα δὲ ὑμῖν ταῦτα τῇ πρὸ ἐννέα Καλανδῶν Σεπτεμβρίων. Ἔρρωσθε εἰς τέλος, ἐν ὑπομονῇ Ἰησοῦ Χριστοῦ.

ΠΡΟΣ ΦΙΛΑΔΕΛΦΕΙΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, Ἐκκλησίᾳ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τῇ οὔσῃ ἐν Φιλαδελφίᾳ, ἐν ἀγάπῃ ἠλεημένῃ, καὶ ἡδρασμένῃ ἐν ὁμονοίᾳ Θεοῦ, καὶ ἀγαλλομένῃ ἐν τῷ πάθει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ ἀδιακρίτως, καὶ ἐν τῇ ἀναστάσει αὐτοῦ πεπληροφορημένῃ ἐν παντὶ ἐλέει· ἣν ἀσπάζομαι ἐν αἵματι Ἰησοῦ Χριστοῦ, ἥτις ἐστὶ χαρὰ αἰώνιος καὶ παράμονος· μάλιστα ἐν ἑνὶ οὖσι σὺν τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις καὶ διακόνοις, ἀποδεδειγμένοις ἐν θελήματι Θεοῦ Πατρός, διὰ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, ὃς κατὰ τὸ ἴδιον βούλημα ἐστήριξεν αὐτοῦ βεβαίως τὴν Ἐκκλησίαν ἐπὶ τῇ πέτρᾳ[2], οἰκοδομῇ πνευματικῇ, ἀχειροποιήτῳ, ᾗ συγκλύσαντες οἱ ἄνεμοι καὶ οἱ ποταμοὶ οὐκ ἴσχυσαν αὐτὴν ἀνατρέψαι, ἀλλὰ μηδὲ ἰσχύσειάν ποτε τὰ πνευματικὰ τῆς πονηρίας, ἀλλ' ἐξασθενήσειαν δυνάμει Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

I. Θεασάμενος ὑμῶν τὸν ἐπίσκοπον, ἔγνων ὅτι οὐκ ἀφ' ἑαυτοῦ, οὐδὲ δι' ἀνθρώπων ἠξιώθη τὴν διακονίαν τὴν εἰς τὸ κοινὸν ἀνήκουσαν ἐγχειρισθῆναι, οὐδὲ κατὰ κενοδοξίαν, ἀλλ' ἐν ἀγάπῃ Ἰησοῦ Χριστοῦ, καὶ Θεοῦ Πατρὸς «τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν.[3]» Οὗ καταπέπληγμαι τὴν ἐπιείκειαν· ὃς σιγῶν πλέον δύναται τῶν πλέον λαλούντων. Συνήρμοσται γὰρ ταῖς ἐντολαῖς Κυρίου, καὶ τοῖς δικαιώμασιν, ὡς χορδαὶ τῇ κιθάρᾳ· καὶ ἔστιν ἄμεμπτος, οὐχ ἧττον Ζαχαρίου τοῦ ἱερέως. Διὸ μακαρίζει μου ἡ ψυχὴ τὴν εἰς Θεὸν αὐτοῦ γνώμην, ἐπιγνοὺς ἐνάρετον καὶ τελείαν οὖσαν· τὸ ἀκίνητον αὐτοῦ, καὶ τὸ ἀόργητον ἐν πάσῃ ἐπιεικείᾳ Θεοῦ ζῶντος.

---

1. Ἰω. 10, 11. 2. Ματθ. 16, 18. 3. Γαλ. 1, 1.

II. Ὡς τέκνα οὖν φωτός, ἀληθείας, φεύγετε τὸν μερισμὸν τῆς ἑνότητος, καὶ τὴν κακοδιδασκαλίαν τῶν αἱρεσιωτῶν, ἐξ ὧν «μολυσμὸς ἐξῆλθεν εἰς πᾶσαν τὴν γῆν.[1]» Ὅπου δὲ ὁ ποιμήν ἐστιν, ἐκεῖ ὡς πρόβατα ἀκολουθεῖτε. Πολλοὶ γὰρ λύκοι κῳδίοις ἠμφιεσμένοι[2], ἡδονῇ κακῇ αἰχμαλωτίζουσι τοὺς θεοδρόμους· ἀλλ' ἐν τῇ ἑνότητι ὑμῶν οὐχ ἕξουσι τόπον.

III. Ἀπέχεσθε οὖν τῶν κακῶν βοτανῶν, ἅστινας Ἰησοῦς Χριστὸς οὐ γεωργεῖ, ἀλλ' ὁ ἀνθρωποκτόνος θήρ, διὰ τὸ μὴ εἶναι αὐτὰς φυτείαν Πατρός, ἀλλὰ σπέρμα τοῦ πονηροῦ. Οὐχ ὅτι παρ' ὑμῖν μερισμὸν εὗρον, ταῦτα γράφω· ἀλλὰ προασφαλίζομαι ὑμᾶς ὡς τέκνα Θεοῦ. Ὅσοι γὰρ Χριστοῦ εἰσιν, οὗτοι μετὰ τοῦ ἐπισκόπου εἰσίν· ὅσοι δ' ἂν ἐκκλίνωσιν αὐτοῦ, καὶ τὴν κοινωνίαν ἀσπάσωνται μετὰ τῶν κατηραμένων, οὗτοι σὺν αὐτοῖς ἐκκοπήσονται· οὐ γάρ εἰσι γεώργιον Χριστοῦ, ἀλλ' ἐχθροῦ σπορά· οὗ ῥυσθείητε πάντοτε εὐχαῖς τοῦ προκαθεζομένου ὑμῶν ποιμένος, τοῦ πιστοτάτου καὶ πρᾳοτάτου. Παρακαλῶ οὖν ὑμᾶς ἐν Κυρίῳ, ὅσοι ἂν μετανοήσαντες ἔλθωσιν ἐπὶ τὴν ἑνότητα τῆς Ἐκκλησίας, προσδέχεσθε αὐτοὺς μετὰ πάσης πρᾳότητος, ἵνα διὰ τῆς χρηστότητος καὶ τῆς ἀνεξικακίας «ἀνανήψαντες ἐκ τῆς τοῦ διαβόλου παγίδος[3]», ἄξιοι Ἰησοῦ Χριστοῦ γενόμενοι, σωτηρίας αἰωνίου τύχωσιν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ. Ἀδελφοί, μὴ πλανᾶσθε. Εἴ τις σχίζοντι ἀπὸ τῆς ἀληθείας ἀκολουθεῖ, βασιλείαν Θεοῦ οὐ κληρονομήσει· καὶ εἴ τις οὐκ ἀφίσταται τοῦ ψευδολόγου κήρυκος, εἰς γέενναν κατακριθήσεται. Οὔτε γὰρ εὐσεβῶν ἀφίστασθαι χρή, οὔτε δὲ δυσσεβέσι συγκεῖσθαι δεῖ. Εἴ τις ἐν ἀλλοτρίᾳ γνώμῃ περιπατεῖ, οὗτος οὐκ ἔστι Χριστοῦ, οὔτε τοῦ πάθους αὐτοῦ κοινωνός· ἀλλ' ἔστιν ἀλώπηξ, φθορεὺς ἀμπελῶνος Χριστοῦ. Τῷ τοιούτῳ μὴ συναναμίγνυσθε, ἵνα μὴ συναπόλησθε αὐτῷ· κἂν πατὴρ ᾖ, κἂν υἱός, κἂν ἀδελφός, κἂν οἰκεῖος. «Οὐ φείσεται γάρ σου, φησίν, ὁ ὀφθαλμὸς ἐπ' αὐτῷ.[4]» Τοὺς μισοῦντας οὖν τὸν Θεόν, μισεῖν χρὴ καὶ ὑμᾶς, καὶ ἐπὶ τοῖς ἐχθροῖς αὐτοῦ ἐκτήκεσθαι·[5] οὐ μὴν καὶ τύπτειν αὐτοὺς ἢ διώκειν, καθὼς «τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Κύριον καὶ Θεόν·[6]» ἀλλ' ἐχθροὺς μὲν ἡγεῖσθαι, καὶ χωρίζεσθαι ἀπ' αὐτῶν· νουθετεῖν δὲ αὐτούς, καὶ ἐπὶ μετάνοιαν παρακαλεῖν, ἐὰν ἄρα ἀκούσωσιν, ἐὰν ἄρα ἐνδῶσι. Φιλάνθρωπος γάρ ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ «πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.[7]» Διὸ «τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει τὸν ὑετὸν ἐπὶ δικαίους καὶ ἀδίκους·[8]» οὗ τῆς χρηστότητος θέλων καὶ ἡμᾶς εἶναι μιμητὰς ὁ Κύριος, λέγει· «Γίνεσθε τέλειοι, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν.[9]»

IV. Ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε.

---

1. Ἰερ. 23, 15. 2. Ματθ. 7, 15. 3. Β' Τιμ. 2, 26. 4. Δευτ. 13, 8. 5. Πρβλ. Ψαλμ. 138, 21. 6. Α' Θεσσ. 4, 5. 7. Α' Τιμ. 2, 4. 8. Ματθ. 5, 45. 9. Ματθ. 5, 48.

Διὸ καὶ θαρρῶν γράφω τῇ ἀξιοθέῳ ἀγάπῃ ὑμῶν, παρακαλῶν ὑμᾶς, μιᾷ πίστει, καὶ ἑνὶ κηρύγματι, καὶ μιᾷ εὐχαριστίᾳ χρῆσθαι. Μία γάρ ἐστιν ἡ σὰρξ τοῦ Κυρίου Ἰησοῦ, καὶ ἓν αὐτοῦ τὸ αἷμα τὸ ὑπὲρ ἡμῶν ἐκχυθέν· εἷς καὶ ἄρτος τοῖς πᾶσιν ἐθρύφθη, καὶ ἓν ποτήριον τοῖς ὅλοις διενεμήθη· ἓν θυσιαστήριον πάσῃ τῇ Ἐκκλησίᾳ, καὶ εἷς ἐπίσκοπος, ἅμα τῷ πρεσβυτερίῳ, καὶ τοῖς διακόνοις τοῖς συνδούλοις μου. Ἐπείπερ καὶ εἷς ἀγέννητος, ὁ Θεὸς καὶ Πατήρ· καὶ εἷς μονογενής, Υἱός, Θεὸς Λόγος, καὶ ἄνθρωπος· καὶ εἷς ὁ Παράκλητος, τὸ Πνεῦμα τῆς ἀληθείας· ἓν δὲ καὶ τὸ κήρυγμα· «καὶ ἡ πίστις μία, καὶ τὸ βάπτισμα ἕν·[1]» καὶ μία ἡ Ἐκκλησία, ἣν ἱδρύσαντο οἱ ἅγιοι ἀπόστολοι ἀπὸ περάτων ἕως περάτων, ἐν τῷ αἵματι τοῦ Χριστοῦ, οἰκείοις ἱδρῶσι καὶ πόνοις. Καὶ ὑμᾶς οὖν χρή, ὡς «λαὸν περιούσιον, καὶ ἔθνος ἅγιον[2]», ἐν ὁμονοίᾳ πάντα ἐν Χριστῷ ἐπιτελεῖν. Αἱ γυναῖκες, τοῖς ἀνδράσιν ὑποτάγητε ἐν φόβῳ Θεοῦ·[3] αἱ παρθένοι, τῷ Χριστῷ ἐν ἀφθαρσίᾳ· οὐ βδελυσσόμεναι γάμον, ἀλλὰ τοῦ κρείσσονος ἐφιέμεναι· οὐκ ἐπὶ διαβολῇ συναφείας, ἀλλ' ἕνεκα τῆς τοῦ νόμου μελέτης. Τὰ τέκνα, πειθαρχεῖτε τοῖς γονεῦσιν ὑμῶν, καὶ στέργετε αὐτοὺς ὡς συνεργοὺς Θεοῦ εἰς τὴν ὑμετέραν γέννησιν· οἱ δοῦλοι, ὑποτάγητε τοῖς κυρίοις ἐν Θεῷ, ἵνα Χριστοῦ ἀπελεύθεροι γένησθε.[4] Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας ὑμῶν, ὡς ὁμοδούλους Θεῷ, ὡς οἰκεῖον σῶμα, ὡς κοινωνοὺς βίου, καὶ συνεργοὺς τεκνογονίας. Αἱ παρθένοι, μόνον τὸν Χριστὸν πρὸ ὀφθαλμῶν ἔχετε, καὶ τὸν αὐτοῦ Πατέρα, ἐν ταῖς εὐχαῖς, φωτιζόμεναι ὑπὸ τοῦ Πνεύματος. Ὀναίμην ὑμῶν τῆς ἁγιωσύνης, ὡς Ἠλία, ὡς Ἰησοῦ τοῦ Ναυῆ, ὡς Μελχισεδέκ, ὡς Ἐλισσαίου, ὡς Ἰερεμίου, ὡς τοῦ Βαπτιστοῦ Ἰωάννου, ὡς τοῦ ἠγαπημένου μαθητοῦ, ὡς Τιμοθέου, ὡς Τίτου, ὡς Εὐοδίου, ὡς Κλήμεντος, τῶν ἐν ἁγνείᾳ ἐξελθόντων τὸν βίον· οὐ ψέγω δὲ τοὺς λοιποὺς μακαρίους, ὅτι γάμοις προσωμίλησαν, ὧν ἐμνήσθην ἄρτι. Εὔχομαι γὰρ ἄξιος Θεοῦ εὑρεθείς, πρὸς τοῖς ἴχνεσιν αὐτῶν εὑρεθῆναι ἐν τῇ βασιλείᾳ· ὡς Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, ὡς Ἰωσήφ, καὶ Ἠσαΐου, καὶ τῶν ἄλλων προφητῶν· ὡς Πέτρου, καὶ Παύλου, καὶ τῶν ἄλλων ἀποστόλων, τῶν γάμοις προσομιλησάντων· οὐχ ὑπὸ προθυμίας δὲ τῆς περὶ τὸ πρᾶγμα, ἀλλ' ἐπ' ἐννοίας ἑαυτῶν τοῦ γένους, ἔσχον ἐκείνους. «Οἱ πατέρες, ἐκτρέφετε τοὺς ἑαυτῶν παῖδας ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου·[5]» καὶ διδάσκετε αὐτοὺς τὰ ἱερὰ γράμματα καὶ τέχνας, πρὸς τὸ μὴ ἀργίᾳ χαίρειν. Καλῶς δέ, φησίν, ἐκτρέφει πατὴρ δίκαιος· ἐπὶ υἱῷ συνετῷ εὐφρανθήσεται ἡ καρδία αὐτοῦ. Οἱ κύριοι, εὐμενῶς τοῖς οἰκέταις προσέχετε, ὡς ὁ ἅγιος Ἰὼβ ἐδίδαξε.[6] Μία γὰρ φύσις, καὶ ἓν τὸ γένος τῆς ἀνθρωπότητος. «Ἐν γὰρ Χριστῷ οὔτε δοῦλος, οὔτε ἐλεύθερος.[7]» Οἱ ἄρχοντες πειθαρχείτωσαν τῷ Καίσαρι· οἱ στρατιῶται, τοῖς ἄρχουσιν· οἱ διάκονοι, τοῖς πρεσβυτέροις

---

1. Ἐφ. 4, 5. 2. Τίτ. 2, 14. Α' Πέτρ. 2, 6. 3. Ἐφ. 5, 21. 4. Πρβλ. Α' Κορ. 7, 22. 5. Ἐφ. 6, 4. 6. Ἰὼβ 31, 13. 7. Γαλ. 3, 28.

ἀρχιερεῦσιν. Οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι, καὶ ὁ λοιπὸς κλῆρος, ἅμα παντὶ τῷ λαῷ καὶ τοῖς στρατιώταις καὶ τοῖς ἄρχουσι καὶ τῷ Καίσαρι, τῷ ἐπισκόπῳ· ὁ ἐπίσκοπος τῷ Χριστῷ, ὡς ὁ Χριστὸς τῷ Πατρί. Καὶ οὕτως ἡ ἑνότης διὰ πάντων σώζεται. Ἔστωσαν δὲ καὶ αἱ χῆραι μὴ ρεμβαί, μὴ λίχναι, μὴ περιτροχάδες· ἀλλ' ὡς Ἰουδὶθ ἡ σεμνοτάτη, ὡς ἡ Ἄννα ἡ σωφρονεστάτη. Ταῦτα οὐχ ὡς ἀπόστολος διατάσσομαι· τίς γάρ εἰμι ἐγώ; ἢ τίς ὁ οἶκος τοῦ πατρός μου, ἵνα ἰσότιμον ἐμαυτὸν ἐκείνων εἴπω; ἀλλ' «ὡς συστρατιώτης ὑμῶν [1]», ὑποφωνητοῦ τάξιν ἐπέχων.

V. Ἀδελφοί μου, λίαν ἐκκέχυμαι ἀγαπῶν ὑμᾶς, καὶ ὑπεραγαλλόμενος ἀσφαλίζομαι ὑμᾶς. Οὐκ ἐγὼ δέ, ἀλλὰ δι' ἐμοῦ ὁ Κύριος Ἰησοῦς ἐν ᾧ δεδεμένος φοβοῦμαι μᾶλλον. Ἔτι γάρ εἰμι ἀναπάρτιστος· ἀλλ' ἡ προσευχὴ ὑμῶν εἰς Θεόν με ἀπαρτίσει, ἵνα ἐν ᾧ ἐκλήθην ἐπιτύχω, προσφυγὼν τῷ Εὐαγγελίῳ ὡς σαρκὶ Ἰησοῦ Χριστοῦ, καὶ τοῖς ἀποστόλοις ὡς πρεσβυτερίῳ Ἐκκλησίας. Καὶ τοὺς προφήτας δὲ ἀγαπῶ, ὡς Χριστὸν καταγγείλαντας, ὡς τοῦ αὐτοῦ Πνεύματος μετασχόντας, οὗ καὶ οἱ ἀπόστολοι. Ὡς γὰρ οἱ ψευδοπροφῆται καὶ οἱ ψευδαπόστολοι, ἓν καὶ τὸ αὐτὸ εἵλκυσαν πονηρὸν καὶ ἀπατηλὸν καὶ λαοπλάνον πνεῦμα· οὕτω καὶ οἱ προφῆται καὶ οἱ ἀπόστολοι, ἓν καὶ τὸ αὐτὸ ἅγιον Πνεῦμα, ἀγαθόν, καὶ ἡγεμονικόν, ἀληθές τε διδασκαλικὸν ἔλαβον παρὰ Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ.[2] Εἷς γὰρ ὁ Θεὸς παλαιᾶς καὶ καινῆς Διαθήκης· «εἷς ὁ μεσίτης Θεοῦ καὶ ἀνθρώπων [3]», εἴς τε δημιουργίαν νοητῶν καὶ αἰσθητῶν, καὶ πρόνοιαν πρόσφορον καὶ κατάλληλον· εἷς δὲ καὶ ὁ Παράκλητος, ὁ ἐνεργήσας ἐν Μωσῇ, καὶ προφήταις, καὶ ἀποστόλοις· πάντες οὖν οἱ ἅγιοι ἐν Χριστῷ ἐσώθησαν, ἐλπίσαντες εἰς αὐτόν, καὶ αὐτὸν ἀναμείναντες· καὶ δι' αὐτοῦ σωτηρίας ἔτυχον, ὄντες ἀξιαγάπητοι καὶ ἀξιοθαύμαστοι ἅγιοι, ὑπὸ Ἰησοῦ Χριστοῦ μεμαρτυρημένοι ἐν τῷ Εὐαγγελίῳ τῆς κοινῆς ἐλπίδος.

VI. Ἐάν τις Θεὸν νόμου καὶ προφητῶν κηρύττῃ ἕνα, Χριστὸν δὲ ἀρνῆται Υἱὸν εἶναι Θεοῦ, ψεύστης ἐστίν, ὡς καὶ ὁ πατὴρ αὐτοῦ ὁ διάβολος [4], καὶ ἔστιν ὁ τοιοῦτος τῆς κάτω περιτομῆς ψευδοϊουδαῖος. Ἐάν τις ὁμολογῇ Χριστὸν Ἰησοῦν Κύριον, ἀρνῆται δὲ τὸν Θεὸν τοῦ νόμου καὶ τῶν προφητῶν, οὐκ εἶναι λέγων τὸν οὐρανοῦ καὶ γῆς ποιητήν, Πατέρα τοῦ Χριστοῦ· ὁ τοιοῦτος ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὡς καὶ ὁ πατὴρ αὐτοῦ ὁ διάβολος, καὶ ἔστιν ὁ τοιοῦτος Σίμωνος τοῦ Μάγου, ἀλλ' οὐ τοῦ ἁγίου Πνεύματος μαθητής. Ἐάν τις λέγῃ μὲν ἕνα Θεόν, ὁμολογῇ δὲ καὶ Χριστὸν Ἰησοῦν, ψιλὸν δὲ ἄνθρωπον εἶναι νομίζῃ τὸν Κύριον, οὐχὶ Θεὸν μονογενῆ, καὶ σοφίαν, καὶ Λόγον Θεοῦ, ἀλλ' ἐκ ψυχῆς καὶ σώματος αὐτὸν μόνον εἶναι νομίζῃ· ὁ τοιοῦτος, ὄφις ἐστίν, ἀπάτην καὶ πλάνην κηρύττων ἐπ' ἀπωλείᾳ ἀνθρώπων· καὶ ἔστιν

1. Φιλιππ. 2, 25. 2. Πρβλ. Ψαλμ. 50, 13. Ἰω. 16. 13. 3. Α' Τιμ. 2, 5. 4. Ἰω. 8, 44.

ὁ τοιοῦτος πένης τὴν διάνοιαν, ὡς ἐπικαλεῖται Ἐβίων. Ἐάν τις ταῦτα μὲν ὁμολογῇ, φθορὰν δὲ καὶ μολυσμὸν καλῇ τὴν νόμιμον μίξιν, καὶ τὴν τῶν παίδων γένεσιν, ἤ τινα τῶν βρωμάτων βδελυκτά· ὁ τοιοῦτος ἔνοικον ἔχει τὸν δράκοντα τὸν ἀποστάτην. Ἐάν τις Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ὁμολογῇ, καὶ τὴν κτίσιν ἐπαινῇ, δόκησιν δὲ λέγῃ τὴν ἐνσωμάτωσιν, καὶ τὸ πάθος ἐπαισχύνηται· ὁ τοιοῦτος ἤρνηται τὴν πίστιν, οὐχ ἧττον τῶν χριστοφόνων Ἰουδαίων. Ἐάν τις ταῦτα μὲν ὁμολογῇ, καὶ ὅτι Θεὸς Λόγος ἐν ἀνθρωπίνῳ σώματι κατῴκει, ὢν ἐν αὐτῷ ὁ Λόγος ὥσπερ καὶ ψυχὴ ἐν σώματι, διὰ τὸ ἔνοικον εἶναι Θεόν, ἀλλ' οὐχὶ ἀνθρωπείαν ψυχήν, λέγῃ δὲ τὰς παρανόμους μίξεις ἀγαθόν τι εἶναι, καὶ τέλος εὐδαιμονίας ἡδονὴν τίθηται· οἷος ὁ ψευδώνυμος Νικολαΐτης· οὗτος οὔτε φιλόθεος ,οὔτε φιλόχριστος εἶναι δύναται, ἀλλὰ φθορεὺς τῆς οἰκείας σαρκός, καὶ διὰ τοῦτο τοῦ ἁγίου Πνεύματος κενός, καὶ τοῦ Χριστοῦ ἀλλότριος. Οἱ τοιοῦτοι πάντες, στῆλαί εἰσι καὶ τάφοι νεκρῶν· ἐφ' οἷς γέγραπται μόνον ὀνόματα νεκρῶν ἀνθρώπων. Φεύγετε οὖν τὰς κακοτεχνίας, καὶ ἐνέδρας «τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τοῦ αἰῶνος τούτου[1]», μή ποτε οἱ θλιβέντες ἐξασθενήσητε ἐν τῇ ἀγάπῃ· ἀλλὰ πάντες ἐπὶ τὸ αὐτὸ γίνεσθε ἐν ἀμερίστῳ καρδίᾳ, καὶ ψυχῇ θελούσῃ· «σύμψυχοι, τὸ ἓν φρονοῦντες[2]», πάντοτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν δοξάζοντες, ἔν τε ἀνέσει, καὶ κινδύνοις, καὶ ἐν λύπαις, καὶ ἐν χαρμοναῖς. Εὐχαριστῶ τῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, ὅτι εὐσυνείδητός εἰμι ἐν ὑμῖν, καὶ οὐκ ἔχει τις καυχήσασθαι, οὔτε λάθρα, οὔτε φανερῶς, ὅτι ἐβάρησά τινα, ἢ ἐν μικρῷ, ἢ ἐν μεγάλῳ. Καὶ πᾶσιν ἐν οἷς ἐλάλησα, εὔχομαι, ἵνα μὴ εἰς μαρτύριον αὐτὸ κτήσωνται.

VII. Εἰ γὰρ κατὰ σάρκα με ἠθέλησάν τινες πλανῆσαι, ἀλλὰ τὸ πνεῦμά μου οὐ πλανᾶται. Παρὰ γὰρ Θεοῦ αὐτὸ εἴληφα. Οἶδε γὰρ «πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει[3]», καὶ τὰ κρυπτὰ ἐλέγχει. Ἐκραύγασα γὰρ μεταξὺ ὤν, ἐλάλουν μεγάλῃ φωνῇ· οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ Θεοῦ· Τῷ ἐπισκόπῳ προσέχετε, καὶ τῷ πρεσβυτερίῳ, καὶ τοῖς διακόνοις. Εἰ δὲ ὑποπτεύετέ με, ὡς προμαθόντα τὸν μερισμόν τινων, λέγειν ταῦτα· μάρτυς μοι δι' ὃν δέδεμαι, ὅτι ἀπὸ στόματος ἀνθρώπου οὐκ ἔγνων· τὸ δὲ Πνεῦμα ἐκήρυξέ μοι λέγον τάδε· «Χωρὶς ἐπισκόπου μηδὲν ποιεῖτε. Τὴν σάρκα ὑμῶν ὡς ναὸν Θεοῦ τηρεῖτε. Τὴν ἕνωσιν ἀγαπᾶτε, τοὺς μερισμοὺς φεύγετε. Μιμηταὶ γίνεσθε Παύλου καὶ τῶν ἄλλων ἀποστόλων, ὡς καὶ αὐτοὶ τοῦ Χριστοῦ.»

VIII. Ἐγὼ μὲν οὖν τὸ ἴδιον ἐποίουν, ὡς ἄνθρωπος εἰς ἕνωσιν κατηρτισμένος, ἐπιλέγων καὶ τοῦτο, ὅτι οὗ διάστασις γνώμης, καὶ ὀργή, καὶ μῖσος, ἐκεῖ Θεὸς οὐ κατοικεῖ. Πᾶσιν οὖν τοῖς μετανοοῦσιν ἀφίησιν ὁ Θεός, ἐὰν συνδράμωσιν εἰς ἑνότητα Χριστοῦ, καὶ συνεδρείαν τοῦ ἐπισκόπου. Πιστεύω τῇ χάριτι Ἰησοῦ Χριστοῦ, ὅτι «λύσει ἀφ'

1. Ἐφ. 2,2. 2. Φιλιππ. 2, 2. 3. Ἰω. 3, 8.

ἡμῶν πάντα σύνδεσμον ἀδικίας.[1]» Παρακαλῶ οὖν ὑμᾶς, μηδὲν «κατ' ἐρίθειαν πράσσετε[2]», ἀλλὰ κατὰ χριστομάθειαν. Ἤκουσα γάρ τινων λεγόντων, ὅτι ἐὰν μὴ ἐν τοῖς ἀρχείοις εὕρω τὸ Εὐαγγέλιον, οὐ πιστεύω. Τοῖς δὲ τοιούτοις ἐγὼ λέγω, ὅτι ἐμοὶ ἀρχεῖά ἐστιν Ἰησοῦς ὁ Χριστός, οὗ παρακοῦσαι πρόδηλος ὄλεθρος. Αὐθεντικόν μοί ἐστιν ἀρχεῖον ὁ σταυρὸς αὐτοῦ καὶ ὁ θάνατος, καὶ ἡ ἀνάστασις αὐτοῦ, καὶ ἡ πίστις ἡ περὶ τούτων· ἐν οἷς θέλω ἐν τῇ προσευχῇ ὑμῶν δικαιωθῆναι. Ὁ ἀπιστῶν τῷ Εὐαγγελίῳ, πᾶσιν ὁμοῦ ἀπιστεῖ. Οὐ γὰρ προκρίνεται τὰ ἀρχεῖα τοῦ Πνεύματος. «Σκληρὸν τὸ πρὸς κέντρα λακτίζειν[3]», σκληρὸν τὸ Χριστῷ ἀπιστεῖν, σκληρὸν τὸ ἀθετεῖν τὸ κήρυγμα τῶν ἀποστόλων.

IX. Καλοὶ μὲν οἱ ἱερεῖς, καὶ οἱ τοῦ λόγου διάκονοι· κρείσσων δὲ ὁ ἀρχιερεύς, ὁ πεπιστευμένος τὰ Ἅγια τῶν ἁγίων, ὃς μόνος πεπίστευται τὰ κρυπτὰ τοῦ Θεοῦ. Καλαὶ αἱ λειτουργικαὶ τοῦ Θεοῦ δυνάμεις. Ἅγιος δὲ ὁ Παράκλητος· καὶ ἅγιος ὁ Λόγος, ὁ τοῦ Πατρὸς Υἱός, δι' οὗ ὁ Πατὴρ τὰ πάντα πεποίηκε, καὶ τῶν ὅλων προνοεῖ. Οὗτός ἐστιν ἡ πρὸς τὸν Πατέρα ἄγουσα ὁδός[4], ἡ πέτρα[5], ὁ φραγμός, ἡ κλείς, ὁ ποιμήν[6], τὸ ἱερεῖον, ἡ θύρα[7] τῆς γνώσεως, δι' ἧς εἰσῆλθον Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, Μωσῆς, καὶ ὁ σύμπας τῶν προφητῶν χορός, καὶ οἱ στῦλοι τοῦ κόσμου οἱ ἀπόστολοι, καὶ ἡ νύμφη τοῦ Χριστοῦ, ὑπὲρ ἧς, φερνῆς λόγῳ, ἐξέχεε τὸ οἰκεῖον αἷμα, ἵνα αὐτὴν ἐξαγοράσῃ. Πάντα ταῦτα εἰς ἑνότητα τοῦ ἑνὸς καὶ μόνου ἀληθινοῦ Θεοῦ. Ἐξαίρετον δέ τι ἔχει τὸ Εὐαγγέλιον, τὴν παρουσίαν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ πάθος, αὐτὴν τὴν ἀνάστασιν. Ἃ γὰρ οἱ προφῆται κατήγγελλον, λέγοντες· «Ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν·[8]» ταῦτα ἐν τῷ Εὐαγγελίῳ πεπλήρωται· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.[9]» Πάντα οὖν ὁμοῦ καλά, ὁ νόμος, οἱ προφῆται, οἱ ἀπόστολοι, τὸ πᾶν συνάθροισμα τὸ δι' αὐτῶν πιστεῦσαν· μόνον ἐὰν ἀγαπῶμεν ἀλλήλους.

X. Ἐπειδὴ κατὰ τὴν προσευχὴν ὑμῶν, καὶ τὰ σπλάγχνα ἃ ἔχετε ἐν Χριστῷ Ἰησοῦ, ἀπηγγέλη μοι εἰρηνεύειν τὴν Ἐκκλησίαν τὴν ἐν Ἀντιοχείᾳ τῆς Συρίας, πρέπον ἐστὶν ὑμῖν, ὡς Ἐκκλησίᾳ Θεοῦ, χειροτονῆσαι ἐπίσκοπον, εἰς τὸ πρεσβεῦσαι ἐκεῖ Θεοῦ πρεσβείαν, εἰς τὸ συγχωρηθῆναι αὐτοῖς ἐπὶ τὸ αὐτὸ γενομένοις, καὶ δοξάσαι τὸ ὄνομα τοῦ Θεοῦ. Μακάριος ἐν Χριστῷ Ἰησοῦ, ὃς κατηξιώθη τῆς τοιαύτης διακονίας, καὶ ὑμεῖς δὲ σπουδάσαντες, ἐν Χριστῷ δοξασθήσεσθε. Θέλουσι δὲ ὑμῖν, οὐ πᾶσιν ἀδύνατον, ὑπὲρ ὀνόματος Θεοῦ, ὡς καὶ ἀεὶ αἱ ἔγγιστα Ἐκκλησίαι ἔπεμψαν ἐπισκόπους, αἱ δὲ πρεσβυτέρους καὶ διακόνους.

---

1. Ἠσ. 58, 6. 2. Φιλιππ. 2, 3. 3. Πράξ. 9, 5. 26, 14. 4. Ἰω. 14, 6. 5. Α' Κορ. 10, 4. 6. Ἰω. 10, 11. 7. Ἰω. 10, 9. 8. Γεν. 49, 10. 9. Ματθ. 28, 19.

XI. Περὶ δὲ Φίλωνος τοῦ διακόνου, ἀνδρὸς ἀπὸ Κιλικίας, μεμαρτυρημένου, ὃς καὶ νῦν ἐν λόγῳ ὑπηρετεῖ μοι, ἅμα Γαΐῳ καὶ Ἀγαθόποδι, ἀνδρὶ ἐκλεκτῷ, ὃς ἀπὸ Συρίας μοι ἀκολουθεῖ, ἀποταξάμενοι τῷ βίῳ· οἳ καὶ μαρτυροῦσιν ὑμῖν. Κἀγὼ τῷ Θεῷ εὐχαριστῶ περὶ ὑμῶν, ὑπὲρ ὧν ἐδέξασθε αὐτούς· προσδέξεται καὶ ὑμᾶς ὁ Κύριος. Οἱ δὲ ἀτιμάσαντες αὐτούς, λυτρωθείησαν ἐν τῇ χάριτι Ἰησοῦ Χριστοῦ, «τοῦ μὴ βουλομένου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν.[1]» Ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη τῶν ἀδελφῶν τῶν ἐν Τρωάδι, ὅθεν καὶ γράφω ὑμῖν διὰ Βούργου, πεμφθέντος ἅμα ἀπὸ Ἐφεσίων καὶ Σμυρναίων, εἰς λόγον τιμῆς· οὓς ἀμείψεται ὁ Κύριος Ἰησοῦς Χριστός, εἰς ὃν ἐλπίζουσι, σαρκί, ψυχῇ, πνεύματι, πίστει, ἀγάπῃ, ὁμονοίᾳ. Ἔρρωσθε ἐν Κυρίῳ Ἰησοῦ Χριστῷ, τῇ κοινῇ ἐλπίδι ἡμῶν, ἐν ἁγίῳ Πνεύματι.

ΠΡΟΣ ΣΜΥΡΝΑΙΟΥΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, Ἐκκλησίᾳ Θεοῦ Πατρὸς ὑψίστου, καὶ τοῦ ἠγαπημένου Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, ἠλεημένῃ ἐν παντὶ χαρίσματι, πεπληροφορημένῃ ἐν πίστει καὶ ἀγάπῃ, ἀνυστερήτῳ οὔσῃ παντὸς χαρίσματος, θεοπρεπεστάτῃ καὶ ἁγιοφόρῳ, τῇ οὔσῃ ἐν Σμύρνῃ τῆς Ἀσίας· ἐν ἀμώμῳ Πνεύματι καὶ Λόγῳ Θεοῦ, πλεῖστα χαίρειν.

I. Δοξάζω τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸν δι' αὐτοῦ οὕτως ὑμᾶς σοφίσαντα. Ἐνόησα γὰρ ὑμᾶς κατηρτισμένους ἐν ἀκινήτῳ πίστει ὥσπερ καθηλωμένους ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, σαρκί τε καὶ πνεύματι· καὶ ἡδρασμένους ἐν ἀγάπῃ ἐν τῷ αἵματι τοῦ Χριστοῦ, πεπληροφορημένους, ὡς ἀληθῶς, εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν τοῦ Θεοῦ Υἱόν, «τὸν πρωτότοκον πάσης κτίσεως[2]», τὸν Θεὸν Λόγον, τὸν μονογενῆ Υἱόν, ὄντα δὲ ἐκ γένους «Δαβὶδ κατὰ σάρκα[3]», ἐκ Μαρίας τῆς Παρθένου· βεβαπτισμένον ὑπὸ Ἰωάννου, «ἵνα πληρωθῇ πᾶσα δικαιοσύνη ὑπ' αὐτοῦ·[4]» πολιτευσάμενον ὁσίως ἄνευ ἁμαρτίας· καὶ ἐπὶ Ποντίου Πιλάτου, καὶ Ἡρώδου τοῦ τετράρχου, καθηλωμένον ὑπὲρ ἡμῶν ἐν σαρκὶ ἀληθῶς. Ἀφ' οὗ καὶ ἡμεῖς ἐσμεν, ἀπὸ τοῦ θεομακαρίστου αὐτοῦ πάθους, ἵνα ἄρῃ σύσσημον[5] εἰς τοὺς αἰῶνας, διὰ τῆς ἀναστάσεως, εἰς τοὺς ἁγίους καὶ πιστοὺς αὐτοῦ, εἴτε ἐν Ἰουδαίοις, εἴτε ἐν ἔθνεσιν, ἐν ἑνὶ σώματι τῆς Ἐκκλησίας αὐτοῦ.

II. Ταῦτα γὰρ πάντα ἔπαθε δι' ἡμᾶς. Καὶ ἀληθῶς ἔπαθε, καὶ οὐ δοκήσει, ὡς καὶ ἀληθῶς ἀνέστη. Ἀλλ' οὐχ ὥσπερ τινὲς τῶν ἀπίστων, ἐπαισχυνόμενοι τὴν τοῦ ἀνθρώπου πλάσιν, καὶ τὸν σταυρόν, καὶ αὐτὸν

---

1. Ἰεζ. 18, 23, 32. 2. Κολ. 1, 15. 3. Ρωμ. 1, 3. 4 Ματθ. 3, 15. 5. Ἡσ. 5, 26. 49, 22.

τὸν θάνατον, λέγουσιν, ὅτι δοκήσει, καὶ οὐκ ἀληθείᾳ ἀνείληφε τὸ ἐκ τῆς Παρθένου σῶμα, καὶ τῷ δοκεῖν πέπονθεν· ἐπιλαθόμενοι τοῦ εἰπόντος· «Ὁ λόγος σὰρξ ἐγένετο.[1]» Καί· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ διὰ τριῶν ἡμερῶν ἐγερῶ αὐτόν.[2]» Καί· «Ἐὰν ὑψωθῶ ἀπὸ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.[3]» Οὐκοῦν ὁ Λόγος ἐν σαρκὶ ᾤκησεν. «Ἡ σοφία γὰρ ἑαυτῇ ᾠκοδόμησεν οἶκον.[4]» Ὁ Λόγος τὸν ἑαυτοῦ ναόν, λυθέντα ἀπὸ τῶν χριστομάχων Ἰουδαίων, ἀνέστησε τῇ τρίτῃ ἡμέρᾳ. Ὁ Λόγος, ὑψωθείσης αὐτοῦ τῆς σαρκός, κατὰ τὸν ἐν τῇ ἐρήμῳ χαλκοῦν ὄφιν, πάντας εἵλκυσε πρὸς ἑαυτὸν εἰς σωτηρίαν αἰώνιον.[5]

III. Ἐγὼ δὲ οὐκ ἐν τῷ γεννᾶσθαι καὶ σταυροῦσθαι γινώσκω αὐτὸν ἐν σώματι γεγονέναι μόνον, ἀλλὰ καὶ μετὰ τὴν ἀνάστασιν ἐν σαρκὶ αὐτὸν οἶδα, καὶ πιστεύω ὄντα. Καὶ ὅτε πρὸς τοὺς περὶ Πέτρον ἦλθεν, ἔφη αὐτοῖς· «Λάβετε, ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι οὐκ εἰμὶ δαιμόνιον ἀσώματον. Πνεῦμα γὰρ σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα.[6]» Καὶ τῷ Θωμᾷ λέγει· «Φέρε τὸν δάκτυλόν σου ὧδε εἰς τὸν τύπον τῶν ἥλων, καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου.[7]» Καὶ εὐθὺς ἐπίστευσαν ὡς αὐτὸς εἴη ὁ Χριστός. Διὸ καὶ Θωμᾶς φησιν αὐτῷ. Ὁ Κύριός μου, καὶ ὁ Θεός μου. Διὰ γὰρ τοῦτο καὶ θανάτου κατεφρόνησαν· μικρὸν γὰρ εἰπεῖν, ὕβρεων καὶ πληγῶν. Οὐ μὴν δέ, ἀλλὰ καὶ μετὰ τὸ ἐπιδεῖξαι ἑαυτὸν αὐτοῖς, ὅτι ἀληθῶς ἀλλ' οὐ τῷ δοκεῖν ἐγήγερται, καὶ συνέφαγεν αὐτοῖς, καὶ συνέπιεν, ἄχρις ἡμερῶν ὅλων τεσσαράκοντα·[8] καὶ οὕτω σὺν τῇ σαρκί, βλεπόντων αὐτῶν, ἀνελήφθη πρὸς τὸν ἀποστείλαντα αὐτόν, σὺν αὐτῇ πάλιν ἐρχόμενος μετὰ δόξης καὶ δυνάμεως. Φασὶ γὰρ τὰ Λόγια· «Οὗτος ὁ Ἰησοῦς, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.[9]» Εἰ δὲ ἄνευ σώματός φασιν ἔρχεσθαι ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, πῶς αὐτὸν καὶ «ὄψονται οἱ ἐκκεντήσαντες[10]», καὶ ἐπιγνόντες κόψονται ἐφ' ἑαυτοῖς; Ἀσωμάτων γὰρ οὔτε εἶδος, οὔτε χαρακτήρ ἐστιν, ἢ σῆμα ζῴου μορφὴν ἔχοντος, διὰ τὸ ἁπλοῦν τῆς φύσεως.

IV. Ταῦτα δὲ παραινῶ ὑμῖν ἀγαπητοί, εἰδὼς ὅτι καὶ ὑμεῖς οὕτως ἔχετε. Προφυλάσσω δὲ ὑμᾶς ἀπὸ τῶν θηρίων τῶν ἀνθρωπομόρφων, ἃ οὐ μόνον ἀποστρέφεσθαι χρή, ἀλλὰ καὶ φεύγειν· μόνον δὲ προσεύχεσθε ὑπὲρ αὐτῶν, ἐὰν πῶς μετανοήσωσιν. Εἰ γὰρ τῷ δοκεῖν ἐν σώματι γέγονεν ὁ Κύριος, καὶ τῷ δοκεῖν ἐσταυρώθη, κἀγὼ τῷ δοκεῖν δέδεμαι. Τί δὲ καὶ ἐμαυτὸν ἔκδοτον δέδωκα τῷ θανάτῳ, πρὸς πῦρ, πρὸς μάχαιραν, πρὸς θηρία; Ἀλλ' οὐ τῷ δοκεῖν, ἀλλὰ τῷ ὄντι πάντα ὑπομένω διὰ Χριστόν, εἰς τὸ συμπαθεῖν αὐτῷ, αὐτοῦ με ἐνδυναμοῦντος· οὐ γάρ μοι τοσοῦτον σθένος.

V. Ὅν τινες ἀγνοοῦντες, ἠρνήσαντο, καὶ συνηγοροῦσι τῷ ψεύδει

---

1. Ἰω. 1, 14. 2. Ἰω. 2, 19. 3. Ἰω. 12, 32. 4. Παρμ. 9, 1. 5. Πρβλ. Ἀριθ. 21, 9. Ἰω. 3, 19. 6. Λουκ. 24, 39. 7. Ἰω. 20, 27-28. 8. Πράξ. 1, 3. 10, 41. 9. Πράξ· 1, 11. 10. Ζαχ. 12, 10.

μᾶλλον ἢ τῇ ἀληθείᾳ· οὓς οὐκ ἔπεισαν αἱ προφητεῖαι· οὐδ' ὁ νόμος ὁ Μωσέως, ἀλλ' οὐδὲ μέχρι νῦν τὸ Εὐαγγέλιον, ἀλλ' οὐδὲ τὰ ἡμέτερα τὰ κατ' ἄνδρα παθήματα. Καὶ γὰρ περὶ ἡμῶν τὸ αὐτὸ φρονοῦσι. Τί γὰρ ὠφελεῖ, εἰ ἐμὲ ἐπαινεῖ τις, τὸν δὲ Κύριόν μου βλασφημεῖ, μὴ ὁμολογῶν αὐτὸν σαρκοφόρον Θεόν; Ὁ δὲ τοῦτο μὴ λέγων, τελείως αὐτὸν ἀπήρνηται, ὢν νεκροφόρος. Τὰ δὲ ὀνόματα αὐτῶν, ὄντα ἄπιστα, νῦν οὐκ ἔδοξέ μοι ἐγγράψαι· μηδὲ γένοιτό με αὐτῶν μνημονεύειν, μέχρις οὗ μετανοήσωσιν.

VI. Μηδεὶς πλανάσθω· ἐὰν μὴ πιστεύσῃ Χριστὸν Ἰησοῦν ἐν σαρκὶ πεπολιτεῦσθαι, καὶ ὁμολογήσῃ τὸν σταυρὸν αὐτοῦ, καὶ τὸ πάθος, καὶ τὸ αἷμα ὃ ἐξέχεεν ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας, οὐ τῆς ζωῆς αἰωνίου τεύξεται, κἂν βασιλεὺς ᾖ, κἂν ἱερεύς, κἂν ἄρχων, κἂν ἰδιώτης, κἂν δεσπότης ἢ δοῦλος ἢ γυνή. «Ὁ χωρῶν χωρείτω, ὁ ἀκούων ἀκουέτω.[1]» Τόπος, καὶ ἀξίωμα, καὶ πλοῦτος, μηδένα φυσιούτω· ἀδοξία, καὶ πενία, μηδένα ταπεινούτω. Τὸ γὰρ ὅλον ἐστί, πίστις ἡ εἰς Θεόν, καὶ ἡ εἰς Χριστὸν ἐλπίς, ἡ τῶν προσδοκωμένων ἀγαθῶν ἀπόλαυσις, ἀγάπη τε περὶ τὸν Θεὸν καὶ τὸ ὁμόφυλον. «Ἀγαπήσεις γὰρ Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν.[2]» Καὶ ὁ Κύριος φησίν· «Αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, τὸ γινώσκειν τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλεν Ἰησοῦν Χριστόν.[3]» Καί· «Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.[4] Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς, ὅλος ὁ νόμος, καὶ οἱ προφῆται κρέμανται.[5]» Καταμάθετε οὖν τοὺς ἑτεροδοξοῦντας, πῶς νομοθετοῦσιν ἄγνωστον εἶναι τὸν Πατέρα τοῦ Χριστοῦ· πῶς ἄπιστον ἔχθραν μετ' ἀλλήλων ἔχουσιν. Ἀγάπης αὐτοῖς οὐ μέλει· τῶν προσδοκωμένων ἀλογοῦσι, τὰ παρόντα ὡς ἑστῶτα λογίζονται· τὰς ἐντολὰς παρορῶσι· χήραν καὶ ὀρφανὸν περιορῶσι, θλιβόμενον διαπτύουσι, δεδεμένον γελῶσι.

VII. Τὸν σταυρὸν ἐπαισχύνονται, τὸ πάθος χλευάζουσι, τὴν ἀνάστασιν κωμῳδοῦσιν. Ἔγγονοί εἰσι τοῦ ἀρχεκάκου πνεύματος, τοῦ τὸν Ἀδὰμ διὰ τῆς γυναικὸς τῆς ἐντολῆς ἐξώσαντος, τοῦ τὸν Ἄβελ διὰ τοῦ Κάϊν ἀποκτείναντος, τοῦ τῷ Ἰὼβ ἐπιστρατεύσαντος, τοῦ κατηγοροῦντος Ἰησοῦ τοῦ υἱοῦ Ἰωσεδὲκ[6], τοῦ ἐξαιτησαμένου «σινιασθῆναι τῶν ἀποστόλων τὴν πίστιν[7]», τοῦ «τὸ Ἰουδαϊκὸν πλῆθος ἐπεγείραντος τῷ Κυρίῳ, τοῦ καὶ νῦν «ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας·[8]» ὧν ῥύσεται ἡμᾶς ὁ Κύριος Ἰησοῦς Χριστός, ὁ δεηθεὶς μὴ ἐκλείπειν τὴν πίστιν τῶν ἀποστόλων·[9] οὐχ ὡς μὴ αὐταρκῶν φυλάξαι αὐτήν, ἀλλ' ὡς χαίρων τῇ τοῦ Πατρὸς ὑπεροχῇ. Πρέπον οὖν ἐστιν ἀπέχεσθαι τῶν τοιούτων, καὶ μήτε κατ' ἰδίαν μετ' αὐτῶν λαλεῖν, μήτε κοινῇ· προσέχειν δὲ νόμῳ, καὶ προφήταις, καὶ τοῖς εὐαγγελισαμένοις ὑμῖν τὸν σωτή-

---

1. Ματθ. 19, 12. 13, 43. 2. Λουκ. 10, 27. 3. Ἰω. 17, 3. 4. Ἰω. 13. 34. 5. Ματθ. 22, 40. 6. Πρβλ Ζαχ. 3, 1. ἑξ. 7. Λουκ. 22, 31. 8. Ἐφ. 2, 2. 9. Λουκ. 22. 32.

ριον λόγον. Τὰς δὲ δυσωνύμους αἱρέσεις, καὶ τοὺς τὰ σχίσματα ποιοῦντας φεύγετε, ὡς ἀρχὴν κακῶν.

VIII. Πάντες τῷ ἐπισκόπῳ ἀκολουθεῖτε, ὡς ὁ Χριστὸς Ἰησοῦς τῷ Πατρί· καὶ τῷ πρεσβυτερίῳ δέ, ὡς τοῖς ἀποστόλοις. Τοὺς δὲ διακόνους ἐντρέπεσθε, ὡς Θεοῦ ἐντολὴν διακονοῦντας. Μηδεὶς χωρὶς ἐπισκόπου τι πρασσέτω τῶν ἀνηκόντων εἰς τὴν Ἐκκλησίαν. Ἐκείνη βεβαία εὐχαριστία ἡγείσθω, ἡ ὑπὸ τὸν ἐπίσκοπον οὖσα, ἢ ᾧ ἂν αὐτὸς ἐπιτρέψῃ. Ὅπου ἂν φανῇ ὁ ἐπίσκοπος, ἐκεῖ τὸ πλῆθος ἔστω ὥσπερ ὅπου ὁ Χριστός, πᾶσα ἡ οὐράνιος στρατιὰ παρέστηκεν, ὡς ἀρχιστρατήγῳ τῆς δυνάμεως Κυρίου, καὶ διακοσμεῖ πάσης νοητῆς φύσεως. Οὐκ ἐξόν ἐστι χωρὶς τοῦ ἐπισκόπου, οὔτε βαπτίζειν, οὔτε προσφέρειν, οὔτε θυσίαν προσκομίζειν, οὔτε δοχὴν ἐπιτελεῖν, ἀλλ' ὃ ἂν ἐκείνῳ δοκῇ, κατ' εὐαρέστησιν Θεοῦ· ἵνα ἀσφαλὲς ᾖ καὶ βέβαιον πᾶν ὃ ἂν πράσσητε.

IX. Εὔλογόν ἐστι λοιπὸν ἀνανῆψαι ἡμᾶς, ὡς ἔτι καιρὸν ἔχομεν εἰς Θεὸν μετανοεῖν. «Ἐν γὰρ τῷ ᾅδῃ οὐκ ἔστιν ὁ ἐξομολογούμενος.[1]» Ἰδοὺ γὰρ ἄνθρωπος, «καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ.[2]» «Τίμα, φησίν, υἱέ, τὸν Θεὸν καὶ βασιλέα.[3]» Ἐγὼ δέ φημι· Τίμα μὲν τὸν Θεόν, ὡς αἴτιον τῶν ὅλων καὶ Κύριον· ἐπίσκοπον δέ, ὡς ἀρχιερέα, Θεοῦ εἰκόνα φοροῦντα· κατὰ μὲν τὸ ἄρχειν, Θεοῦ, κατὰ δὲ τὸ ἱερατεύειν, Χριστοῦ. Καὶ μετὰ τοῦτον, τιμᾶν χρὴ καὶ βασιλέα. Οὔτε γὰρ Θεοῦ τις κρείττων, ἢ παραπλήσιος ἐν πᾶσι τοῖς οὖσιν· οὔτε δὲ ἐν Ἐκκλησίᾳ ἐπισκόπου τι μεῖζον, ἱερωμένου Θεῷ ὑπὲρ τῆς τοῦ κόσμου παντὸς σωτηρίας· οὔτε βασιλέως τις παραπλήσιος ἐν ἄρχουσιν, εἰρήνην καὶ εὐνομίαν τοῖς ἀρχομένοις πρυτανεύοντος. Ὁ τιμῶν ἐπίσκοπον, ὑπὸ Θεοῦ τιμηθήσεται· ὥσπερ οὖν ὁ ἀτιμάζων αὐτόν, ὑπὸ Θεοῦ κολασθήσεται. Εἰ γὰρ ὁ βασιλεῦσιν ἐπεγειρόμενος, κολάσεως ἄξιος δικαίως γενήσεται, ὥς γε παραλύων τὴν κοινὴν εὐνομίαν· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ ἄνευ ἐπισκόπου τι ποιεῖν προαιρούμενος, καὶ τὴν ὁμόνοιαν διασπῶν, καὶ τὴν εὐταξίαν συγχέων; Ἱερωσύνη γάρ ἐστι, τὸ πάντων ἀγαθῶν ἐν ἀνθρώποις ἀναβεβηκός· ἧς ὁ καταμανείς, οὐκ ἄνθρωπον ἀτιμάζει, ἀλλὰ Θεόν, καὶ Χριστὸν Ἰησοῦν, τὸν πρωτότοκον, καὶ μόνον τῇ φύσει τοῦ Πατρὸς ἀρχιερέα. Πάντα οὖν ὑμῖν μετ' εὐταξίας ἐπιτελείσθω ἐν Χριστῷ. Οἱ λαϊκοί, τοῖς διακόνοις ὑποτασσέσθωσαν. Οἱ διάκονοι, τοῖς πρεσβυτέροις· οἱ πρεσβύτεροι, τῷ ἐπισκόπῳ· ὁ ἐπίσκοπος, τῷ Χριστῷ, ὡς αὐτὸς τῷ Πατρί. Καθὸ με ἀνεπαύσατε, ἀδελφοί, καὶ ὑμᾶς Ἰησοῦς ὁ Χριστός. Ἀπόντα με καὶ παρόντα ἠγαπήσατε· ἀμείψεται ὑμᾶς ὁ Θεός, δι' ὃν ταῦτα εἰς τὸν δέσμιον αὐτοῦ ἐνεδείξεσθε. Εἰ γὰρ καὶ μή εἰμι ἱκανός, ἀλλὰ τὸ τῆς προθυμίας ὑμῶν μέγα. «Ὁ τιμῶν γὰρ προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται.[4]» Δῆλον ὅτι καὶ ὁ τιμῶν δέσμιον Ἰησοῦ Χριστοῦ, μαρτύρων λήψεται μισθόν.

---

1. Ψαλμ. 6, 6. 2. Ἠσ. 62, 11. 3. Παρμ. 24, 21. 4. Ματθ. 10, 41.

X. Φίλωνα, καὶ Γάϊον, καὶ Ἀγαθόποδα, οἳ ἐπηκολούθησάν μοι εἰς λόγον Θεοῦ, διάκονοι Χριστοῦ ὄντες, καλῶς ἐποιήσατε ὑποδεξάμενοι ὡς διακόνους Χριστοῦ. Οἳ καὶ σφόδρα εὐχαριστοῦσι τῷ Κυρίῳ ὑπὲρ ὑμῶν, ὅτι αὐτοὺς ἀνεπαύσατε κατὰ πάντα τρόπον. Οὐδὲν ὑμῖν παραλογισθήσεται ὧν εἰς αὐτοὺς ἐποιήσατε. «Δῴη ὑμῖν ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.[1]» Ἀντίψυχον ὑμῶν τὸ πνεῦμά μου, καὶ τὰ δεσμά μου, ἃ οὐχ ὑπερηφανήσατε, οὐδὲ ἐπῃσχύνθητε. Διὸ οὐδὲ ὑμᾶς ἐπαισχυνθήσεται ἡ τελεία ἐλπίς, Ἰησοῦς ὁ Χριστός.

XI. Αἱ προσευχαὶ ὑμῶν ἤγγισαν εἰς τὴν Ἀντιοχέων Ἐκκλησίαν, καὶ εἰρηνεύεται· ὅθεν δεδεμένος, πάντας ἀσπάζομαι, οὐκ ὢν ἄξιος ἐκεῖθεν, ἔσχατος αὐτῶν ὤν· κατὰ δὲ θέλημα τοῦ θεοῦ κατηξιώθην, οὐκ ἐκ συνειδήσεως ἐμῆς, ἀλλ' ἐκ χάριτος Θεοῦ ἣν εὔχομαι τελείαν μοι δοθῆναι, ἵνα ἐν ταῖς προσευχαῖς ὑμῶν, Θεοῦ ἐπιτύχω. Ὅπως οὖν ὑμῶν τὸ ἔργον τέλειον γένηται ἐπὶ τῆς γῆς, καὶ ἐν τῷ οὐρανῷ, πρέπει εἰς Θεοῦ τιμὴν χειροτονῆσαι τὴν Ἐκκλησίαν ὑμῶν θεοπρεσβύτην, εἰς τὸ γενόμενον ἐν Συρίᾳ, συγχαρῆναι αὐτοῖς, ὅτι εἰρηνεύουσι, καὶ ἀπέλαβον τὸ ἴδιον μέγεθος, καὶ ἀποκατεστάθη αὐτοῖς τὸ ἴδιον σωμάτιον. Ὃ ἐφάνη μοι ἄξιον, τοῦτό ἐστιν, ὥστε πέμψαι τινὰ τῶν ὑμετέρων μετ' ἐπιστολῆς, ἵνα συνδοξάσῃ τὴν κατὰ Θεὸν αὐτοῖς γενομένην εὐδίαν, καὶ ὅτι λιμένος εὐόρμου τετύχηκα, Χριστοῦ, διὰ τῶν προσευχῶν ὑμῶν. Τέλειοι ὄντες, τέλεια καὶ φρονεῖτε. Θέλουσι γὰρ ὑμῖν εὖ πράττειν, καὶ ἕτοιμός ἐστιν ὁ Θεὸς εἰς τὸ παρασχεῖν.

XII. Ἀσπάζεται ὑμᾶς ἡ ἀγάπη τῶν ἀδελφῶν ὑμῶν τῶν ἐν Τρωάδι, ὅθεν καὶ γράφω ὑμῖν διὰ Βούργου, ὃν ἀπεστείλατε μετ' ἐμοῦ, ἅμα Ἐφεσίοις τοῖς ἀδελφοῖς ὑμῶν· ὃς κατὰ πάντα με ἀνέπαυσε. Καὶ ὄφελον πάντες αὐτὸν ἐμιμοῦντο, ὄντα ἐξεμπλάριον Θεοῦ διακονίας. Ἀμείψεται αὐτὸν ἡ χάρις τοῦ Κυρίου κατὰ πάντα. Ἀσπάζομαι τὸν ἀξιόθεον ἐπίσκοπον ὑμῶν Πολύκαρπον, καὶ τὸ θεοπρεπὲς πρεσβυτέριον, καὶ τοὺς Χριστοφόρους διακόνους τοὺς συνδούλους μου, καὶ τοὺς κατὰ ἄνδρα καὶ κοινῇ πάντας, ἐν ὀνόματι Χριστοῦ Ἰησοῦ, καὶ τῆς σαρκὸς αὐτοῦ, καὶ τῷ αἵματι, πάθει τε καὶ ἀναστάσει, σαρκικῇ τε καὶ πνευματικῇ, ἑνότητι Θεοῦ καὶ ὑμῶν. Χάρις ὑμῖν, ἔλεος, εἰρήνη, ὑπομονή, διὰ παντὸς ἐν Χριστῷ.

XIII. Ἀσπάζομαι τοὺς οἴκους τῶν ἀδελφῶν μου, σὺν γυναιξὶ καὶ τέκνοις, καὶ ἀειπαρθένους καὶ τὰς χήρας. Ἔρρωσθέ μοι ἐν δυνάμει Πνεύματος. Ἀσπάζεται ὑμᾶς Φίλων ὁ συνδιάκονος, ὢν σὺν ἐμοί. Ἀσπάζομαι τὸν οἶκον Γαυΐας, ἣν εὔχομαι ἑδρᾶσθαι πίστει καὶ ἀγάπῃ σαρκικῇ τε καὶ πνευματικῇ. Ἀσπάζομαι Ἄλκην, τὸ ποθητόν μοι ὄνομα, καὶ Δάφνον τὸν ἀσύγκριτον, καὶ Εὔτεκνον, καὶ πάντας κατ' ὄνομα. Ἔρρωσθε ἐν χάριτι Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πεπληρωμένοι Πνεύματος ἁγίου, καὶ σοφίας θείας καὶ ἱερᾶς.

1. Β' Τιμ. 1, 18.

ΠΡΟΣ ΠΟΛΥΚΑΡΠΟΝ, ΕΠΙΣΚΟΠΟΝ ΣΜΥΡΝΗΣ

Ἰγνάτιος ἐπίσκοπος Ἀντιοχείας, ὁ καὶ μάρτυς Ἰησοῦ Χριστοῦ, Πολυκάρπῳ ἐπισκόπῳ Ἐκκλησίας Σμυρναίων, μᾶλλον ἐπεσκοπημένῳ ὑπὸ Θεοῦ Πατρὸς καὶ Ἰησοῦ Χριστοῦ, πλεῖστα χαίρειν.

I. Ἀποδεχόμενος τὴν ἐν Θεῷ σου γνώμην, ἡδρασμένην ὡς ἐπὶ πέτραν ἀκινήτου, ὑπερδοξάζω, καταξιωθεὶς τοῦ προσώπου σου τοῦ ἀμώμου, οὗ ὀναίμην ἐν Θεῷ. Παρακαλῶ σε ἐν χάριτι ᾗ ἐνδέδυσαι, προσθεῖναι τῷ δρόμῳ σου, καὶ πάντας παρακαλεῖν ἵνα σώζωνται. Ἐκδίκει σου τὸν τόπον, ἐν πάσῃ ἐπιμελείᾳ σαρκικῇ τε καὶ πνευματικῇ. Τῆς ἑνώσεως φρόντιζε, ἧς οὐδὲν ἄμεινον. Πάντας βάσταζε, ὡς καί σε ὁ Κύριος· πάντων ἀνέχου ἐν ἀγάπῃ, ὥσπερ καὶ ποιεῖς· προσευχαῖς σχόλαζε ἀδιαλείπτοις· αἰτοῦ σύνεσιν πλείονα ἧς ἔχεις· γρηγόρει, ἀκοίμητον πνεῦμα κεκτημένος. Τοῖς κατὰ ἄνδρα κατὰ ὁμοήθειαν λάλει Θεοῦ. Πάντων τὰς νόσους βάσταζε, ὡς τέλειος ἀθλητής, ὡς καὶ ὁ Κύριος πάντων. «Αὐτὸς γάρ, φησί, τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἡμῶν ἐβάστασεν.[1]» Ὅπου πλείων κόπος, πολὺ κέρδος.

II. Καλοὺς μαθητὰς ἐὰν φιλῇς, χάρις σοι οὐκ ἔστι· μᾶλλον δὲ τοὺς λοιμοτέρους ἐν πραΰτητι ὑπότασσε. Οὐ πᾶν τραῦμα τῇ αὐτῇ ἐμπλάστρῳ θεραπεύεται. Τοὺς παροξυσμοὺς ἐμβροχαῖς παῦε. «Φρόνιμος γίνου, ὡς ὁ ὄφις, ἐν πᾶσι· καὶ ἀκέραιος εἰσαεί, ὡς ἡ περιστερά.[2]» Διὰ τοῦτο ἐκ ψυχῆς καὶ σώματος εἶ, σαρκικὸς καὶ πνευματικός, ἵνα τὰ φαινόμενά σοι εἰς πρόσωπον ἐπανορθώσῃς, τὰ δὲ ἀόρατα αἴτῃς, ἵνα σοι φανερωθείη· ἵνα μηδέν σοι λείπῃ, καὶ παντὸς χαρίσματος περισσεύῃς. Ὁ καιρὸς ἀπαιτεῖ σε εὔχεσθαι. Ὥσπερ γὰρ κυβερνήτῃ ἄνεμος συμβάλλεται, καὶ ὡς νηῒ χειμαζομένῃ λιμένες εὔθετοι εἰς σωτηρίαν, οὕτω καί σοι ἡ εὐχὴ πρὸς τὸ περιτυχεῖν Θεοῦ. Νῆφε, ὡς Θεοῦ ἀθλητής, οὗ τὸ θέλημα, ἀφθαρσία, καὶ ζωὴ αἰώνιος· περὶ ἧς καὶ σὺ πέπεισαι. Κατὰ πάντα σοῦ ἀντίψυχος ἐγώ, καὶ τὰ δεσμά μου ἃ ἠγάπησας.

III. Οἱ δοκοῦντες ἀξιόπιστοι εἶναι, καὶ ἑτεροδιδασκαλοῦντες, μή σε καταπλησσέτωσαν. Στῆθι δὲ ἑδραῖος, ὡς ἄκμων τυπτόμενος. Μεγάλου ἐστὶν ἀθλητοῦ, δέρεσθαι, καὶ νικᾶν. Μάλιστα δὲ ἕνεκεν Θεοῦ πάντα ὑπομένειν ἡμᾶς δεῖ, ἵνα καὶ αὐτὸς ἡμᾶς ἀναμείνῃ εἰς τὴν βασιλείαν. Πλεῖον πρόσθες τῇ σπουδῇ οὗ εἶ, συντονώτερον δράμε, τοὺς καιροὺς καταμάνθανε. Ὡς ἐνταῦθα εἶ, νίκησον, ὧδε γάρ ἐστι τὸ στάδιον, ἐκεῖ δὲ οἱ στέφανοι. Προσδόκα Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ· τὸν ἄχρονον ἐν χρόνῳ· τὸν ἀόρατον τῇ φύσει, ὁρατὸν ἐν σαρκί· τὸν ἀψηλάφητον καὶ ἀναφῆ, ὡς ἀσώματον, δι' ἡμᾶς δὲ ἁπτὸν καὶ ψηλαφητὸν ἐν σώματι· τὸν ἀπαθῆ, ὡς Θεόν, δι' ἡμᾶς δὲ παθητόν, ὡς ἄνθρωπον, τὸν κατὰ πάντα τρόπον δι' ἡμᾶς ὑπομείναντα.

---

1. Ἠσ. 53,4. Ματθ. 8,17. 2. Ματθ. 10,16.

IV. Αἱ χῆραι μὴ ἀμελείσθωσαν. Μετὰ τὸν Κύριον, σὺ αὐτῶν φροντιστὴς ἔσο. Μηδὲν ἄνευ τῆς γνώμης σου γινέσθω· μηδὲ σὺ ἄνευ Θεοῦ γνώμης τι πρᾶσσε, ὅπερ οὐδὲ πράττεις. Εὐστάθει. Πυκνότερον συναγωγαὶ γινέσθωσαν. Ἐξ ὀνόματος πάντας ζήτει. Δούλους καὶ δούλας μὴ ὑπερηφάνει· ἀλλὰ μηδὲ αὐτοὶ φυσιούσθωσαν, ἀλλ' εἰς δόξαν Θεοῦ πλεῖον δουλευέτωσαν, ἵνα κρείττονος ἐλευθερίας τύχωσιν ἀπὸ Θεοῦ. Μὴ αἱρέτωσαν ἀπὸ τοῦ κοινοῦ ἐλευθεροῦσθαι, ἵνα μὴ δοῦλοι εὑρεθῶσιν ἐπιθυμίας.

V. Τὰς κακοτεχνίας φεῦγε· μᾶλλον δὲ περὶ τούτων ὁμιλίαν μὴ ποιοῦ. Ταῖς ἀδελφαῖς μου προσλάλει ἀγαπᾶν τὸν Κύριον, καὶ τοῖς συμβίοις ἀρκεῖσθαι σαρκὶ καὶ πνεύματι. Ὁμοίως καὶ τοῖς ἀδελφοῖς μου παράγγελλε, ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, ἀγαπᾶν τὰς συμβίους, «ὡς ὁ Κύριος τὴν Ἐκκλησίαν.[1]» Εἴ τις δύναται ἐν ἁγνείᾳ μένειν, εἰς τιμὴν τῆς σαρκὸς τοῦ Κυρίου, ἐν ἀκαυχησίᾳ μενέτω· ἐὰν καυχήσεται, ἀπώλετο. Καὶ ἐὰν γνωσθῇ πλὴν τοῦ ἐπισκόπου, ἔφθαρται. Πρέπει δὲ τοῖς γαμοῦσι καὶ ταῖς γαμούσαις, μετὰ γνώμης τοῦ ἐπισκόπου τὴν ἕνωσιν ποιεῖσθαι, ἵνα ὁ γάμος ᾖ κατὰ Κύριον, καὶ μὴ κατ' ἐπιθυμίαν. Πάντα εἰς τιμὴν Θεοῦ γινέσθω.

VI. Τῷ ἐπισκόπῳ προσέχετε, ἵνα καὶ ὁ Θεὸς ὑμῖν. Ἀντίψυχον ἐγὼ τῶν ὑποτασσομένων ἐπισκόπῳ, πρεσβυτερίῳ, διακόνοις· Μετ' αὐτῶν μοι τὸ μέρος γένοιτο ἔχειν παρὰ Θεοῦ. Συγκοπιᾶτε ἀλλήλοις, συναθλεῖτε, συντρέχετε, συμπάσχετε, συγκοιμᾶσθε, συνεγείρεσθε ὡς Θεοῦ οἰκονόμοι, καὶ πάρεδροι, καὶ ὑπηρέται. Ἀρέσκετε ᾧ στρατεύεσθε, ἀφ' οὗ καὶ τὸ ὀψώνια κομίσεσθε. Μή τις ὑμῶν δεσέρτωρ εὑρεθῇ. Τὸ βάπτισμα ὑμῶν μενέτω, ὡς ὅπλα· ἡ πίστις, ὡς περικεφαλαία· ἡ ἀγάπη, ὡς δόρυ· ἡ ὑπομονή, ὡς πανοπλία. Τὰ δεπόσιτα ὑμῶν, τὰ ἔργα ὑμῶν, ἵνα τα ἄκκεπτα ὑμῶν, ἄξια Θεοῦ κομίσησθε. Μακροθυμεῖτε οὖν μετ' ἀλλήλων ἐν πραΰτητι, καὶ ὁ Θεὸς μεθ' ὑμῶν. Ὀναίμην ὑμῶν διὰ παντός.

VII. Ἐπειδὴ ἡ Ἐκκλησία ἡ ἐν Ἀντιοχείᾳ τῆς Συρίας εἰρηνεύει ὡς ἐδηλώθη μοι, διὰ τῆς προσευχῆς ὑμῶν, κἀγὼ εὐθυμότερος ἐγενόμην ἐν ἀμεριμνίᾳ Θεοῦ· ἐάν περ διὰ τοῦ παθεῖν Θεοῦ ἐπιτύχω, εἰς τὸ εὑρεθῆναί με ἐν τῇ αἰτήσει ὑμῶν μαθητήν. Πρέπει, Πολύκαρπε θεομακαριστότατε, συμβούλιον ἀγαγεῖν θεοπρεπέστατον, καὶ χειροτονῆσαι, εἴ τινα ἀγαπητὸν λίαν ἔχετε καὶ ἄοκνον, ὃς δυνήσεται θεόδρομος καλεῖσθαι· τοῦτον καταξιῶσαι πορευθῆναι εἰς Συρίαν, ἵνα πορευθεὶς εἰς Συρίαν, δοξάσῃ ὑμῶν τὴν ἄοκνον ἀγάπην εἰς δόξαν Θεοῦ. Ὁ Χριστιανὸς ἐξουσίαν ἑαυτοῦ οὐκ ἔχει, ἀλλὰ Θεῷ σχολάζει. Τοῦτο τὸ ἔργον Θεοῦ ἐστι καὶ ὑμῶν, ὅταν αὐτὸ ἀπαρτίσητε. Πιστεύω γὰρ τῇ χάριτι, ὅτι ἕτοιμοί ἐστε εἰς εὐποιΐαν Θεῷ ἀνήκουσαν. Εἰδὼς ὑμῶν τὸ σύντομον τῆς ἀληθείας, δι' ὀλίγων ὑμᾶς γραμμάτων παρεκάλεσα.

---

1. Ἐφ. 5,25.

VIII. Ἐπεὶ οὖν πάσαις ταῖς Ἐκκλησίαις οὐκ ἠδυνήθην γράψαι, διὰ τὸ ἐξαίφνης πλεῖν με ἀπὸ Τρωάδος εἰς Νεάπολιν, ὡς τὸ θέλημα προστάσσει, γράψεις ταῖς ἔμπροσθεν Ἐκκλησίαις, ὡς Θεοῦ γνώμην κεκτημένος εἰς τὸ καὶ αὐτοὺς τοῦτο ποιῆσαι· οἱ μὲν δυνάμενοι, πεζοὺς πέμψαι· οἱ δέ, ἐπιστολάς, διὰ τῶν ὑπὸ σοῦ πεμπομένων· ἵνα δοξασθῆτε ἐν αἰωνίῳ ἔργῳ, ὡς ἄξιος ὤν. Ἀσπάζομαι πάντας ἐξ ὀνόματος, καὶ τὴν τοῦ Ἐπιτρόπου σὺν ὅλῳ τῷ οἴκῳ αὐτῆς, καὶ τῶν τέκνων. Ἀσπάζομαι Ἄτταλον τὸν ἀγαπητόν μου. Ἀσπάζομαι τὸν μέλλοντα καταξιοῦσθαι εἰς Συρίαν πορεύεσθαι. Ἔσται ἡ χάρις μετ' αὐτοῦ διὰ παντός, καὶ τοῦ πέμποντος αὐτὸν Πολυκάρπου. Ἐρρῶσθαι ὑμᾶς διὰ παντὸς ἐν Θεῷ ἡμῶν Ἰησοῦ Χριστῷ εὔχομαι, ἐν ᾧ διαμείνατε ἐν ἑνότητι Θεοῦ καὶ ἐπισκοπῇ. Ἀσπάζομαι Ἄλκην τὸ ποθητόν μοι ὄνομα. Ἀμήν. Ἡ χάρις. Ἔρρωσθε ἐν Κυρίῳ.

ΑΜΦΙΒΑΛΛΟΜΕΝΑΙ ΕΠΙΣΤΟΛΑΙ ΤΟΥ ΙΓΝΑΤΙΟΥ

ΜΑΡΙΑΣ ΠΡΟΣΗΛΥΤΟΥ ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΙΓΝΑΤΙΟΝ

Ἰγνατίῳ Μαρία ἐκ Κασσοβήλων.

Μαρία προσήλυτος Ἰησοῦ Χριστοῦ, Ἰγνατίῳ Θεοφόρῳ, μακαριωτάτῳ, ἐπισκόπῳ Ἐκκλησίας ἀποστολικῆς τῆς κατὰ Ἀντιόχειαν, ἐν Θεῷ Πατρί, Ἰησοῦ ἠγαπημένῳ, χαίρειν καὶ ἐρρῶσθαι, πάντες τέ σοι εὐχόμεθα, τὴν ἐν αὐτῷ χαράν τε καὶ ὑγείαν.

I. Ἐπειδὴ θαυμασίως παρ' ἡμῖν ὁ Χριστὸς ἐγνωρίσθη Υἱὸς εἶναι τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ ἐν ὑστέροις χρόνοις ἐνηνθρωπηκέναι διὰ Παρθένου Μαρίας καὶ σπέρματος Δαβὶδ καὶ Ἀβραάμ, κατὰ τὰς περὶ αὐτοῦ ὑπ' αὐτοῦ προρρηθείσας φωνὰς παρὰ τοῦ τῶν προφητῶν χοροῦ· τούτου ἕνεκεν παρακαλοῦμεν ἀξιοῦντες ἀποσταλῆναι ἡμῖν παρὰ τῆς σῆς συνέσεως Μάριν τὸν ἑταῖρον ὑμῶν, ἐπίσκοπον τῆς Ἡμελάπης Νέας πόλεως τῆς πρὸς τῷ Ζαρβῷ, καὶ Εὐλόγιον, καὶ Σόβηλον πρεσβύτερον, ὅπως μὴ ὦμεν ἔρημοι τῶν προστατῶν τοῦ θείου λόγου. Καθάπερ καὶ Μωϋσῆς λέγει· «Ἐπισκεψάσθω Κύριος ὁ Θεὸς ἄνθρωπον ὃς ὁδηγήσει τὸν λαὸν τοῦτον, καὶ οὐκ ἔσται ἡ Συναγωγὴ Κυρίου ὡσεὶ πρόβατα οἷς οὐκ ἔστιν ποιμήν.[1]»

II. Ὑπὲρ δὲ τοῦ νέους εἶναι τοὺς προγεγραμμένους, δείσεις μηδέν, ὦ μακάριε. Γινώσκειν γάρ σε θέλω ὡς ὑπερφρονοῦσιν σαρκός τε καὶ τῶν ταύτης παθῶν ἀλογοῦσιν, αὐτοὶ ἐν ἑαυτοῖς, προσφάτῳ νεότητι ἱερωσύνης ἀστράπτοντες πολιάν. Ἀνακάλεσον δὲ τῶν λογισμῶν σου διὰ τοῦ δοθέντος σοι παρὰ τοῦ Θεοῦ διὰ Χριστοῦ πνεύματος αὐτοῦ, καὶ γνώσῃ ὡς Σαμουὴλ μικρὸν παιδάριον ὤν, ὁ Βλέπων ἐκλήθη· καὶ τῷ χορῷ τῶν προφητῶν ἐγκαταλεχθείς, τὸν πρεσβύτην Ἠλεὶ παρανομίας ἐξελέγχει, ὅτι παραπλῆγας υἱεῖς, Θεοῦ τοῦ πάντων αἰτίου προτετιμήκει, καὶ παίζοντας εἰς τὴν ἱερωσύνην, εἰς τὸν λαὸν ἀσελγαίνοντας εἴασεν ἀτιμωρήτους.

III. Δανιὴλ δὲ ὁ σοφός, νέος ὤν, ἔκρινεν ὠμογέροντάς τινας δείξας ἐξώλεις αὐτούς, καὶ οὐ πρεσβυτέρους εἶναι, καὶ τῷ γένει Ἰουδαίους ὄντας, τῷ τρόπῳ Χαναναίους ὑπάρχειν. Καὶ Ἱερεμίας, διὰ τὸ νέον παραιτούμενος τὴν ἐγχειριζομένην αὐτῷ πρὸς τοῦ Θεοῦ προφητείαν, ἀκούει· «Μὴ λέγε, Νεώτερός εἰμι. Διότι πρὸς πάντας οὓς ἐὰν ἐξαποστελῶ σε, πορεύσῃ· καὶ κατὰ πάντα ὅσα ἂν ἐντείλωμαί

1. Ἀριθ. 27,16-17.

σοι, λαλήσῃς, ὅτι μετὰ σοῦ ἐγώ εἰμι.[1]» Σολομῶν δὲ ὁ σοφός, δυοκαίδεκα τυγχάνων ἐτῶν, συνῆκε τὸ μέγα τῆς ἀγνωσίας τῶν γυναικῶν ἐπὶ τοῖς σφετέροις τέκνοις ζήτημα· ὡς πάντα τὸν λαὸν ἐκστῆναι ἐπὶ τῇ τοσαύτῃ τοῦ παιδὸς σοφίᾳ, καὶ φοβηθῆναι οὐχ ὡς μειράκιον, ἀλλ' ὡς τέλειον ἄνδρα. Τὰ δὲ αἰνίγματα τῆς Αἰθιόπων βασιλίδος, φορὰν ἔχοντα ὥσπερ τὰ τοῦ Νείλου ῥεύματα, οὕτως ἐπελύσατο ὡς ἔξω ἑαυτῆς γενέσθαι τὴν οὕτως σοφήν.

IV. Ἰωσίας δὲ ὁ θεοφιλής, ἄναρθρα σχεδὸν ἔτι φθεγγόμενος, ἐλέγχει τοὺς τῷ πονηρῷ πνεύματι κατόχους, ὡς ψευδολόγοι καὶ λαοπλάνοι τυγχάνουσιν, δαιμόνων τε ἐκκαλύπτει τὴν ἀπάτην, καὶ τοὺς οὐκ ὄντας θεοὺς παραδειγματίζει· καὶ τοὺς ἱερωμένους αὐτοῖς, νήπιος ὤν, κατασφάζει, βωμούς τε αὐτῶν ἀνατρέπει, καὶ θυσιαστήρια νεκροῖς λειψάνοις μιαίνει, τεμένη τε καθαιρεῖ, καὶ τὰ ἄλση ἐκκόπτει, καὶ τὰς στήλας συντρίβει, καὶ τοὺς τῶν ἀσεβῶν τάφους ἀνορύττει, ἵνα μηδὲ σημεῖον ἔτι τῶν πονηρῶν ὑπάρχῃ[2]. Οὕτω τις ζηλωτὴς ἦν τῆς εὐσεβείας, καὶ τῶν ἀσεβῶν τιμωρός, ἔτι ψελλίζων τῇ γλώττῃ, Δαβίδ, ὁ προφήτης ὁμοῦ καὶ βασιλεύς, ἡ τοῦ Σωτηρίου κατὰ σάρκα ῥίζα, μειράκιον χρίεται ὑπὸ Σαμουὴλ εἰς βασιλέα[3]. Φησὶ γάρ που αὐτός, ὅτι «Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου, καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου.[4]»

V. Καὶ ἐπιλείψει με ὁ χρόνος, εἰ πάντας ἀνιχνεύειν βουλοίμην τοὺς ἐν νεότητι εὐαρεστήσαντας Θεῷ, προφητείαν τε καὶ ἱερωσύνην καὶ βασιλείαν ὑπὸ Θεοῦ ἐγχειρισθέντας. Ὑπομνήσεως δὲ ἕνεκα αὐτάρκη καὶ τὰ εἰρημένα. Ἀλλά σε ἀντιβολῶ, μή σοί τις περιττὸς εἶναι δόξω καὶ φανητιῶσα. Οὐ γὰρ διδάσκουσά σε, ἀλλ' ὑπομιμνήσκουσα τὸν ἐμὸν ἐν Θεῷ πατέρα, τούτους παρεθέμην τοὺς λόγους. Γινώσκω γὰρ τὰ ἐμαυτῆς μέτρα, καὶ οὐ συμπαρεκτείνω ἐμαυτὴν τοῖς τηλικούτοις ὑμῖν. Ἀσπάζομαί σου τὸν ἅγιον κλῆρον, καὶ τὸν φιλόχριστόν σου λαόν, τὸν ὑπὸ τὴν σὴν κηδεμονίαν ποιμαινόμενον. Πάντες οἱ παρ' ἡμῖν πιστοὶ προσαγορεύουσί σε. Ὑγιαίνειν με κατὰ Θεὸν προσεύχου, μακάριε ποιμήν.

ΠΡΟΣ ΜΑΡΙΑΝ,
ΤΗΝ ΠΡΟΣ ΤΩ ΖΑΡΒΩ, ΕΙΣ ΝΕΑΠΟΛΙΝ ΙΓΝΑΤΙΟΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ ἠλεημένῃ χάριτι Θεοῦ Πατρὸς ὑψίστου καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος, πιστοτάτῃ, ἀξιοθέῳ, χριστοφόρῳ θυγατρὶ Μαρίᾳ, πλεῖστα ἐν Θεῷ χαίρειν.

---

1. Ἱερ. 1, 7. 2. Δ' Βασ. 23, 1 ἑξ. 3. Α' Βασ. 16, 1 ἑξ. 4. Ψαλμ. 151, 1.

I. Κρεῖττον μὲν γράμματος ὄψις, ὅσῳ περ μέρος οὖσα τοῦ χοροῦ τῶν αἰσθήσεων, οὐ μόνον οἷς μεταδιδοῖ τὰ φιλικά, τιμᾷ τὸν λαμβάνοντα, ἀλλὰ καὶ οἷς ἀντιδέχεται, τὸν ἐπὶ τοῖς κρείττοσι πόθον πλουτεῖ. Πλὴν δεύτερος, φασί, λιμήν, καὶ ὁ τῶν γραμμάτων τρόπος· ὃν ὥσπερ ἀγαθὸν ὅρμον δεδέγμεθα παρὰ τῆς σῆς πίστεως πόρρωθεν, ὥσπερ δι' ἑαυτῶν εἰδότες τὸ ἐν σοὶ καλόν. Αἱ γὰρ τῶν ἀγαθῶν, ὦ πάνσοφε γύναι, ψυχαὶ ταῖς καθαρωτάταις ἐοίκασι πηγαῖς. Ἐκεῖναί τε γὰρ τοὺς παριόντας, κἂν μὴ διψῶσι, τῷ εἴδει ἐφέλκονται αὐτοὺς ἀρύσασθαι τοῦ πότου. Ἥ τε σὴ σύνεσις παρεγγυᾷ, μετασχεῖν ἡμᾶς παρακελευομένη τῶν ἐν τῇ ψυχῇ σου βλυζόντων θείων πομάτων.

II. Ἐγὼ δέ, ὦ μακαρία, οὐχ ἐμαυτοῦ νῦν τοσοῦτον, ὅσον ἄλλων γενόμενος, ταῖς πολλαῖς τῶν ἐναντίων γνώμαις ἐλαύνομαι· τὰ μὲν φυγαῖς, τὰ δὲ φρουραῖς, τὰ δὲ δεσμοῖς. Ἀλλ' οὐδενὸς τούτων ἐπιστρέφομαι. Ἐν δὲ τοῖς ἀδικήμασιν αὐτῶν μᾶλλον μαθητεύομαι, ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. Ὀναίμην τῶν δεινῶν τῶν ἐμοὶ ἡτοιμασμένων· «ἐπειδὴ οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς.[1]»

III. Τὰ δὲ ὑπὸ σοῦ διὰ τῆς ἐπιστολῆς κελευσθέντα, ἀσμένως ἐπλήρωσα· ἐν οὐδενὶ ἀμφιβάλλων, ὧν αὐτὴ καλῶς ἔχειν δεδοκίμακας. Ἔγνων γάρ σε κρίσει Θεοῦ τὴν μαρτυρίαν τοῖς ἀνδράσι πεποιῆσθαι, ἀλλ' οὐ χάριτι σαρκικῇ. Πάνυ δέ με ἦσαν καὶ αἱ συνεχεῖς σου τῶν γραφικῶν χωρίων μνῆμαι· ἃς ἀναγνούς, οὐδὲ μέχρις ἐννοίας ἐνεδοίασα περὶ τὸ πρᾶγμα. Οὐ γὰρ εἶχόν τισιν ὀφθαλμοῖς ἐκδραμεῖν, ὧν εἶχον ἀναντίρρητον ὑπὸ σοῦ τὴν ἀπόδειξιν. Ἀντίψυχόν σου γενοίμην ἐγώ, ὅτι φιλεῖς Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος. Διὸ καὶ αὐτὸς ἐρεῖ σοι· «Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ· οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσιν εἰρήνην.[2]»

IV. Ἐπέρχεταί δέ μοι λέγειν, ὅτι ἀληθινὸς ὁ λόγος, ὃν ἤκουον περὶ σοῦ, ἔτι οὔσης σοῦ ἐν τῇ Ῥώμῃ παρὰ τῷ μακαρίῳ πάπᾳ Λίνῳ· ὃν διεδέξατο τὰ νῦν ὁ ἀξιομακάριστος Κλήμης, ὁ Πέτρου καὶ Παύλου ἀκουστής. Καὶ νῦν προσέθηκας ἐπ' αὐτῷ ἑκατονταπλασίως, καὶ προσθείης γε ἔτι, ὦ αὐτη. Σφόδρα ἐπεθύμουν ἐλθεῖν πρὸς ὑμᾶς, ὥστε συναναπαύσασθαι ὑμῖν· ἀλλ' «οὐκ ἐν ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ.[3]» Ἐπέχει γάρ μου τὴν πρόθεσιν, οὐ συγχωροῦσα εἰς πέρας ἐλθεῖν, ἡ στρατιωτικὴ φρουρά. Ἀλλ' οὔτε ἐν οἷς εἶμι, δρᾶν τι, ἢ παθεῖν οἷός τε ἐγώ. Διὸ δεύτερον τῆς ἐν φίλοις παραμυθίας τὸ γράμμα λογιζόμενος, κατασπάζομαι τὴν ἱεράν σου ψυχήν, παρακαλῶν προσθεῖναι τῷ τόνῳ. Ὁ γὰρ παρὼν πόνος ὀλίγος, ὁ δὲ προσδοκώμενος μισθὸς πολύς.

V. Φεύγετε τοὺς ἀρνουμένους τὸ πάθος Χριστοῦ, καὶ τὴν κατὰ σάρκα γέννησιν· πολλοὶ δέ εἰσιν ἄρτι οἱ ταύτην νοσοῦντες τὴν ἀρρωστίαν. Τὰ δὲ ἄλλα σοι παραινεῖν εὔηθες· κατηρτισμένη μὲν παντὶ

1. Ῥωμ. 8, 18. 2. Παρμ. 8, 17. 3. Ἱερ. 10, 23

ἔργῳ καὶ λόγῳ ἀγαθῷ, δυναμένη δὲ καὶ ἄλλους νουθετεῖν ἐν Χριστῷ. Ἄσπασαι πάντας τοὺς ὁμοίους σου, ἀντεχομένους τῆς ἑαυτῶν σωτηρίας ἐν Χριστῷ. Ἀσπάζονταί σε οἱ πρεσβύτεροι, καὶ οἱ διάκονοι, καὶ πρὸ πάντων ὁ ἱερὸς Ἥρων. Ἀσπάζεταί σε Κασσιανὸς ὁ ξένος μου καὶ ἡ ἀδελφή μου ἡ γαμετὴ αὐτοῦ, καὶ τὰ φίλτατα αὐτῶν τέκνα. Ἐρρωμένην σαρκικὴν καὶ πνευματικὴν ὑγείαν ὁ Κύριος ἁγιάσῃ ἀεί· καὶ ἴδοιμί σε ἐν Χριστῷ τυγχάνουσαν τοῦ στεφάνου.

ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΤΑΡΣΩ ΙΓΝΑΤΙΟΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ σεσωσμένῃ ἐν Χριστῷ Ἐκκλησίᾳ, ἀξιεπαίνῳ, καὶ ἀξιομνημονεύτῳ, καὶ ἀξιαγαπητῷ, τῇ οὔσῃ ἐν Ταρσῷ, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρός, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, πληθυνθείη διὰ παντός.

I. Ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ· οὐχ ὑπὸ ἀλόγων θηρίων βιβρωσκόμενος· ταῦτα γάρ, ὡς ἴστε, Θεοῦ θελήσαντος, ἐφείσαντο τοῦ Δανιήλ· ὑπὸ δὲ ἀνθρωπομόρφων, οἷς ὁ ἀνήμερος θὴρ ἐμφωλεύων νύττει με ὁσημέραι καὶ τιτρώσκει· ἀλλ' οὐδενὸς λόγον ποιοῦμαι τῶν δεινῶν, «οὐδὲ ἔχω τὴν ψυχὴν τιμίαν ἐμαυτῷ[1]», ὡς ἀγαπῶν αὐτὴν μᾶλλον ἢ τὸν Κύριον. Διὸ ἕτοιμός εἰμι πρὸς πῦρ, πρὸς θηρία, πρὸς ξίφος, πρὸς σταυρόν· μόνον ἵνα τὸν Χριστὸν ἴδω τὸν Σωτῆρά μου καὶ Θεόν, τὸν ὑπὲρ ἐμοῦ ἀποθανόντα. Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος Χριστοῦ, ὁ διὰ γῆς καὶ θαλάττης ἐλαυνόμενος· «στήκετε ἐν τῇ πίστει[2]», ἑδραῖοι γίνεσθε, ὅτι «δίκαιος ἐκ πίστεως ζήσεται·[3]» γίνεσθε ἀκλινεῖς, «ὅτι Κύριος κατοικίζει μονοτρόπους ἐν οἴκῳ.[4]»

II. Ἔγνων ὅτι τινὲς τῶν τοῦ Σατανᾶ ὑπηρετῶν ἐβουλήθησαν ὑμᾶς ταράξαι· οἱ μέν, ὅτι Ἰησοῦς δοκήσει ἐσταυρώθη, καὶ δοκήσει ἀπέθανεν· οἱ δέ, ὅτι οὐκ ἔστιν Υἱὸς τοῦ Δημιουργοῦ· οἱ δέ, ὅτι αὐτός ἐστιν ὁ ἐπὶ πάντων Θεός· ἄλλοι δέ, ὅτι ψιλὸς ἄνθρωπός ἐστιν· ἕτεροι δέ, ὅτι ἡ σὰρξ αὕτη οὐκ ἐγείρεται, καὶ δεῖ τὸν ἀπολαυστικὸν βίον ζῆν καὶ μετιέναι· τοῦτο γὰρ εἶναι πέρας τῶν ἀγαθῶν τοῖς μετ' οὐ πολὺ φθαρησομένοις. Τοσούτων κακῶν ἑσμὸς εἰσεκώμασεν. Ἀλλ' ὑμεῖς οὐδὲ πρὸς «ὥραν εἴξατε τῇ ὑποταγῇ αὐτῶν.[5]» Παύλου γάρ ἐστε πολῖται καὶ μαθηταί, τοῦ ἀπὸ Ἱεροσολύμων καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκότος[6] τὸ Εὐαγγέλιον, καὶ «τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ περιφέροντος.[7]»

III. Οὗ μεμνημένοι, πάντως γινώσκετε ὅτι Ἰησοῦς ὁ Κύριος ἀληθῶς ἐγεννήθη ἐκ Μαρίας, γενόμενος ἐκ γυναικός· καὶ ἀληθείᾳ

1. Πράξ. 20, 24. 2. Α' Κορ. 16, 13. 3. Ἀββ. 2, 4. 4. Ψαλμ. 67, 7. 5. Γαλ. 2, 5. 6. Ῥωμ. 15, 19. 7. Γαλ. 6, 17.

ἐσταυρώθη. «'Εμοὶ γὰρ φησί, μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου τοῦ 'Ιησοῦ.[1]» Καὶ ἀληθείᾳ ἔπαθε, καὶ ἀπέθανε, καὶ ἀνέστη. «Εἰ παθητὸς γάρ, φησίν, ὁ Χριστός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν.[2]» Καί· «῝Ο ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, τῷ Θεῷ ζῇ.[3]» 'Επεὶ τίς χρεία δεσμῶν, Χριστοῦ μὴ ἐπιθανόντος; τίς χρεία ὑπομονῆς; τίς χρεία μαστίγων; Τί δήποτε, Πέτρος μὲν ἐσταυροῦτο· Παῦλος δὲ καὶ 'Ιάκωβος μαχαίρᾳ ἐτέμνοντο·[4] 'Ιωάννης δὲ ἐφυγαδεύετο ἐν Πάτμῳ·[5] Στέφανος δὲ ἐν λίθοις ἀνῃρεῖτο παρὰ τῶν κυριοκτόνων 'Ιουδαίων; ἀλλ' οὐδὲν τούτων εἰκῇ. 'Αληθείᾳ γὰρ ἐσταυρώθη ὁ Κύριος ὑπὸ τῶν δυσσεβῶν.

IV. Καὶ ὅτι οὗτος ὁ γεννηθεὶς ἐκ γυναικός, Υἱός ἐστι τοῦ Θεοῦ· καὶ ὁ σταυρωθείς, πρωτότοκος πάσης κτίσεως, καὶ Θεὸς Λόγος· καὶ αὐτὸς ἐποίησε τὰ πάντα. Λέγει γὰρ ὁ 'Απόστολος· «Εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς Κύριος 'Ιησοῦς Χριστός, δι' οὗ τὰ πάντα.[6]» Καὶ πάλιν· «Εἷς γὰρ Θεός, καὶ εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος 'Ιησοῦς Χριστός·[7]» καὶ «ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, ὁρατὰ καὶ ἀόρατα καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε.[8]»

V. Καὶ ὅτι οὐκ αὐτός ἐστιν ὁ ἐπὶ πάντων Θεὸς καὶ Πατήρ, ἀλλ' Υἱὸς ἐκείνου, λέγει· «'Αναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.[9]» Καί· «῞Οταν ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.[10]» Οὐκοῦν ἕτερός ἐστιν ὁ ὑποτάξας, καὶ ὧν τὰ πάντα ἐν πᾶσι· καὶ ἕτερος, ᾧ ὑπετάγη, ὃς καὶ μετὰ πάντων ὑποτάσσεται.

VI. Καὶ οὔτε ψιλὸς ἄνθρωπος, ὁ δι' οὗ, καὶ ἐν ᾧ γέγονε τὰ πάντα. «Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο.[11]» «῾Ηνίκα ἐποίει τὸν οὐρανόν, συμπαρήμην αὐτῷ, καὶ ἐκεῖ ἤμην παρ' αὐτῷ ἁρμόζουσα, καὶ προσέχαιρέ μοι καθ' ἡμέραν.[12]» Πῶς δ' ἂν ὁ ψιλὸς ἄνθρωπος ἤκουσε· «Κάθου ἐκ δεξιῶν μου;[13]» Πῶς δὲ καὶ ἔλεγε· «Πρὶν 'Αβραὰμ γενέσθαι, ἐγώ εἰμι;[14]» Καί· «Δόξασόν με τῇ δόξῃ σου ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι;[15]» Ποῖος δὲ ἄνθρωπος ἔλεγεν· «Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με;[16]» Περὶ ποίου δὲ ἀνθρώπου ἔλεγεν· «Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω· εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον;[17]» Πῶς οὖν ὁ τοιοῦτος, ψιλὸς ἄνθρωπος, καὶ ἐκ Μαρίας ἔχων τὴν ἀρχὴν τοῦ εἶναι, ἀλλ' οὐχὶ

---

1. Γαλ. 6, 14. 2. Πράξ. 16, 23. 3. 'Ρωμ. 6, 10. 4. Πράξ. 12, 2. 5. 'Αποκ. 1, 9. 6. Α' Κορ. 8, 6. 7. Α' Τιμ. 2, 5. 8. Κολ. 1, 16-17. 9. 'Ιω. 20, 17. 10. Α' Κορ. 15, 28. 11. 'Ιω. 1, 3. 12. Παρμ. 8, 27, 30. 13. Ψαλμ. 109, 1. 14. 'Ιω. 8, 58. 15. 'Ιω. 17, 5. 16. 'Ιω. 6, 38. 17. 'Ιω. 1, 9.

Θεὸς Λόγος, καὶ μονογενὴς Υἱός; «Ἐν ἀρχῇ γὰρ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος.[1]» Καὶ ἐν ἄλλοις· «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ· πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.[2]»

VII. Ὅτι δὲ καὶ ἀνίσταται τὰ σώματα ἡμῶν, λέγει· «Ἀμήν, λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται.[3]» Καὶ ὁ Ἀπόστολος· «Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.[4]» Καὶ ὅτι δεῖ σωφρόνως ζῆν καὶ δικαίως πάλιν λέγει· «Μὴ πλανᾶσθε, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε πόρνοι, οὔτε λοίδοροι, οὔτε μέθυσοι, οὔτε κλέπται, βασιλείαν Θεοῦ κληρονομῆσαι δύνανται.[5]» Καί· «Εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν. Ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν. Ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ, ἀπώλοντο. Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. Εἰ νεκροὶ οὐκ ἐγείρονται, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν.[6]» Οὕτω δὲ διακείμενοι, τί διοίσομεν ὄνων καὶ κυνῶν, οἳ μηδὲν τοῦ μέλλοντος φροντίζοντες, μόνον τοῦ φαγεῖν φροντίζουσιν, εἰς ὄρεξιν ἐρχόμενοι καὶ τῶν μετὰ τὸ φαγεῖν; Ἀνεπίστητοι γάρ εἰσι τοῦ νοῦ, τοῦ κινοῦντος ἔνδοθεν.

VIII. Ὀναίμην ὑμῶν ἐν Κυρίῳ. Νήφετε· πᾶσαν ἕκαστος κακίαν ἀπόθεσθε, καὶ τὸν θηριώδη θυμόν, καταλαλιάν, συκοφαντίαν, αἰσχρολογίαν, εὐτραπελίαν, ψιθυρισμόν, φυσίωσιν, μέθην, λαγνείαν, φιλαργυρίαν, φιλοδοξίαν, φθόνον, καὶ πᾶν τὸ τούτοις συνῳδόν. «Ἐνδύσασθε δὲ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας.[7]» Οἱ πρεσβύτεροι, ὑποτάσσεσθε τῷ ἐπισκόπῳ· οἱ διάκονοι, τοῖς πρεσβυτέροις· ὁ λαός, τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις. Ἀντίψυχος ἐγὼ τῶν φυλαττόντων ταύτην τὴν εὐταξίαν· καὶ ὁ Κύριος εἴη μετ' αὐτῶν διηνεκῶς.

IX. Οἱ ἄνδρες, στέργετε τὰς γαμετὰς ὑμῶν· αἱ γυναῖκες, τοὺς ὁμοζύγους. Οἱ παῖδες, τοὺς γονεῖς αἰδεῖσθε· οἱ γονεῖς, «τὰ τέκνα ἐκτρέφετε ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.[8]» Τὰς ἐν παρθενίᾳ τιμᾶτε, ὡς ἱερείας Χριστοῦ· τὰς ἐν σεμνότητι χήρας, ὡς θυσιαστήριον Θεοῦ. Οἱ δοῦλοι, μετὰ φόβου τοῖς κυρίοις ἐξυπηρετεῖτε· οἱ κύριοι, μετὰ φειδοῦς τοῖς δούλοις ἐπιτάσσετε. Μηδεὶς ἐν ὑμῖν ἀργὸς ἔστω· μήτηρ γὰρ τῆς ἐνδείας ἡ ἀργία. Ταῦτα οὐκ ἐπιτάττω, ὡς ὤν τι, εἰ καὶ δέδεμαι, ἀλλ' ὡς ἀδελφὸς ὑπομιμνήσκω. Εἴη Κύριος μεθ' ὑμῶν.

X. Ὀναίμην ὑμῶν τῶν προσευχῶν. Προσεύχεσθε, ἵνα Ἰησοῦ

---

1. Ἰω. 1, 1. 2. Παρμ. 8, 22, 23, 25. 3. Ἰω. 5, 25, 28. 4. Α' Κορ. 15, 53. 5. Α' Κορ. 6, 9-10. 6. Α' Κορ. 15, 13, 14, 17, 18, 19, 32. 7. Ῥωμ. 13, 14. 8. Ἐφ. 5, 4.

ἐπιτύχω. Παρατίθεμαι ὑμῖν τὴν ἐν Ἀντιοχείᾳ Ἐκκλησίαν· ἀσπάζονται ὑμᾶς αἱ Ἐκκλησίαι Φιλιππησίων, ὅθεν καὶ γράφω ὑμῖν. Ἀσπάζεται ὑμᾶς Φίλων ὁ διάκονος ὑμῶν, ᾧ καὶ ἐγὼ εὐχαριστῶ, σπουδαίως ὑπηρετοῦντί μοι ἐν πᾶσιν. Ἀσπάζεται ὑμᾶς Ἀγαθόπους ὁ διάκονος, ὁ ἐκ Συρίας, ὃς ἀκολουθεῖ μοι ἐν Χριστῷ. «Ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι.[1]» Ἀσπάζομαι πάντας καὶ πάσας, τοὺς ἐν Χριστῷ. Ἔρρωσθε σώματι καὶ ψυχῇ καὶ πνεύματι ἑνί· καὶ ἐμοῦ μὴ ἐπιλάθησθε. Ὁ Κύριος μεθ' ὑμῶν.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΑΝΤΙΟΧΕΙΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, Ἐκκλησίᾳ ἠλεημένῃ ὑπὸ Θεοῦ, ἐκλελεγμένῃ ὑπὸ Χριστοῦ, παροικούσῃ ἐν Συρίᾳ, καὶ πρώτῃ Χριστοῦ ἐπωνυμίαν λαβούσῃ, τῇ ἐν Ἀντιοχείᾳ[2], ἐν Θεῷ Πατρί, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ, χαίρειν.

I. Ἐλαφρά μοι καὶ κοῦφα τὰ δεσμὰ ὁ Κύριος πεποίηκε, μαθόντα εἰρηνεύειν ὑμᾶς, καὶ ἐν πάσῃ ὁμονοίᾳ σαρκικῇ τε καὶ πνευματικῇ διάγειν. «Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε·[3]» φυλαττόμενοι τὰς εἰσκομισάσας αἱρέσεις τοῦ πονηροῦ, ἐπ' ἀπάτῃ καὶ ἀπωλείᾳ τῶν πειθομένων αὐτῷ· προσέχειν δὲ τῇ τῶν ἀποστόλων διδαχῇ, καὶ νόμῳ καὶ προφήταις πιστεύειν· πᾶσαν Ἰουδαϊκὴν καὶ Ἑλληνικὴν ἀπορρίψαι πλάνην· καὶ μήτε πλῆθος θεῶν ἐπεισάγειν, μήτε τὸν Χριστὸν ἀρνεῖσθαι προφάσει τοῦ ἑνὸς Θεοῦ.

II. Μωϋσῆς τε γὰρ ὁ πιστὸς θεράπων τοῦ Θεοῦ, εἰπών· «Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι[4]», καὶ τὸν ἕνα καὶ μόνον κηρύξας Θεόν, ὡμολόγησεν εὐθέως καὶ τὸν Κύριον ἡμῶν, λέγων· «Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα παρὰ Κυρίου πῦρ καὶ θεῖον.[5]» Καὶ πάλιν· Καὶ εἶπεν ὁ Θεός, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν.[6]» Καὶ ἑξῆς· «Ἐν εἰκόνι Θεοῦ ἐποίησε τὸν ἄνθρωπον.[7]» Καὶ ὅτι γενήσεται ἄνθρωπος, φησί· «Προφήτην ὑμῖν ἀναστήσει Κύριος ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ.[8]»

III. Οἱ δὲ προφῆται, εἰπόντες ὡς ἐκ προσώπου τοῦ Θεοῦ· «Ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι Θεός[9]», περὶ τοῦ Πατρὸς τῶν ὅλων, λέγουσι καὶ περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· «Υἱός, φασίν, ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ

1. Α' Πέτρ. 5, 14. 2. Πρβλ. Πράξ. 11, 26. 3. Ἐφ. 4, 1. 4. Δευτ. 6, 4. 5. Γεν. 19, 24. 6. Γεν. 1, 26. 7. Γεν. 1, 27. 8. Δευτ. 18, 15. 9. Ἡσ. 44. 6.

ἐστιν ἄνωθεν· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος, θαυμαστός, σύμβουλος, Θεός, ἰσχυρός, ἐξουσιαστής·[1]» καὶ περὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ· «Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσουσι, τὸ ὄνομα αὐτοῦ, Ἐμμανουήλ·[2]» καὶ περὶ τοῦ πάθους· «Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος·[3]» «κἀγὼ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι.[4]»

IV. Οἵ τε εὐαγγελισταί, εἰπόντες τὸν ἕνα Πατέρα μόνον ἀληθινὸν Θεόν· καὶ τὰ μετὰ τὸν Κύριον ἡμῶν οὐ παρέλιπον, ἀλλ' ἔγραψαν· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονε.[5]» Καὶ περὶ τῆς ἐνανθρωπήσεως· «Ὁ Λόγος, φησί, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν·[6]» καί· «Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβίδ, υἱοῦ Ἀβραάμ.[7]» Οἱ δὲ ἀπόστολοι, εἰπόντες ὅτι «Θεὸς εἷς ἐστιν[8]», εἶπον οἱ αὐτοὶ ὅτι εἷς καὶ «μεσίτης Θεοῦ καὶ ἀνθρώπων·[9]» καὶ τὴν ἐνσωμάτωσιν καὶ τὸ πάθος οὐκ ἐπῃσχύνθησαν. Τί γάρ φησιν; Ἄνθρωπος Ἰησοῦς Χριστός, «ὁ δοὺς ἑαυτὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας.[10]»

V. Πᾶς οὖν ὅστις ἕνα καὶ μόνον καταγγέλλει Θεὸν ἐπ' ἀναιρέσει τῆς τοῦ Χριστοῦ θεότητος, ἐστὶ διάβολος, καὶ ἐχθρὸς πάσης δικαιοσύνης· ὅ τε ὁμολογῶν Χριστόν, οὐ τοῦ ποιήσαντος τὸν κόσμον υἱόν, ἀλλ' ἑτέρου τινὸς ἀγνώστου, παρ' ὃν ἐκήρυξεν ὁ νόμος καὶ οἱ προφῆται, οὗτος ὄργανόν ἐστιν αὐτοῦ τοῦ διαβόλου. Ὅ τε τὴν ἐνανθρώπησιν παραιτούμενος, καὶ τὸν σταυρὸν ἐπαισχυνόμενος, δι' ὃν δέδεμαι, «οὗτός ἐστιν Ἀντίχριστος.[11]» Ὅ τε ψιλὸν ἄνθρωπον λέγων τὸν Χριστόν, «ἐπάρατός ἐστι κατὰ τὸν προφήτην, οὐκ ἐπὶ Θεῷ πεποιθώς, ἀλλ' ἐπὶ ἀνθρώπῳ· διὸ καὶ ἄκαρπός ἐστι, παραπλησίως τῇ ἀγριομυρίκῃ.[12]»

VI. Ταῦτα γράφω ὑμῖν, ὦ τοῦ Χριστοῦ νεολαία, οὐ συνειδὼς ὑμῖν τὸ τοιοῦτο φρόνημα ἀλλὰ προφυλαττόμενος ὑμᾶς, ὡς πατὴρ τὰ ἑαυτοῦ τέκνα. Βλέπετε οὖν τοὺς κακεντρεχεῖς ἐργάτας, «τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὧν τὸ τέλος ἀπώλεια, ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν.[13]» Βλέπετε «τοὺς κύνας, τοὺς ἐνεούς[14]», τοὺς ὄφεις τοὺς συρομένους, τὰ φιλόδορα δρακόντια, τὰς ἀσπίδας, τοὺς βασιλίσκους, τοὺς σκορπίους. Οὗτοι γάρ εἰσι θῶες ἀλωποί, ἀνθρωπόμιμοι πίθηκοι.

VII. Παύλου καὶ Πέτρου γεγόνατε μαθηταί· μὴ ἀπολέσητε τὴν παραθήκην. Μνημονεύσατε Εὐοδίου τοῦ ἀξιομακαρίστου ποιμένος ὑμῶν, ὃς πρῶτος ἐνεχειρίσθη παρὰ τῶν ἀποστόλων τὴν ὑμετέραν προστασίαν. Μὴ καταισχύνωμεν τὸν πατέρα. Γενώμεθα γνήσιοι

---

1. Ἡσ. 9, 6. 2. Ἡσ. 7, 14. 3. Ἡσ. 53, 7. 4. Ἱερ. 11, 19. 5. Ἰω. 1, 1. 6. Ἰω. 1, 14. 7. Ματθ. 1, 1. 8. Α' Κορ. 8, 4. 9. Ἐφ. 4, 5. Α' Τιμ. 2, 5. 10. Α' Τιμ. 2, 5-6. 11. Α' Ἰω. 2, 22. 12. Ἱερ. 17, 5-6. 13. Φιλιπ. 3, 18-19. 14. Ἡσ. 56, 10.

παῖδες, ἀλλὰ μὴ νόθοι. Οἴδατε ὅπως συνανεστράφην μεθ' ὑμῶν· ἃ παρὼν ἔλεγον ὑμῖν, ταῦτα καὶ ἀπὼν γράφω· «Εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν, ἔστω ἀνάθεμα. Μιμηταί μου γίνεσθε.[1]» Ἀντίψυχον ὑμῶν γενοίμην, ὅταν Ἰησοῦ ἐπιτύχω. «Μνημονεύετέ μου τῶν δεσμῶν.[2]»

VIII. Οἱ πρεσβύτεροι, «ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον[3]», ἕως ἀναδείξῃ ὁ Θεὸς τὸν μέλλοντα ἄρχειν ὑμῶν. «Ἐγὼ γὰρ ἤδη σπένδομαι, ἵνα Χριστὸν κερδήσω.[4]» Οἱ διάκονοι γινωσκέτωσαν οἵου εἰσὶν ἀξιώματος, καὶ σπουδαζέτωσαν ἄμεμπτοι εἶναι, ἵνα ὦσι μιμηταὶ Χριστοῦ. Ὁ λαὸς ὑποτασσέσθω τοῖς πρεσβυτέροις καὶ τοῖς διακόνοις. Αἱ παρθένοι γινωσκέτωσαν τίνι καθιέρωσαν ἑαυτάς.

IX. Οἱ ἄνδρες στεργέτωσαν τὰς ὁμοζύγους, μνημονεύοντες ὅτι μία ἑνί, οὐ πολλαὶ ἑνὶ ἐδόθησαν ἐν τῇ κτίσει. Αἱ γυναῖκες τιμάτωσαν τοὺς ἄνδρας, ὡς σάρκα ἰδίαν· μηδὲ ἐξ ὀνόματος αὐτοὺς τολμάτωσαν καλεῖν· σωφρονιζέτωσαν δέ, μόνους ἄνδρας τοὺς ὁμοζύγους εἶναι νομίζουσαι, οἷς καὶ ἡνώθησαν κατὰ γνώμην Θεοῦ.[5] Οἱ γονεῖς, τὰ τέκνα παιδεύετε παιδείαν ἱεράν. Τὰ τέκνα, τιμᾶτε τοὺς γονεῖς, ἵνα εὖ ὑμῖν ᾖ.[6]

X. Οἱ δεσπόται, μὴ ὑπερηφάνως τοῖς δούλοις προσέχετε· μιμούμενοι τὸν τλητικὸν Ἰὼβ εἰπόντα· «Εἰ δὲ καὶ ἐφαύλισα κρῖμα θεράποντός μου, ἢ θεραπαίνης μου, κρινομένων αὐτῶν πρός μέ· τί γὰρ ποιήσω, ἐὰν ἔτασίν μου ὁ Κύριος ποιήσηται;[7]» καὶ τὰ ἑξῆς ἐπίστασθε. Οἱ δοῦλοι, μὴ παροργίζετε τοὺς δεσπότας ἐν μηδενί, ἵνα μὴ κακῶν ἀνηκέστων ἑαυτοῖς αἴτιοι γένησθε.

XI. Μηδεὶς ἀργὸς ἐσθιέτω[8], ἵνα μὴ ῥέμβος γένηται καὶ πορνοσκόπος· μέθη, ὀργή, φθόνος, λοιδορία, κραυγή, βλασφημία, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν. Αἱ χῆραι «μὴ σπαταλάτωσαν, ἵνα μὴ καταστρηνιάσωσι τοῦ λόγου.[9]» Τῷ Καίσαρι ὑποτάγητε, ἐν οἷς ἀκίνδυνος ἡ ὑποταγή. Τοὺς ἄρχοντας μὴ ἐρεθίζετε εἰς παροξυσμόν, ἵνα μὴ δῶτε ἀφορμὴν τοῖς ζητοῦσι καθ' ὑμῶν. Περὶ δὲ γοητείας, ἢ παιδεραστίας, ἢ φόνου, περιττὸν τὸ γράφειν, ὁπότε ταῦτα καὶ τοῖς ἔθνεσιν ἀπηγόρευται πράττειν. Ταῦτα οὐχ ὡς ἀπόστολος παρακελεύομαι, ἀλλ' ὡς σύνδουλος ὑμῶν ὑπομιμνήσκω ὑμᾶς.

XII. Ἀσπάζομαι τὸ ἅγιον πρεσβυτέριον. Ἀσπάζομαι τοὺς ἱεροὺς διακόνους, καὶ τὸ ποθεινόν μοι ὄνομα, ὃν ἐπίδοιμι ἀντὶ ἐμοῦ ἐν Πνεύματι ἁγίῳ, ὅταν Χριστοῦ ἐπιτύχω· οὗ ἀντίψυχον γενοίμην. Ἀσπάζομαι ὑποδιακόνους, ἀναγνώστας, ψάλτας, πυλωρούς, τοὺς κοπιῶντας, ἐπορκιστάς, ὁμολογητάς. Ἀσπάζομαι τὰς φρουροὺς τῶν ἁγίων πυλώνων, τὰς ἐν Χριστῷ διακόνους. Ἀσπάζομαι τὰς χριστολήπτους παρθένους, ὧν ὀναίμην ἐν Κυρίῳ Ἰησοῦ. Ἀσπάζομαι τὸν

---

1. Α' Κορ. 16, 22. 4, 16. 2. Κολ. 4, 18. 3. Α' Πέτρ. 5, 2. 4. Β' Τιμ. 4, 6. Φιλιπ. 3, 8. 5. Πρβλ. Ἐφεσ. 5, 25. 6. Πρβλ. Ἐφεσ. 6, 1-3. 7. Ἰὼβ 31, 13-14. 8. Πρβλ. Β' Θεσσ. 3, 10. 9. Α' Τιμ. 5, 6, 11.

λαὸν Κυρίου ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ πάσας τὰς ἀδελφάς μου ἐν Κυρίῳ.

XIII. Ἀσπάζομαι Κασσιανόν, καὶ τὴν ὁμόζυγον αὐτοῦ, καὶ τὰ φίλτατα αὐτοῦ τέκνα. Ἀσπάζεται ὑμᾶς Πολύκαρπος, ὁ ἀξιοπρεπὴς ἐπίσκοπος, ὃς καὶ μέλει περὶ ὑμῶν· ᾧ καὶ παρεθέμην ὑμᾶς ἐν Κυρίῳ. Καὶ πᾶσα δὲ ἡ Ἐκκλησία Σμυρναίων μνημονεύει ὑμῶν ἐν ταῖς προσευχαῖς ἐν Κυρίῳ. Ἀσπάζεται ὑμᾶς Ὀνήσιμος ὁ Ἐφεσίων ποιμήν. Ἀσπάζεται ὑμᾶς Δημᾶς, ὁ Μαγνησίας ἐπίσκοπος. Ἀσπάζεται ὑμᾶς Πολύβιος, ὁ Τραλλαίων. Ἀσπάζονται ὑμᾶς Φίλων καὶ Ἀγαθόπους, οἱ διάκονοι, οἱ συνακόλουθοί μου. «Ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι.[1]»

XIV. Ταῦτα ἀπὸ Φιλίππων γράφω ὑμῖν. Ἐρρωμένους ὑμᾶς ὁ ὢν μόνος ἀγέννητος, διὰ τοῦ πρὸ αἰώνων γεγεννημένου, διαφυλάξοι πνεύματι καὶ σαρκί· καὶ ἴδοιμι ὑμᾶς ἐν τῇ τοῦ Χριστοῦ βασιλείᾳ. Ἀσπάζομαι τὸν ἀντ' ἐμοῦ μέλλοντα ἄρχειν ὑμῶν· οὗ καὶ ὀναίμην ἐν Χριστῷ. Ἔρρωσθε Θεῷ καὶ Χριστῷ, πεφωτισμένοι τῷ ἁγίῳ Πνεύματι.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΗΡΩΝΑ, ΔΙΑΚΟΝΟΝ ΑΝΤΙΟΧΕΙΑΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῷ θεοτιμήτῳ καὶ ποθεινοτάτῳ, σεμνοτάτῳ, Χριστοφόρῳ, Πνευματοφόρῳ, γνησίῳ τέκνῳ ἐν πίστει καὶ ἀγάπῃ, Ἥρωνι διακόνῳ Χριστοῦ, ὑπηρέτῃ Θεοῦ, χάρις, ἔλεος, καὶ εἰρήνη ἀπὸ τοῦ παντοκράτορος Θεοῦ, καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν, τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, «τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ[2]», καὶ σώσῃ εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον.

I. Παρακαλῶ σε ἐν Θεῷ προσθεῖναι τῷ δρόμῳ σου, καὶ ἐκδικεῖν σου τὸ ἀξίωμα. Τῆς συμφωνίας τῆς πρὸς τοὺς ἁγίους φρόντιζε. Τοὺς ἀσθενεστέρους βάσταζε[3], ἵνα πληρώσῃς τὸν νόμον τοῦ Χριστοῦ. Νηστείαις καὶ δεήσεσι σχόλαζε, ἀλλὰ μὴ ἀμέτρως, ἵνα μὴ σαυτὸν καταβάλῃς. Οἴνου καὶ κρεῶν μὴ πάντῃ ἀπέχου· οὐ γάρ ἐστι βδελυκτά. «Τὰ γὰρ ἀγαθὰ τῆς γῆς, φησί, φάγεσθε.[4]» Καί· «Ἔδεσθε κρέα ὡς λάχανα.[5]» Καί· «Οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου, καὶ ἔλαιον ἱλαρύνει, καὶ ἄρτος στηρίζει·[6]» ἀλλὰ μεμετρημένως καὶ εὐτάκτως, ὡς Θεοῦ χορηγοῦντος. «Τίς γὰρ φάγεται, ἢ τίς πίεται παρὲξ αὐτοῦ;[7]» Ὅτι «εἴ τι καλόν, αὐτοῦ· καὶ εἴ τι ἀγαθόν, αὐτοῦ.[8]» Τῇ ἀναγνώσει πρόσεχε, ἵνα μὴ μόνον αὐτὸς εἰδῇς τοὺς νόμους, ἀλλὰ καὶ ἄλλοις αὐτοὺς ἐξηγῇ, ὡς Θεοῦ

1. Β' Κορ. 13, 12. 2. Γαλ. 1, 4. 3. Πρβλ. Γαλ. 6, 2. 4. Ἡσ. 1, 19. 5. Γεν. 9, 3. 6. Ψαλμ. 103. 15. 7. Ἐκκλ. 2, 25. 8. Ζαχ. 9. 17.

ἀθλητής. «Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.[1]» Ἀντίψυχόν σου ἐγὼ ὁ δέσμιος.

II. Πᾶς ὁ λέγων παρὰ τὰ διατεταγμένα, κἂν ἀξιόπιστος ᾖ, κἂν νηστεύῃ, κἂν παρθενεύῃ, κἂν σημεῖα ποιῇ, κἂν προφητεύῃ, λύκος σοι φαινέσθω, ἐν προβάτου δορᾷ, προβάτων φθορὰν κατεργαζόμενος.[2] Εἴ τις ἀρνεῖται τὸν σταυρόν, καὶ τὸ πάθος ἐπαισχύνεται, ἔστω σοι ὡς αὐτὸς ὁ ἀντικείμενος· «Κἂν ψωμίσῃ τὰ ὑπάρχοντα πτωχοῖς, κἂν ὄρη μεθιστᾷ, κἂν παραδῷ τὸ σῶμα εἰς καῦσιν[3]», ἔστω σοι βδελυκτός. Εἴ τις φαυλίζει τὸν νόμον, ἢ τοὺς προφήτας, οὓς ὁ Χριστὸς παρὼν ἐπλήρωσεν, ἔστω σοι ὡς Ἀντίχριστος. Εἴ τις ἄνθρωπον ψιλὸν λέγῃ τὸν Κύριον, Ἰουδαῖός ἐστι Χριστοκτόνος.

III. «Χήρας τίμα, τὰς ὄντως χήρας.[4]» Ὀρφανῶν προΐστασο. Ὁ Θεὸς γάρ ἐστι «πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν.[5]» Μηδὲν ἄνευ τῶν ἐπισκόπων πράττε· ἱερεῖς γάρ εἰσι· σὺ δὲ διάκονος τῶν ἱερέων. Ἐκεῖνοι βαπτίζουσιν, ἱερουργοῦσι, χειροτονοῦσι, χειροθετοῦσι· σὺ δὲ αὐτοῖς διακονεῖς, ὡς Στέφανος ὁ ἅγιος ἐν Ἱεροσολύμοις Ἰακώβῳ καὶ τοῖς πρεσβυτέροις. Τῶν συνάξεων μὴ ἀμέλει. Ἐξ ὀνόματος πάντας ἐπιζήτει. «Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ.[6]»

IV. Οἰκέτας μὴ ἐπαισχύνου· κοινωνεῖ γὰρ ἡμῖν καὶ αὐτοῖς ἡ φύσις. Γυναῖκας μὴ βδελύττου· αὐταί σε γὰρ γεγεννήκασι, καὶ ἐξέθρεψαν. Ἀγαπᾶν οὖν χρὴ τὰς αἰτίας τῆς γεννήσεως, μόνον δὲ ἐν Κυρίῳ· ἄνευ δὲ γυναικὸς ἀνὴρ οὐ παιδοποιήσει· τιμᾶν οὖν χρὴ τὰς συνεργοὺς τῆς γεννήσεως. «Οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρὶς ἀνδρός[7]», εἰ μὴ ἐπὶ τῶν πρωτοπλάστων. Τοῦ γὰρ Ἀδὰμ τὸ σῶμα ἐκ τῶν τεσσάρων στοιχείων· τῆς δὲ Εὔας, ἐκ τῆς πλευρᾶς τοῦ Ἀδάμ. Καὶ ὁ παράδοξος δὲ τοκετὸς τοῦ Κυρίου, ἐκ μόνης τῆς Παρθένου· οὐ βδελυκτῆς οὔσης τῆς νομίμου μίξεως, ἀλλὰ θεοπρεποῦς τῆς γεννήσεως. Ἔπρεπε γὰρ τῷ Δημιουργῷ, μὴ τῇ συνήθει ἀποχρήσασθαι γεννήσει, ἀλλὰ τῇ παραδόξῳ καὶ ξένῃ, ὡς δημιουργῷ.

V. Ὑπερηφανίαν φεῦγε. Ὑπερηφάνοις γὰρ ἀντιτάσσεται Κύριος.[8] Ψευδολογίαν βδελύττου. «Ἀπολεῖς γάρ, φησί, πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος.[9]» Φθόνον φυλάττου· ἀρχηγὸς γὰρ αὐτοῦ ἐστιν ὁ διάβολος, καὶ διάδοχος ὁ Κάϊν, ἀδελφῷ βασκάνας, καὶ ἐκ φθόνου φόνον κατεργασάμενος. Ταῖς ἀδελφαῖς μου παραίνει ἀγαπᾶν τὸν Θεόν, καὶ μόνον ἀρκεῖσθαι τοῖς ἰδίοις ἀνδράσιν. Ὁμοίως καὶ τοῖς ἀδελφοῖς μου παραίνει ἀρκεῖσθαι ταῖς ὁμοζύγοις. Παρθένους φύλαττε, ὡς Χριστοῦ κειμήλια. Μακρόθυμος ἔσο, ἵνα ᾖς πολὺς ἐν φρονήσει. Τῶν πενήτων μὴ

---

1. Β' Τιμ. 2, 4. 2. Πρβλ. Ματθ. 7, 15. 3. Α' Κορ. 13, 3. 4. Α' Τιμ. 5, 3. 5. Ψαλμ. 67, 6. 6. Α' Τιμ. 4. 12. 7. Α' Κορ. 11, 11. 8. Ἰακ. 4, 6. Α' Πέτρ. 5, 5. 9. Ψαλμ. 5, 7.

ἀμέλει, ἐν οἷς ἂν εὐπορῇς. «Ἐλεημοσύναις γὰρ καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι.[1]»

VI. Σεαυτὸν ἁγνὸν τήρει, ὡς Θεοῦ οἰκητήριον ναὸς Χριστοῦ ὑπάρχεις· ὄργανον εἶ τοῦ Πνεύματος. Οἶδας ὅπως σε ἀνέθρεψα. Εἰ καὶ ἐλάχιστός εἰμι, ζηλωτής μου γενοῦ, μίμησαί μου τὴν ἀναστροφήν. Οὐ καυχῶμαι ἐν κόσμῳ, ἀλλ' ἐν Κυρίῳ· Ἥρωνι τῷ ἐμῷ τέκνῳ παραινῶ. «Ὁ δὲ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω.[2]» Ὀναίμην σου, παιδίον ποθεινόν· οὗ φύλαξ γένηται ὁ μόνος ἀγέννητος Θεός, καὶ ὁ Κύριος Ἰησοῦς Χριστός. Μὴ πᾶσι πίστευε, μὴ πᾶσι θάρρει, μηδὲ ἄν τις ὑποκορίζηταί σε. Πολλοὶ γάρ εἰσιν ὑπηρέται τοῦ Σατανᾶ· «καὶ ὁ ταχὺ ἐμπιστεύων, κοῦφος τῇ καρδίᾳ.[3]»

VII. Μέμνησο τοῦ Θεοῦ, καὶ οὐχ ἁμαρτήσεις ποτέ. Μὴ γίνου δίψυχος ἐν προσευχῇ σου.[4] Μακάριος γὰρ ὁ μὴ διστάσας. Πιστεύω γὰρ εἰς τὸν Πατέρα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὸν μονογενῆ Υἱόν, ὅτι δείξει μοι ὁ Θεὸς Ἥρωνα ἐπὶ τοῦ θρόνου μου. Πρόσθες οὖν ἐπὶ τῷ δρόμῳ· παραγγέλλω σοι ἐπὶ τοῦ Θεοῦ τῶν ὅλων, καὶ ἐπὶ τοῦ Χριστοῦ, παρόντος καὶ τοῦ ἁγίου Πνεύματος, καὶ τῶν λειτουργικῶν ταγμάτων, φύλαξόν μου τὴν παραθήκην, ἣν ἐγὼ καὶ ὁ Χριστὸς παρεθέμεθά σοι, καὶ μὴ ἑαυτὸν ἀνάξιον κρίνῃς τῶν δειχθέντων περὶ σοῦ τῷ Θεῷ. Παρατίθημί σοι τὴν Ἐκκλησίαν Ἀντιοχέων. Πολυκάρπῳ παρεθέμην ὑμᾶς ἐν Κυρίῳ Ἰησοῦ Χριστῷ.

VIII. Ἀσπάζονταί σε οἱ ἐπίσκοποι, Ὀνήσιμος, Βίτος, Δάμας, Πολύβιος, καὶ πάντες οἱ ἀπὸ Φιλίππων, ἐν Χριστῷ, ὅθεν καὶ ἐπέστειλά σοι. Ἄσπασαι τὸ θεοπρεπὲς πρεσβυτέριον. Ἄσπασαι τοὺς ἁγίους συνδιακόνους σου, ὧν ἐγὼ ὀναίμην ἐν Χριστῷ, σαρκί τε καὶ πνεύματι. Ἄσπασαι τὸν λαὸν Κυρίου, ἀπὸ μικροῦ ἕως μεγάλου, κατ' ὄνομα· οὓς παρατίθημί σοι, ὡς Μωσῆς Ἰησοῦ τῷ μετ' αὐτὸν στρατηγῷ.[5] Καὶ μή σοι φανῇ βαρὺ τὸ λεχθέν. Εἰ γὰρ καὶ μὴ ἐσμεν τοιοῦτοι, οἷοι ἐκεῖνοι· ἀλλ' οὖν γε εὐχόμεθα γενέσθαι, ἐπειδὴ καὶ τοῦ Ἀβραὰμ ἐσμεν παῖδες. Ἴσχυε οὖν, ὦ Ἥρων, ἡρωϊκῶς καὶ ἀνδρικῶς. Σὺ γὰρ εἰσάξεις ἀπὸ τοῦ νῦν[6] καὶ ἐξάξεις τὸν λαὸν Κυρίου τὸν ἐν Ἀντιοχείᾳ· «καὶ οὐκ ἔσται ἡ Συναγωγὴ Κυρίου, ὡς πρόβατα οἷς οὐκ ἔστι ποιμήν.[7]»

IX. Ἄσπασαι Κασσιανὸν τὸν ξένον μου, καὶ τὴν σεμνοτάτην αὐτοῦ ὁμόζυγον, καὶ τὰ φίλτατα αὐτῶν παιδία· οἷς «δῴη ὁ Θεὸς εὑρεῖν ἔλεον παρὰ Κυρίου, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ[8]», τῆς εἰς ἡμᾶς διακονίας· οὓς καὶ παρατίθημί σοι ἐν Χριστῷ. Ἄσπασαι τοὺς ἐν Λαοδικείᾳ πιστοὺς ἅπαντας, κατ' ὄνομα, ἐν Χριστῷ. Τῶν ἐν Ταρσῷ μὴ ἀμέλει. Ἀλλὰ συνεχέστερον αὐτοὺς ἐπίβλεπε, ἐπιστηρίζων αὐτοὺς εἰς τὸ Εὐαγγέλιον. Μάριν τὸν ἐν Νεαπόλει τῇ πρὸς Ἀναζαρβῷ ἐπίσκοπον, προσα-

---

1. Παρμ. 15, 27. 2. Α' Κορ. 1, 31. Β' Κορ. 10, 17. 3. Σοφ. Σειρ. 19. 4. 4. Πρβλ. Ἰακ. 1, 6. 8. 5. Πρβλ. Δευτ. 31, 1 ἑξ. 6. Πρβλ. Δευτ. 31, 7. 7. Ἀριθ. 27, 17. 8. Β' Τιμ. 1, 18.

γορεύω. Πρόσειπε δὲ καὶ τὴν σεμνοτάτην Μαρίαν, τὴν θυγατέρα μου, τὴν πολυμαθεστάτην· «καὶ τὴν κατ' οἶκον αὐτῆς Ἐκκλησίαν[1]», ἧς ἀντίψυχον γενοίμην· τὸ ἐξεμπλάριον τῶν εὐσεβῶν γυναικῶν. Ὑγιαίνοντά σε καὶ ἐν πᾶσιν εὐδοκιμοῦντα, ὁ Πατὴρ τοῦ Χριστοῦ, δι' αὐτοῦ τοῦ Μονογενοῦς φυλάττοι ἐπὶ μήκιστον βίου χρόνον, εἰς ὠφέλειαν τῆς τοῦ Θεοῦ Ἐκκλησίας. Ἔρρωσο ἐν Κυρίῳ, καὶ προσεύχου, ἵνα τελειωθῶ.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ

ΠΕΡΙ ΒΑΠΤΙΣΜΑΤΟΣ

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, Ἐκκλησίᾳ Θεοῦ ἠλεημένῃ, ἐν πίστει καὶ ὑπομονῇ, καὶ ἀγάπῃ ἀνυποκρίτῳ, τῇ οὔσῃ ἐν Φιλίπποις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, «ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν.[2]»

I. Μεμνημένοι τῆς ἀγάπης ὑμῶν καὶ τῆς ἐν Χριστῷ σπουδῆς, ἧς ἐνεδείξασθε εἰς ἡμᾶς, πρέπον ἡγησάμεθα γράψαι πρὸς τὴν φιλάδελφον ὑμῶν κατὰ Θεὸν ψυχικὴν ἀγάπην, ὑπομιμνήσκειν ὑμᾶς τοῦ ἐν Χριστῷ ὑμῶν δρόμου, ἵνα τὸ αὐτὸ λέγητε πάντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, τῷ αὐτῷ κανόνι τῆς πίστεως στοιχοῦντες, ὡς Παῦλος ὑμᾶς ἐνουθέτει.[3] «Εἷ γὰρ εἷς ἐστιν ὁ τῶν ὅλων Θεός, ὁ Πατὴρ τοῦ Χριστοῦ, ἐξ οὗ τὰ πάντα· εἷς δὲ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ τῶν ὅλων Κύριος, δι' οὗ τὰ πάντα·[4]» ἓν δὲ καὶ Πνεῦμα ἅγιον[5], τὸ ἐνεργῆσαν ἐν Μωσῇ καὶ προφήταις καὶ ἀποστόλοις· ἓν δὲ καὶ τὸ βάπτισμα, τὸ εἰς τὸν θάνατον τοῦ Κυρίου διδόμενον· μία δὲ καὶ ἡ ἐκλεκτὴ Ἐκκλησία· μία ὀφείλει εἶναι καὶ ἡ κατὰ Χριστὸν πίστις· «Εἷς γὰρ Κύριος, μία πίστις, ἓν βάπτισμα· εἷς Θεὸς καὶ Πατὴρ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν.[6]»

II. Εἷς οὖν ὁ Θεὸς καὶ Πατὴρ καὶ οὐ δύο, οὐδὲ τρεῖς· εἷς ὁ ὤν, καὶ οὐκ ἔστι πλὴν αὐτοῦ, ὁ μόνος ἀληθινός. «Κύριος γάρ, φησίν, ὁ Θεός σου, Κύριος εἷς ἐστι.[7]» Καὶ πάλιν· «Οὐχ εἷς Θεὸς ἔκτισεν ἡμᾶς; οὐχ εἷς Πατὴρ πάντων ἡμῶν;[8]» Εἷς δὲ καὶ Υἱός, Λόγος Θεός. Ὁ Μονογενὴς γάρ, φησίν, «ὁ ὢν εἰς τοὺς κόλπους τοῦ Πατρός.[9]» Καὶ πάλιν· «Εἷς Κύριος Ἰησοῦς Χριστός.[10]» Καὶ ἐν ἄλλῳ· «Τί ὄνομα αὐτῷ, ἢ τί ὄνομα τῷ Υἱῷ, ἵνα γνῶμεν;[11]» Εἷς δὲ καὶ ὁ Παράκλητος. Ἓν γάρ, φησί, καὶ Πνεῦμα[12], ἐπειδὴ ἐκλήθημεν ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ἡμῶν. Καὶ πά-

1. Κολ. 4, 15. 2. Α' Τιμ. 4, 10. 3. Πρβλ. Α' Κορ. 1, 10. Φιλιπ. 2, 2. 3, 16. 4. Α' Κορ. 8, 6. 5. Α' Κορ. 12, 1. 6. Ἐφ. 4, 5. 7. Δευτ. 6, 4. 8. Μαλ. 2. 10. 9. Ἰω. 1, 18. 10. Α' Κορ. 8, 6. 11. Παρμ. 30, 4. 12. Ἐφ. 4, 4.

λιν· «Ἓν Πνεῦμα ἐποτίσθημεν, καὶ τὰ ἑξῆς. Πάντα δὲ ταῦτα τὰ χαρίσματα δῆλον ὅτι ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα.[1] Οὔτε οὖν τρεῖς Πατέρες, οὔτε τρεῖς Υἱοί, οὔτε τρεῖς Παράκλητοι· ἀλλ' εἷς Πατήρ, καὶ εἷς Υἱός, καὶ εἷς Παράκλητος. Διὸ καὶ Κύριος ἀποστέλλων τοὺς ἀποστόλους μαθητεῦσαι πάντα τὰ ἔθνη, ἐνετείλατο αὐτοῖς «βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος·[2]» οὔτε εἰς ἕνα τριώνυμον, οὔτε εἰς τρεῖς ἐνανθρωπήσαντας, ἀλλ' εἰς τρεῖς ὁμοτίμους.

III. Εἷς γὰρ ὁ ἐνανθρωπήσας, οὔτε ὁ Πατήρ, οὔτε ὁ Παράκλητος, ἀλλὰ μόνος ὁ Υἱός· οὐ δοκήσει, οὐ φαντασίᾳ, ἀλλ' ἀληθείᾳ. «Ὁ Λόγος γὰρ σὰρξ ἐγένετο.[3]» «Ἡ γὰρ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον.[4]» Καὶ ἐγεννήθη ὡς ἄνθρωπος, ὁ Θεὸς Λόγος, μετὰ σώματος, ἐκ τῆς Παρθένου, ἄνευ ὁμιλίας ἀνδρός. «Ἡ Παρθένος γὰρ ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν.[5]» Ἀληθῶς οὖν ἐγεννήθη, ἀληθῶς ηὐξήθη, ἀληθῶς ἔφαγε καὶ ἔπιεν, ἀληθῶς ἐσταυρώθη καὶ ἀπέθανε καὶ ἀνέστη. Ὁ ταῦτα πιστεύσας, ὡς ἔχει, ὡς γεγένηται, μακάριος. Ὁ ταῦτα μὴ πιστεύων, ἐναγής, οὐχ ἧττον τῶν τὸν Κύριον σταυρωσάντων. Ὁ γὰρ ἄρχων τοῦ κόσμου τούτου χαίρει, ὅταν τις ἀρνῆται τὸν σταυρόν. Ὄλεθρον γὰρ ἑαυτοῦ γινώσκει τὴν ὁμολογίαν τοῦ σταυροῦ· τοῦτο γάρ ἐστι τὸ τρόπαιον κατὰ τῆς αὐτοῦ δυνάμεως· ὅπερ ὁρῶν φρίττει, καὶ ἀκούων φοβεῖται.

IV. Καὶ πρὶν μὲν γένηται ὁ σταυρός, ἔσπευδε γενέσθαι τοῦτον· καὶ ἐνήργει ἐν «τοῖς υἱοῖς τῆς ἀπειθείας·[6]» ἐνήργει ἐν Ἰούδᾳ, ἐν Φαρισαίοις, ἐν Σαδδουκαίοις, ἐν πρεσβύταις, ἐν νέοις, ἐν ἱερεῦσι. Μέλλοντος δὲ γίνεσθαι, θορυβεῖται, καὶ μετάμελον ἐμβάλλει τῷ προδότῃ, καὶ βρόχον αὐτῷ δείκνυσι, καὶ ἀγχόνην διδάσκει· φοβεῖ δὲ καὶ τὸ γύναιον, ἐν ὀνείροις αὐτὸ καταταράττων, καὶ παύειν πειρᾶται τὰ μετὰ τὸν σταυρόν, ὁ πάντα κάλων κινῶν εἰς τὴν αὐτοῦ κατασκευήν, οὐ μεταγινώσκων ἐπὶ τῷ τοσούτῳ κακῷ· ἦ γὰρ ὤν, οὐ πάντα ἦν πονηρός· ἀλλ' ἐπῄσθετο τῆς ἑαυτοῦ ἀπωλείας. Ἀρχὴ γὰρ αὐτῷ καταδίκης, ὁ τοῦ Χριστοῦ σταυρός, ἀρχὴ θανάτου, ἀρχὴ ἀπωλείας. Διὸ καὶ ἔν τισιν ἐνεργεῖ ἀρνεῖσθαι τὸν σταυρόν, τὸ πάθος ἐπαισχύνεσθαι, τὸν θάνατον δόκησιν καλεῖν, τὴν ἐκ Παρθένου γέννησιν περικόπτειν, τὴν φύσιν αὐτὴν διαβάλλειν ὡς μυσαράν. Ἰουδαίοις συμμαχεῖ εἰς ἄρνησιν τοῦ Σταυροῦ. Ἕλλησιν εἰς συκοφαντίαν μαγείας, αἱρετικοῖς εἰς φαντασίαν. Ποικίλος γάρ ἐστιν ὁ τῆς κακίας στρατηγός, κλεψίνους, ἄστατος, ἑαυτῷ ἐναντίος· καὶ ἄλλα μὲν προβαλλόμενος, ἕτερα δὲ δεικνύς. Σοφὸς γάρ ἐστι τοῦ κακοποιῆσαι, τὸ δὲ καλὸν ὅ τί ποτέ ἐστιν ἀγνοεῖ. Ἀγνοίας γὰρ πεπλήρωται, δι' ἑκούσιον παράνοιαν· πῶς γὰρ οὐκ ἔστι τοιοῦτος, ὃς μηδὲ πρὸ ποδῶν τῶν ἑαυτοῦ λόγον βλέπει;

1. Α' Κορ. 12, 13, 11. 2. Ματθ. 28, 19. 3. Ἰω. 1, 14. 4. Παρμ. 9, 17. 5. Ἠσ. 7, 14. 6. Ἐφ. 2, 2.

V. Εἰ γὰρ ψιλὸς ἄνθρωπος ὁ Κύριος, ἐκ ψυχῆς καὶ σώματος μόνον, τί περικόπτεις τὴν γέννησιν τῆς κοινῆς τῶν ἀνθρώπων φύσεως; Τί δέ, ὡς παράδοξόν τι ἐπ' ἀνθρώπου γενόμενον, τὸ πάθος, δόκησιν καλεῖς; καὶ τὸν θάνατον τοῦ θνητοῦ, δόξαν νομίζεις; Εἰ δὲ Θεὸς καὶ ἄνθρωπος, τί παράνομον καλεῖς «τὸν τῆς δόξης Κύριον [1]», τὸν τῇ φύσει ἄτρεπτον; τί παράνομον λέγεις τὸν νομοθέτην, τὸν ἀνθρωπείαν ψυχὴν ἔχοντα; «Ὁ Λόγος σὰρξ ἐγένετο [2]», καὶ τέλειος ἄνθρωπος, οὐκ ἐν ἀνθρώπῳ κατοικήσας. Πῶς δὲ καὶ μάγος οὗτος, ὁ πάλαι μὲν πᾶσαν αἰσθητὴν καὶ νοητὴν φύσιν κατασκευάσας γνώμῃ Πατρός, ἐν δὲ τῇ ἐνανθρωπήσει, «πᾶσαν νόσον καὶ μαλακίαν θεραπεύσας; [3]»

VI. Πῶς δὲ οὐχ οὗτος Θεός, ὁ νεκροὺς ἀνιστῶν, χωλοὺς ἀρτίους ἀποστέλλων, λεπροὺς καθαρίζων, τυφλοὺς ὀμματῶν, τὰ ὄντα ἢ αὔξων, ἢ μεταβάλλων· ὡς τοὺς πέντε ἄρτους, καὶ τοὺς δύο ἰχθύας, καὶ τὸ ὕδωρ εἰς οἶνον· τὸν σὸν στρατὸν ῥήματι μόνον φυγαδεύων; Τί δὲ κακίζεις τὴν φύσιν τῆς Παρθένου, καὶ τὰ μόρια ἀποκαλεῖς αἰσχρά; πάλαι ταῦτα πομπεύων, καὶ γυμνοῦσθαι κελεύων, ἄρρενας μὲν εἰς ὄψιν θηλειῶν, θηλείας δὲ εἰς ἀκόλαστον ἐπιθυμίαν ἀρρένων. Νῦν αἰσχρά σοι ταῦτα νενόμισται, καὶ σεμνὸς εἶναι προσποιῇ, σὺ τὸ τῆς πορνείας πνεῦμα, ἀγνοῶν ὅτι τότε γίνεται αἰσχρόν τι, ὅταν παρανομίᾳ ῥυπανθῇ· ἁμαρτίας δὲ ἀπούσης, οὐδὲν τῶν γενομένων αἰσχρόν, οὐδὲν φαῦλον, ἀλλὰ πάντα καλὰ λίαν. Καὶ σὺ μὴ βλέπων, κακίζεις αὐτά.

VII. Πῶς δὲ πάλιν οὐκ ἔτι σοι δοκεῖ ὁ Χριστὸς εἶναι ἐκ τῆς Παρθένου, ἀλλ' ὁ ἐπὶ πάντων Θεὸς ὁ ὢν ὁ παντοκράτωρ; Τίς οὖν ὁ τοῦτον ἀποστείλας, εἰπέ· τίς ὁ τούτου κυριεύων; γνώμῃ δὲ τίνος οὗτος ἐπειθάρχησε; νόμων δὲ ποίων πληρωτὴς γέγονεν, ὁ μήτε γνώμῃ τινὸς μήτε ἐξουσίᾳ εἴκων καὶ τὸν Χριστὸν ἐξαιρῶν τῆς γεννήσεως, τὸν ἀγέννητον νομοθετεῖς γεγενῆσθαι, καὶ σταυρῷ προσηλῶσθαι τὸν ἄναρχον· τίνος συγχωρήσαντος, οὐκ ἔχω εἰπεῖν. Ἀλλὰ γὰρ οὐ λέληθάς με τοῦ παλιμβόλου· οὐδ' ἀγνοῶ, ὅτι διὰ λοξὰ καὶ δίδυμα βαίνεις. Ἀγνοεῖς δὲ σὺ τίς ὁ γεννηθείς, ὁ πᾶν εἰδέναι προσποιούμενος.

VIII. Πολλὰ γάρ σε λανθάνει· ἡ παρθενία Μαρίας· ὁ παράδοξος τοκετός, ὅστις ὁ ἐν τῷ σώματι, ὁ ἡγούμενος ἀστὴρ τῶν ἐν ἀνατολῇ, τῶν τὰ δῶρα κομιζόντων μάγων, ἀρχαγγέλου ἀσπασμὸς πρὸς Παρθένον. Παρθένου παράδοξος σύλληψις μεμνηστευμένης, παιδὸς προδρόμου κηρυκεία ἐπὶ τῷ ἐκ τῆς Παρθένου, καὶ ἐν κοιλίᾳ σκίρτησις ἐκ τοῦ προθεωρουμένου· ἀγγέλων ὕμνοι ἐπὶ τῷ τεχθέντι· ποιμένων εὐαγγελία. Ἡρώδου φόβος ἐπὶ ἀφαιρέσει βασιλείας, νηπιοκτόνων πρόσταγμα· εἰς Αἴγυπτον μετανάστασις, ἐκεῖθεν ἐπὶ τὰ τῆδε ἐπάνοδος, σπάργανα παιδικά, ἀπογραφὴ ἀνθρωπίνη, γαλακτοτροφία, ὄνομα πατρὸς οὐ σπείραντος· φάτναι, διὰ τὸ μὴ εἶναι τόπον· οὐδεμία παρασκευὴ ἀνθρωπίνη, αὐξήσεως προκοπή, ἀνθρώπινα ῥήματα, πεῖνα,

1. Α' Κορ. 2, 8. 2. Ἰω. 1, 14. 3. Ματθ. 4, 23.

δίψα, ὁδοιπορία, κόπος, θυσιῶν προσκομιδαί· ἔπειτα καὶ περιτομή, βάπτισμα· φωνὴ Θεοῦ ἐπὶ τῷ βαπτιζομένῳ, ὅστις καὶ πόθεν, μαρτυρία Πνεύματος καὶ Πατρὸς ὑπεράνωθεν· φωνὴ Ἰωάννου προφήτου, σημαίνουσα πάθος διὰ τῆς τοῦ Ἀμνοῦ προσηγορίας· σημείων διαφόρων ἐνέργειαι, ἰάσεις ποικίλαι· ἐπιτίμησις δεσποτική, προστάττουσα θαλάττῃ καὶ ἀνέμοις· πνεύματα πονηρὰ φυγαδευόμενα, σεαυτὸν στρεβλούμενον, ἐκ τῆς τοῦ φαινομένου δυνάμεως αἰκιζόμενον, οὐκ ἔχοντα ὅ τι ποιήσῃς.

IX. Ταῦθ' ὁρῶν, ἰλιγγιᾷς. Καὶ ὅτι παρθένος ἡ τεκοῦσα, ἠγνόεις· ἀλλ' ἐξέπληττέ σε ἡ τῶν ἀγγέλων ὑμνολογία, ἡ τῶν μάγων προσκύνησις, ἡ τοῦ ἀστέρος ἐπιτολή. Εἰς ἄγνοιαν σὺ παλινδρομεῖς, διὰ τὰ εὐτελῆ· μικρὰ γάρ σοι δοκεῖ σπάργανα, πάθη, περιτομή, γαλακτοτροφία· ἀνάξιά σοι ταῦτα κατὰ Θεοῦ κατεφαίνετο. Πάλιν εἶδες ἄνθρωπον, τεσσαράκοντα ἡμέρας καὶ νύκτας ἄγευστον μείναντα τροφῆς ἀνθρωπίνης, ἀγγέλους διακονοῦντας, οὓς καὶ ἔφριττες, ἰδὼν πρῶτον, ὡς κοινὸν ἄνθρωπον, βαπτιζόμενον, καὶ τὴν αἰτίαν ἀγνοῶν. Μετὰ δὲ τὴν νηστείαν πεινῶντα κατεθάρσεις πάλιν, καὶ ἐπείραζες ὡς κοινὸν ἄνθρωπον, ἀγνοῶν ὅστις εἴη. Ἔλεγες γάρ· «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.[1]» Τὸ γάρ, Εἰ Υἱὸς εἶ, ἀγνοίας ἐστίν. Εἰ γὰρ ὄντως ἐγίνωσκες, ἠπίστω ὅτι δημιουργῷ καὶ τὸ μὴ ὂν ποιῆσαι, καὶ τὸ ὂν μεταβαλεῖν, ἐπ' ἴσης δυνατόν. Καὶ διὰ γαστρὸς πειράζεις τὸν τρέφοντα πάντας τοὺς τροφῆς δεομένους· καὶ πειράζεις «τὸν τῆς δόξης Κύριον[2]», ἐπιλαθόμενος ἐκ κακονοίας, ὅτι «οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ[3]». Εἰ γὰρ ἐγίνωσκες ὅτι Υἱὸς Θεοῦ ἦν, ἐγίνωσκες ὅτι ὁ ἐν τεσσαράκοντα ἡμέραις καὶ ἰσαρίθμοις νυξὶ ἀνενδεὲς ποιήσας τὸ σῶμα, καὶ εἰς τὸ διηνεκὲς ἐδύνατο τοῦτο ποιῆσαι. Διὰ τί οὖν πεινᾷ; ἵνα δείξῃ, ὅτι κατ' ἀλήθειαν ἀνέλαβε σῶμα ὁμοιοπαθὲς ἀνθρώποις. Διὰ μὲν τοῦ πρώτου, ἔδειξεν ὅτι Θεός· διὰ δὲ τοῦ δευτέρου, ὅτι καὶ ἄνθρωπος.

X. Σὺ οὖν ὁ ἐκπεσὼν ἐκ τῆς ὑψηλοτάτης δόξης, ὡς ἀστραπή[4], τολμᾷς λέγειν τῷ Κυρίῳ· «Βάλλε σεαυτὸν ἐντεῦθεν κάτω·[5]» ᾧ τὰ ἐνόντα λελόγισται ὡς μὴ ὄντα·[6] καὶ εἰς κενοδοξίαν προκαλέσαι τὸν οὐκ ἐπιδεικτιῶντα; Καὶ προσποιῇ τὴν Γραφὴν ἀναγινώσκειν περὶ αὐτοῦ· «Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, τοῦ μὴ προσκόψαι πρὸς λίθον τὸν πόδα σου;[7]» Καὶ τὰ λοιπὰ προσποιῇ ἀγνοεῖν, κλέπτων ἃ περὶ σοῦ καὶ τῶν σῶν προπόλων προεφήτευσεν. «Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.[8]»

XI. Εἰ τοίνυν σὺ πάτημα τῶν ποδῶν τοῦ Κυρίου, πῶς πειράζεις τὸν ἀπείραστον, ἐπιλαθόμενος τοῦ νομοθέτου παρακελευομένου, ὅτι·

---

1. Ματθ. 4, 3. 2. Α' Κορ. 2, 8. 3. Ματθ. 4, 4. 4. Λουκ. 10, 18. 5. Ματθ. 4, 6. 6. Πρβλ. Ῥωμ. 4. 17. 7. Ματθ. 4, 6. 8. Ψαλμ. 90, 13.

«Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου;[1]» Ἀλλὰ καὶ τολμᾷς, ἐναγέστατε, τὰ τοῦ Θεοῦ ἔργα οἰκειοῦσθαι, καί σοι παραδεδόσθαι λέγειν τὴν τούτων ἀρχήν· καὶ τὴν σὴν πτῶσιν προτείνεις τῷ Κυρίῳ, καὶ διδόναι τὰ αὐτοῦ αὐτῷ ἐπαγγέλλῃ, «ἐὰν πεσὼν ἐπὶ τῆς γῆς προσκυνήσῃ σοι.[2]» Καὶ πῶς οὐκ ἔφριξας τοιαύτην φωνὴν κατὰ τοῦ Δεσπότου προϊέσθαι, ὦ πάντων πονηρῶν πνευμάτων πονηρότερον ἐκ κακονοίας πνεῦμα; Διὰ γαστρὸς ἡττήθης, καὶ διὰ κενοδοξίας ἠτιμάσθης· διὰ φιλοχρηματίας καὶ φιλαρχίας εἰς ἀσέβειαν ἐφέλκῃ. Σὺ ὁ Βελίαρ, ὁ δράκων, ὁ ἀποστάτης, ὁ σκολιὸς ὄφις, ὁ τοῦ Θεοῦ ἀποστάς, ὁ τοῦ Χριστοῦ χωρισθείς, ὁ τοῦ ἁγίου Πνεύματος ἀλλοτρωθείς, ὁ τοῦ χοροῦ τῶν ἀγγέλων ἐξωσθείς, ὁ τῶν νόμων τοῦ Θεοῦ ὑβριστής, ὁ τῶν νομίμων ἐχθρός, ὁ τοῖς πρωτοπλάστοις ἐπαναστὰς καὶ τῆς ἐντολῆς ἐξώσας τοὺς οὐδὲν ἀδικήσαντάς σε, ὁ τῷ Ἄβελ ἐπαναστήσας τὸν ἀνθρωποκτόνον Κάϊν, ὁ τῷ Ἰὼβ ἐπιστρατεύσας, λέγεις τῷ Κυρίῳ· Ἐὰν πεσὼν προσκυνήσῃς μου; Ὦ τῆς τόλμης, ὢ τῆς παραπληξίας! δοῦλος δραπέτης, δοῦλος μαστιγίας, ἀφηνιᾷς τοῦ καλοῦ δεσπότου; Δεσπότῃ τηλικούτῳ, Θεῷ πάντων τῶν νοητῶν καὶ αἰσθητῶν λέγεις· Ἐὰν πεσὼν προσκυνήσῃς μοι.

XII. Ὁ δὲ Κύριος μακροθυμεῖ, καὶ οὐκ εἰς τὸ μὴ ὂν ἀναιρεῖ τὸν ἀπὸ ἀγνοίας τοιαῦτα θρασυνόμενον, ἀλλὰ πράως ἀποκρίνεται· «Ὕπαγε, Σατανᾶ.[3]» Οὐκ εἶπεν· Ὕπαγε ὀπίσω μου· οὐ γὰρ ὑποστρέψαι οἷός τε· ἀλλά· Ὕπαγε, Σατανᾶ, ἐν οἷς ἐπελέξω, ὕπαγε ἐν οἷς ἠρεθίσθης ἐκ κακονοίας. Ἐγὼ γὰρ ὅστις εἰμὶ γινώσκω, καὶ ὑπὸ τίνος ἀπέσταλμαι, καὶ ὃν χρὴ προσκυνεῖν ἐπίσταμαι. «Κύριον γὰρ τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.[4]» Οἶδα τὸν ἕνα, ἐπίσταμαι τὸν μόνον, οὗ σὺ ἀποστάτης γέγονας. Οὐκ εἰμὶ ἀντίθεος. Ὁμολογῶ τὴν ὑπεροχήν· ἐπίσταμαι τὸν τῆς ἐμῆς γεννήσεως αἴτιον, τὸν Πατέρα.

XIII. Ταῦτα, ἀδελφοί, ἀπὸ διαθέσεως τῆς πρὸς ὑμᾶς, ἠναγκάσθη ἐπιστεῖλαι, εἰς δόξαν Θεοῦ παραινῶν, οὐχ ὡς ὤν τι, ἀλλ᾽ ὡς ἀδελφός. Ὑποτάσσεσθε τῷ ἐπισκόπῳ, τοῖς πρεσβυτέροις, τοῖς διακόνοις. Ἀγαπᾶτε ἀλλήλους ἐν Κυρίῳ, ὡς Θεοῦ ἀγάλματα. Ὁρᾶτε, οἱ ἄνδρες, ὡς ἴδια μέλη τὰς γαμετὰς στέργετε. Αἱ γυναῖκες, ὡς ἓν οὖσαι τῇ συναφείᾳ, στέργετε τοὺς ἑαυτῶν ἄνδρας. Εἴ τις ἁγνεύει, ἢ ἐγκρατεύεται, μὴ ἐπαιρέσθω, ἵνα μὴ ἀπολέσῃ τὸν μισθόν. Τὰς ἑορτὰς μὴ ἀτιμάζετε. Τὴν τεσσαρακοστὴν μὴ ἐξουθενεῖτε, μίμησιν γὰρ περιέχει τῆς τοῦ Κυρίου πολιτείας. Μετὰ τὴν τοῦ Πάθους ἑβδομάδα, μὴ παρορᾶτε τετράδα καὶ παρασκευήν, νηστεύοντες, πένησιν ἐπιχορηγοῦντες τὴν περισσείαν. Εἴ τις Κυριακὴν ἢ Σάββατον νηστεύει, πλὴν ἑνὸς Σαββάτου τοῦ Πάσχα, οὗτος Χριστοκτόνος ἐστίν.

XIV. Αἱ προσευχαὶ ὑμῶν ἐκταθείησαν εἰς τὴν Ἀντιοχείας Ἐκκλησίαν, ὅθεν καὶ δέσμιος ἀπάγομαι εἰς Ῥώμην. Ἀσπάζομαι τὸν

1. Δευτ. 6, 16. 2. Ματθ. 4, 9. 3. Ματθ. 4. 10. 4. Δευτ. 6, 13. Ματθ. 4, 10.

ἅγιον ἐπίσκοπον Πολύκαρπον· ἀσπάζομαι τὸν ἅγιον ἐπίσκοπον Βιτάλιον, καὶ τὸ ἱερὸν πρεσβυτέριον, καὶ τοὺς συνδούλους μου τοὺς διακόνους· ὧν ἐγὼ ἀντίψυχος γενοίμην. Ἔτι συντάσσομαι τῷ ἐπισκόπῳ καὶ τοῖς πρεσβυτέροις ἐν Κυρίῳ. Εἴ τις μετὰ Ἰουδαίων ἐπιτελεῖ τὸ Πάσχα, ἢ τὰ σύμβολα τῆς ἑορτῆς αὐτῶν δέχεται, κοινωνός ἐστι τῶν ἀποκτεινάντων τὸν Κύριον καὶ τοὺς ἀποστόλους αὐτοῦ.

XV. Ἀσπάζονται ὑμᾶς Φίλων καὶ Ἀγαθόπους οἱ διάκονοι. Ἀσπάζομαι τὸ σύστημα τῶν παρθένων, τὸ τάγμα τῶν χηρῶν· ὧν καὶ ὀναίμην. Ἀσπάζομαι τὸν λαὸν Κυρίου, ἀπὸ μικροῦ ἕως μεγάλου. Ἀπέστειλα ὑμῖν ταῦτά μου τὰ γράμματα διὰ Εὐφανίου τοῦ ἀναγνώστου, ἀνδρὸς θεοτιμήτου καὶ πιστοτάτου, συντυχὼν περὶ Ῥηγειόνα, ἀναγομένου ἐν πλοίῳ. «Μέμνησθέ μου τῶν δεσμῶν [1]», ἵνα τελειωθῶ ἐν Χριστῷ. Ἔρρωσθε σαρκί, ψυχῇ, πνεύματι, τέλεια φρονοῦντες, ἀποστρεφόμενοι τοὺς ἐργάτας τῆς ἀνομίας [2], καὶ τοῦ λόγου τῆς ἀληθείας φθορεῖς, ἐνδυναμούμενοι ἐν τῇ χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

---

1. Κολ. 4, 18. 2. Πρβλ. Ματθ. 7, 23. Λουκ. 13, 27.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ* ΙΓΝΑΤΙΟΥ ΤΟΥ ΘΕΟΦΟΡΟΥ

Ἄρτι διαδεξαμένου τὴν Ῥωμαίων ἀρχὴν Τραϊανοῦ, Ἰγνάτιος, ὁ τοῦ ἀποστόλου Ἰωάννου μαθητής, ἀνὴρ ἦν τοῖς πᾶσιν ἀποστολικός, καὶ ἐκυβέρνα τὴν Ἐκκλησίαν Ἀντιοχέων ἐπιμελῶς, τοὺς πάλαι χειμῶνας μόλις παραγαγὼν τῶν πολλῶν ἐπὶ Δομετιανοῦ διωγμῶν, καθάπερ κυβερνήτης ἀγαθός, τῷ οἴακι τῆς προσευχῆς καὶ τῆς νηστείας, καὶ τῇ συνεχείᾳ τῆς διδασκαλίας, τῷ τόνῳ τῷ πνευματικῷ, πρὸς τὴν ζάλην τὴν ἀντικειμένην ἀντεῖχεν· δεδοικώς, μή τινα τῶν ὀλιγοψύχων ἢ ἀκεραιοτέρων ἀποβάλῃ. Τοιγαροῦν ηὐφραίνετο μὲν ἐπὶ τῷ τῆς Ἐκκλησίας ἀσαλεύτῳ, λωφήσαντος πρὸς ὀλίγον τοῦ διωγμοῦ· ἤσχαλλεν δὲ καθ' ἑαυτόν, ὡς μήπω τῆς ὄντως εἰς Χριστὸν ἀγάπης ἐφαψάμενος, μηδὲ τῆς τελείας τοῦ μαθητοῦ τάξεως. Ἐνενόει γὰρ τὴν διὰ μαρτυρίου γινομένην ὁμολογίαν πλεῖον αὐτὸν προσοικειοῦσαν τῷ Κυρίῳ. Ὅθεν ἔτεσιν ὀλίγοις ἔτι παραμένων τῇ Ἐκκλησίᾳ, καὶ λύχνου δίκην θεϊκοῦ τὴν ἑκάστου φωτίζων διάνοιαν διὰ τῆς τῶν θείων Γραφῶν ἐξηγήσεως, ἐπετύγχανεν τῶν κατ' εὐχήν.

Τραϊανοῦ γὰρ μετὰ ταῦτα ἐνάτῳ ἔτει τῆς αὐτοῦ βασιλείας, ἐπαρθέντος ἐπὶ τῇ νίκῃ τῇ κατὰ Σκυθῶν καὶ Δακῶν καὶ ἑτέρων πολλῶν ἐθνῶν, καὶ νομίσαντος ἔτι λείπειν αὐτῷ πρὸς πᾶσαν ὑποταγὴν τὸ τῶν Χριστιανῶν θεοσεβὲς σύστημα, καὶ εἰ μὴ τὴν τῶν δαιμόνων ἕλοιντο λατρείαν μετὰ πάντων ὑπεισιέναι τῶν ἐθνῶν, διωγμὸν ὑπομένειν ἀπειλήσαντος, πάντας τοὺς εὐσεβῶς ζῶντας ἢ θύειν ἢ τελευτᾶν κατηνάγκαζεν. Τότε τοίνυν φοβηθεὶς ὑπὲρ τῆς Ἀντιοχέων Ἐκκλησίας ὁ γενναῖος τοῦ Χριστοῦ στρατιώτης, ἑκουσίως ἤγετο πρὸς Τραϊανόν, διάγοντα μὲν κατ' ἐκεῖνον τὸν καιρὸν κατὰ τὴν Ἀντιόχειαν, σπουδάζοντα δὲ ἐπὶ Ἀρμενίαν καὶ Πάρθους. Ὡς δὲ κατὰ πρόσωπον ἔστη Τραϊανοῦ τοῦ βασιλέως· «Τίς εἶ, κακόδαιμον, τὰς ἡμετέρας σπουδάζων διατάξεις ὑπερβαίνειν, μετὰ τὸ καὶ ἑτέρους ἀναπείθειν, ἵνα κακῶς ἀπολῶνται;» Ἰγνάτιος εἶπεν· «Οὐδεὶς Θεοφόρον ἀποκαλεῖ κακοδαίμονα· ἀφεστήκασι γὰρ ἀπὸ τῶν δούλων τοῦ Θεοῦ τὰ δαιμόνια. Εἰ δέ, ὅτι τούτοις ἐπαχθής εἰμι, καὶ κακόν με πρὸς τοὺς δαίμονας ἀποκαλεῖς, συνομολογῶ. Χριστὸν γὰρ ἔχων ἐπουράνιον βασιλέα, τὰς τούτων καταλύω ἐπιβουλάς.» Τραϊανὸς εἶπεν· «Καὶ τίς ἐστι Θεοφόρος;» Ἰγνάτιος ἀπεκρίνατο· «Ὁ Χριστὸν ἔχων ἐν στέρνοις.» Τραϊανὸς εἶπεν· «Ἡμεῖς οὖν σοι δοκοῦμεν κατὰ νοῦν

* Περὶ τούτου ἰδὲ σελ. 263.

μὴ ἔχειν θεούς, οἷς καὶ χρώμεθα συμμάχοις πρὸς τοὺς πολεμίους;» Ἰγνάτιος εἶπεν· «Τὰ δαιμόνια τῶν ἐθνῶν θεοὺς προσαγορεύεις πλανώμενος· εἷς γάρ ἐστιν ὁ Θεός, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ εἷς Χριστὸς Ἰησοῦς, ὁ Υἱὸς τοῦ Θεοῦ ὁ μονογενής, οὗ τῆς βασιλείας ὀναίμην!» Τραϊανὸς εἶπεν· «Τὸν σταυρωθέντα λέγεις ἐπὶ Ποντίου Πιλάτου;» Ἰγνάτιος εἶπεν· «Τὸν ἀνασταυρώσαντα τὴν ἐμὴν ἁμαρτίαν μετὰ τοῦ ταύτης εὑρετοῦ, καὶ πᾶσαν καταδικάσαντα δαιμονικὴν πλάνην καὶ κακίαν ὑπὸ τοὺς πόδας τῶν αὐτὸν ἐν καρδίᾳ φορούντων.» Τραϊανὸς εἶπεν· «Σὺ οὖν ἐν ἑαυτῷ φέρεις τὸν σταυρωθέντα;» Ἰγνάτιος εἶπεν· «Ναί· γέγραπται γάρ· Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω.[1]» Τραϊανὸς ἀπεφήνατο· «Ἰγνάτιον προσετάξαμεν, τὸν ἐν ἑαυτῷ λέγοντα περιφέρειν τὸν ἐσταυρωμένον, δέσμιον ὑπὸ στρατιωτῶν γενόμενον ἄγεσθαι παρὰ τὴν μεγάλην Ῥώμην, βρῶμα γενησόμενον θηρίων εἰς τέρψιν τοῦ δήμου.» Ταύτης ὁ ἅγιος μάρτυς ἐπακούσας τῆς ἀποφάσεως, μετὰ χαρᾶς ἐβόησεν· «Εὐχαριστῶ σοι, Δέσποτα, ὅτι με τελείᾳ τῇ πρὸς σὲ ἀγάπῃ τιμῆσαι κατηξίωσας, τῷ ἀποστόλῳ σου Παύλῳ δεσμοῖς συνδήσας σιδηροῖς.» Ταῦτα εἰπών, καὶ μετ' εὐφροσύνης περιθέμενος τὰ δεσμά, ἐπευξάμενος πρότερον τῇ Ἐκκλησίᾳ, καὶ ταύτην παραθέμενος μετὰ δακρύων τῷ Κυρίῳ, ὥσπερ κριὸς ἐπίσημος, ἀγέλης καλῆς ἡγούμενος, ὑπὸ θηριώδους στρατιωτικῆς δεινότητος συνηρπάζετο, θηρίοις αἱμοβόροις ἐπὶ τὴν Ῥώμην ἀπαχθησόμενος πρὸς βοράν.

Μετὰ πολλῆς τοίνυν προθυμίας καὶ χαρᾶς, ἐπιθυμίᾳ τοῦ πάθους, κατελθὼν ἀπὸ Ἀντιοχείας εἰς τὴν Σελεύκειαν, ἐκεῖθεν εἴχετο τοῦ πλοός· καὶ προσχὼν μετὰ πολὺν κάματον τῇ Σμυρναίων πόλει, σὺν πολλῇ χαρᾷ καταβὰς τῆς νηός, ἔσπευδε τὸν ἅγιον Πολύκαρπον, τὸν Σμυρναίων ἐπίσκοπον, τὸν συνακροατήν, θεάσασθαι· ἐγεγόνεισαν γὰρ πάλαι μαθηταὶ τοῦ ἁγίου ἀποστόλου Ἰωάννου. Παρ' ᾧ καταχθείς, καὶ πνευματικῶν αὐτῷ κοινωνήσας χαρισμάτων, καὶ τοῖς δεσμοῖς ἐγκαυχώμενος, παρεκάλει συναθλεῖν τῇ αὐτοῦ προθέσει, μάλιστα μὲν κοινῇ πᾶσαν Ἐκκλησίαν (ἐδεξιοῦντο γὰρ τὸν ἅγιον διὰ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων καὶ διακόνων αἱ τῆς Ἀσίας πόλεις καὶ Ἐκκλησίαι, πάντων ἐπειγομένων πρὸς αὐτόν, εἴ πως μέρος χαρίσματος λάβωσι πνευματικοῦ), ἐξαιρέτως δὲ τὸν ἅγιον Πολύκαρπον, ἵνα, διὰ τῶν θηρίων θᾶττον ἀφανὴς τῷ κόσμῳ γενόμενος, ἐμφανισθῇ τῷ προσώπῳ τοῦ Χριστοῦ.

Καὶ ταῦτα οὕτως ἔλεγεν, καὶ οὕτως διεμαρτύρατο, τοσοῦτον ἐπεκτείνων τὴν πρὸς Χριστὸν ἀγάπην, ὡς οὐρανοῦ μέλλων ἐπιλαμβάνεσθαι διὰ τῆς καλῆς ὁμολογίας καὶ τῆς τῶν συνευχομένων ὑπὲρ τῆς ἀθλήσεως σπουδῆς, ἀποδοῦναι δὲ τὸν μισθὸν ταῖς Ἐκκλησίαις ταῖς ὑπαντησάσαις αὐτῷ διὰ τῶν ἡγουμένων, γραμμάτων εὐχαρίστων

1. Λευϊτ. 26, 12. Β' Κορ. 6, 16.

ἐκπεμφθέντων πρὸς αὐτάς, πνευματικὴν μετ' εὐχῆς καὶ παραινέσεως ἀποσταζόντων χάριν. Τοιγαροῦν τοὺς πάντας ὁρῶν εὐνοϊκῶς διακειμένους περὶ αὐτόν, φοβηθείς, μή ποτε ἡ τῆς ἀδελφότητος στοργὴ τὴν πρὸς Κύριον αὐτοῦ σπουδὴν ἐκκόψῃ, καλῆς ἀνεῳχθείσης αὐτῷ θύρας τοῦ μαρτυρίου, οἷα πρὸς τὴν Ἐκκλησίαν ἐπιστέλλει Ῥωμαίων, ὑποτέτακται.

Καταρτίσας τοίνυν, ὡς ἠβούλετο, τοὺς ἐν Ῥώμῃ τῶν ἀδελφῶν ἄκοντας διὰ τῆς ἐπιστολῆς, οὕτως ἀναχθεὶς ἀπὸ τῆς Σμύρνης (κατεπείγετο γὰρ ὑπὸ τῶν στρατιωτῶν ὁ Χριστοφόρος φθάσαι τὰς φιλοτιμίας ἐν τῇ μεγάλῃ Ῥώμῃ, ἵνα ἐπ' ὄψεσι τοῦ δήμου Ῥωμαίων θηρσὶν ἀγρίοις παραδοθείς, τοῦ στεφάνου τῆς ἀθλήσεως ἐπιτύχῃ) προσέσχε τῇ Τρωάδι. Εἶτα ἐκεῖθεν καταχθεὶς ἐπὶ τὴν Νεάπολιν, διὰ Φιλίππων παρώδευεν Μακεδονίαν, καὶ περὶ τὴν Ἤπειρον τὴν πρὸς Ἐπίδαμνον, ἐν τοῖς παραθαλαττίοις νηὸς ἐπιτυχών, ἔπλει τὸ Ἀδριατικὸν πέλαγος, κἀκεῖθεν ἐπιβὰς τοῦ Τυρρηνικοῦ, καὶ παραμείβων νήσους τε καὶ πόλεις, ὑποδειχθέντων τῷ ἁγίῳ Ποτιόλων, αὐτὸς μὲν ἐξελθεῖν ἔσπευδεν, κατ' ἴχνος βαδίζειν ἐθέλων τοῦ ἀποστόλου Παύλου.[1] Ὡς δὲ ἐπιπεσὸν βίαιον πνεῦμα οὐ συνεχώρει, τῆς νηὸς ἐκ πρύμνης ἐπειγομένης, μακαρίσας τὴν ἐν ἐκείνῳ τῷ τόπῳ τῶν ἀδελφῶν ἀγάπην, οὕτω παρέπλει. Τοιγαροῦν ἐν μιᾷ ἡμέρᾳ καὶ νυκτὶ τῇ αὐτῇ οὐρίοις ἀνέμοις προσχησάμενοι, ἡμεῖς μὲν ἄκοντες ἀπηγόμεθα, στένοντες ἐπὶ τῷ ἀφ' ἡμῶν μέλλοντι χωρισμῷ τοῦ δικαίου γίνεσθαι. Τῷ δὲ κατ' εὐχὴν ἀπέβαινεν σπεύδοντι θᾶττον ἀναχωρῆσαι τοῦ κόσμου, ἵνα φθάσῃ πρὸς ὃν ἠγάπησεν Κύριον. Καταπλεύσας γοῦν εἰς τοὺς λιμένας Ῥωμαίων, μελλούσης λέγειν τῆς ἀκαθάρτου φιλοτιμίας, οἱ μὲν στρατιῶται ὑπὲρ τῆς βραδύτητος ἤσχαλλον, ὁ δὲ ἐπίσκοπος χαίρων κατεπείγουσιν ὑπήκουσεν.

Ἐκεῖθεν οὖν ἐώσθησαν ἀπὸ τοῦ καλουμένου Πόρτου (διεπεφήμιστο γὰρ ἤδη τὰ κατὰ τὸν ἅγιον μάρτυρα)· συναντῶμεν τοῖς ἀδελφοῖς φόβῳ καὶ χαρᾷ πεπληρωμένοις, χαίρουσιν μὲν ἐφ' οἷς ἠξίωντο τῆς τοῦ Θεοφόρου συντυχίας, φοβουμένοις δέ, διότι περ ἐπὶ θάνατον ὁ τοιοῦτος ἤγετο. Τισὶ δὲ καὶ παρήγγελλεν ἡσυχάζειν, ζέουσι καὶ λέγουσι καταπαύειν τὸν δῆμον πρὸς τὸ μὴ ἐπιζητεῖν ἀπολέσθαι τὸν δίκαιον. Ὃς εὐθὺς γνοὺς τῷ πνεύματι καὶ πάντας ἀσπασάμενος, αἰτήσας τε παρ' αὐτῶν τὴν ἀληθινὴν ἀγάπην, πλειονά τε τῶν ἐν τῇ ἐπιστολῇ διαλεχθεὶς καὶ πείσας μὴ φθονῆσαι τῷ σπεύδοντι πρὸς τὸν Κύριον, οὕτω μετὰ γονυκλισίας πάντων τῶν ἀδελφῶν, παρακαλέσας τὸν Υἱὸν τοῦ Θεοῦ ὑπὲρ τῶν Ἐκκλησιῶν, ὑπὲρ τῆς τοῦ διωγμοῦ καταπαύσεως, ὑπὲρ τῆς τῶν ἀδελφῶν εἰς ἀλλήλους ἀγάπης, ἀπήχθη μετὰ σπουδῆς εἰς τὸ ἀμφιθέατρον. Εἶτα εὐθὺς ἐμβληθεὶς κατὰ τὸ πάλαι πρόσταγμα τοῦ Καίσαρος, μελλουσῶν καταπαύειν τῶν φιλοτιμιῶν

1. Πρβλ. Πράξ. 28, 13-14.

(ἦν γὰρ ἐπιφανής, ὡς ἐδόκουν, ἡ λεγομένη τῇ Ῥωμαϊκῇ φωνῇ τρισκαιδεκάτη, καθ' ἣν σπουδαίως συνῄεσαν), οὕτως θηρσὶν ὠμοῖς παρὰ τῷ ναῷ παρεβάλλετο, ὡς παρ' αὐτὰ τοῦ ἁγίου μάρτυρος Ἰγνατίου πληροῦσθαι τὴν ἐπιθυμίαν, κατὰ τὸ γεγραμμένον· «Ἐπιθυμία δικαίου δεκτή·[1]» ἵνα μηδενὶ τῶν ἀδελφῶν ἐπαχθὴς διὰ τῆς συλλογῆς τοῦ λειψάνου γένηται, καθὼς φθάσας ἐν τῇ ἐπιστολῇ τὴν ἰδίαν ἐπεθύμει γενέσθαι τελείωσιν. Μόνα γὰρ τὰ τραχύτερα τῶν ἁγίων αὐτοῦ λειψάνων περιελείφθη, ἅτινα εἰς τὴν Ἀντιόχειαν ἀπεκομίσθη, καὶ ἐν λίνῳ κατετέθη, θησαυρὸς ἀτίμητος, ὑπὸ τῆς ἐν τῷ μάρτυρι χάριτος τῇ ἁγίᾳ Ἐκκλησίᾳ καταλειφθέντα.

Ἐγένετο δὲ ταῦτα τῇ πρὸ δεκατριῶν Καλανδῶν Ἰανουαρίων, τουτέστιν Δεκεμβρίῳ εἰκάδι, ὑπατευόντων παρὰ Ῥωμαίοις Σύρα καὶ Σενεκίου τὸ δεύτερον. Τούτων αὐτόπται γενόμενοι, μετὰ δακρύων κατ' οἶκόν τε παννυχίσαντες, καὶ πολλὰ μετὰ γονυκλισίας καὶ δεήσεως παρακαλέσαντες τὸν Κύριον πληροφορῆσαι τοὺς ἀσθενεῖς ἡμᾶς ἐπὶ τοῖς προγεγονόσιν, μικρὸν ἀφυπνώσαντες, οἱ μὲν ἐξαίφνης ἐπιστάντα καὶ περιπτυσσόμενον ἡμᾶς ἐβλέπομεν, οἱ δὲ πάλιν ἐπευχόμενον ἡμῖν ἑωρῶμεν τὸν μακάριον Ἰγνάτιον, ἄλλοι δὲ σταζόμενον ὑφ' ἱδρῶτος ὡς ἐκ καμάτου πολλοῦ παραγενόμενον, καὶ παρεστῶτα τῷ Κυρίῳ. Μετὰ πολλῆς τοίνυν χαρᾶς ταῦτα ἰδόντες, καὶ συμβαλόντες τὰς ὄψεις τῶν ὀνειράτων, ὑμνήσαντες τὸν Θεόν, τὸν δοτῆρα τῶν ἀγαθῶν, καὶ μακαρίσαντες τὸν ἅγιον, ἐφανερώσαμεν ὑμῖν καὶ τὴν ἡμέραν καὶ τὸν χρόνον, ἵνα κατὰ τὸν καιρὸν τοῦ μαρτυρίου συναγόμενοι, κοινωνῶμεν τῷ ἀθλητῇ καὶ γενναίῳ μάρτυρι Χριστοῦ, καταπατήσαντι τὸν διάβολον, καὶ τὸν τῆς φιλοχρίστου αὐτοῦ ἐπιθυμίας τελειώσαντι δρόμον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἁγίῳ Πνεύματι, εἰς αἰῶνας. Ἀμήν.

1. Παρμ. 10, 24.

ΠΙΝΑΞ
ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο΄.

ΠΙΝΑΞ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) Ὅταν ἀπαντᾷ πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ τὸ πρᾶγμα ἀπαντᾷ περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.— γ) Ὅπου ἀπαντᾷ πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σ ἢ σ-ς αἱ σελίδες δὲν ἔχουν τοὺς στίχους ἠριθμημένους.